
Manuscrit Byzantin



Πίναξ τοῦ παρόντος βιβλίου· ἤτοι τῶν πρώτου ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείου τοῦ μεγάλου:

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου· εἰς τὸν βίον καὶ τὰ θαύματα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας:– Δέσποτα εὐλόγησον:–

Ἀγαπητοί· οὐκ ἦν ἀπεικὸς ἀγνώμονας υἱούς· τὴν τοῦ πατρὸς ἐπιγνωμάζειν ἀποβι-
ώσιν· καὶ δάκρυσιν αὐτὴν χαρίζεσθαι δίκαιον· ὅπερ μέχρι τοῦ νῦν ἅπαντες· συμπα-
θῶς πεπόνθαμεν· ὅπη μὴ καὶ δεῖ νῦν τοῦ πένθους ἀχλὴν κατὰ τὸ γεγραμμένον ἀπε-
σεισάμεθα· καὶ πρὸς ἀχάριστον ἱκεσίαν, πρὸς τὸν τῶν ὅλων δεσπότην Χριστὸν τὸν ἀληθινὸν
θεὸν ἡμῶν συνεκινήθημεν· ἀναγκαῖον ᾠήθημεν· τὸν πανάοίδιμον αὐτοῦ βίον καὶ
ἀγηθῆ· καὶ μεγάλα θαύματα· τοῦ ἡμετέρου ποιμένος καὶ διδασκάλου Βασιλείου,
γραφῇ παραδοῦναι· ὅπως μὴ τῇ χρονίᾳ παραδρομῇ, λήθης βυθοῖς παραδοθῶσι·
τριῶν γὰρ πανιερῶν ἀνδρῶν· λέγω δή, Γρηγορίου τοῦ ἐν θεολογίᾳ διαπρέψαντος·
καὶ Γρηγορίου τοῦ ἀοιδίμου τῆς Νυσσαέων πόλεως· οὐ μὴν ἀλλὰ καὶ Ἐφραὶμ τοῦ πα-
νολβίου· ἀμφοτέρων τε ἀμφοτέρως ἐπιταφίοις τὸν ἄνδρα πρεσβεία πρὰ ταῦτα ἔδοξε κἀμοὶ ὡς Η
πρωτοεκτρώματι ἀποστολικῶς φάναι· ἐπιχειρῆσαι ἐληλυθότι· τὰ παρὰ τῶν ἑκατέρ-
ων ἀνδρῶν θαυμασίων, λελεγμένα διηγήματα, ὡς ἀγνώμονι ἐγὼ πατρί· καὶ χρέος ἀπο-
πληροῦν πάνυ θέμενος ὡς οἴεσθαι παρακολουθηκότι, καὶ ἀκριβῆ γνῶσιν εἰληφότι·
οἶδε γὰρ οἶδε καὶ νεφέλη κρύπτειν τὸν ἥλιον· καὶ χρονία παραδρομὴ τῶν καλῶν
διηγημάτων, ἀχρεῶς εἰσαγαγεῖν τὴν λήθην· ἐπεὶ οὖν ὁ μέγας ἡμῶν ποιμήν·
καὶ περιβόητος τῷ κόσμῳ Βασίλειος· ὁ τῶν ἐπουρανίων δυνάμεων συνόμιλος· ὁ τῶν

ἀρχαγγέλων τάξεων συλλειτουργός· ὁ διάπυρος τῆς ἐκκλησίας διδάσκαλος· ὁ ἀρραγὴς
τῶν ὀρθοτόμων δογμάτων στῦλος· ὁ τὴν φύσιν τῶν ὄντων πραγματευσάμενος· ὁ τὸν ἔχθιστον τῆς
τριάδος προσευχῇ καταβαλών, ἰουλιανὸν τὸν ἀποστάτην· ὁ τοῦ λέοντος στόμα ἐμφρά-
ξας· ὁ τὴν τῶν ἀρειανῶν πραγμάτως πορθήσας κακοδοξίαν· ὁ τὴν τῶν χριστιανῶν σαφ-
ῶς ἑδράσας ὀρθοδοξίαν· ὁ ποιμὴν τοῦ περιουσίου λαοῦ τῆς ἁγίας ἐκκλησίας· τὸ βα-
σίλειον ἱεράτευμα· ὁ πεποικιλμένος τῶν Χριστοῦ προβάτων κριός· ὁ τῆς θείας πίστεως
διδάσκαλος ἀκλεής· ὁ καὶ ζῶν καὶ μετὰ θάνατον μεγάλως ἀπαστράψας τοῖς θαύ-
μασι· διὰ τὴν μετὰ προσευχῆς αὐτοῦ γενομένην ὡς λέλεκται· κατὰ ἰουλιανοῦ τοῦ θεο-
στυγοῦς διαφθοράν· τοῦ ἄραντος κατὰ τοῦ θεοῦ ἀδικίαν· ὃν ἄλις ὁ τούτου θεῖος, ἐπιλαβό-
μενος ἀναξίως τῆς βασιλικῆς ἁλουργίδος· καὶ τῆς τῶν ἀρειανῶν προστάτων κα-
κοδοξίας, ἥπερ ἐπὶ τὴν καθ᾽ ἡμᾶς καισάρος στεφανὴ πόλιν, ταύτην καταστρεψά-
μενος· καὶ τὸ ὅπως μὲν καὶ διὰ τί, ὃ τοῦ παρόντος καιροῦ τὸ διήγημα· οὐκ ἐπὶ τὸ
προκείμενον ἐπανέρχομαι· τὰς ἐκ παιδὸς αὐτοῦ· καὶ μέχρι τέλους ἀρετὰς δι-
ηγούμενος. βασίλειος μόνος ἐπὶ γῆς ἴσον ἀπέδειξε καὶ ἐμπρεπῆ τὸν βίον
τοῖς λόγοις καὶ θείας σοφίας τὸν βίον φαιδρύναντα· πάντα χῶ δὶς ψυχὴν καὶ
σῶμα· λόγον· παλαμᾶς· διὸ καὶ τὴν ἑλληνικὴν πλάνην, ὡς ἱστὸν ἀράχνης
διέσπασεν· οὗτος ἐπταέτης γενόμενος, ἐκδίδοται ὑπὸ τῶν τεκόντων ἐς γράμ-
ματα σχολάσας δὲ ἐν τοῖς μαθήμασι, πέντε ἐτῶν χρόνον· καὶ μὴν κατὰ μαλακῇ
ἀθλεῖς τούτοις, καὶ γίνεται πλείστην ἐν φιλόσοφον ἐπιστήμην· τῶν μάλιστα
τῆς φύσεως. αὖθις οὖν ἐγκαταλείψας τὴν ἐμεγκαμένην, καὶ παιδεύσεις γ'
Ἦν τῷ γὰρ ἔτει· καταλαμβάνει τὴν μητέρα τῶν λόγων, τὰς ἀθήνας· ἀγχινοίᾳ τε πο-
λλῇ καὶ ἐγκρατείᾳ καὶ σωφροσύνῃ κεκοσμημένος· προσφοιτᾷ τῷ καθηγου-
μένῳ τῆς τῶν ἑλλήνων φιλοσοφίας, ἀβούλας τοὔνομα· καὶ οὕτως ἑαυτὸν
ἐπέδωκε τοῖς μαθήμασιν, ὥστε θαυμάζεσθαι αὐτὸν ὑπὸ τῶν καθηγητῶν καὶ
τῶν αὐτοῦ συμφοιτητῶν λίαν· γεγόνασι γὰρ τούτου συμπράκτορες, γρηγόριος
ὁ μέγας τῆς ναζιανζοῦ γενομένης ἐκκλησίας ἐπίσκοπος· καὶ τοῦ ἀποστο- λικοῦ
θρόνου τὰς οἴακας ἐπὶ δύο καὶ δέκα κυβερνήσας χρόνους· ἰουλιανὸς ὁ προ

βραχὺ χριστιανὸς καὶ Λιβάνιος. οὕτως δὲ παρὰ πάντων θαυμαζόμενος ὁ ἀνήρ, ὅθεν ἐν τῇ
καρδίᾳ αὐτοῦ μὴ μεταστρέφοντος τοῦ νοῦ μου· μέχρις ὅτου, ἐκ τῆς ἄνωθεν προμηθείας νοήσει
τῆς θείας σοφίας τὰ ἀπόρρητα. ἐνδιατρίψας δὲ ἐν τοῖς παιδεύμασι πέντε καὶ δέκα ἔτη.
— δαιμόνια ἀρ[illegible] καὶ πᾶσαν τὴν ἑλληνικὴν σοφίαν ἐπιδραμὼν εἰς τέλος· ἀστρονομίας τε τὰ μάλιστα συλλεξάμενος —
[illegible] μὴ διὰ τῶν τὸν πάντων δημιουργόν. ἐν μιᾷ νυκτὶ διαγρυπνοῦντος αὐτοῦ, θεία τις ἔλλαμ-
ψις γίνεται αὐτῷ, διελθεῖν ἐπὶ ξένης θρησκείας τὴν γραφήν. ἀναστὰς οὖν ᾤχετο ἐν Αἰγύπτῳ.
καὶ προσελθὼν ἑνὶ τῶν ἀρχιμανδριτῶν, Πορφύριος τοὔνομα· ᾔτησε δοῦναι αὐτῷ
βίβλους ἱερὰς πρὸς κατάληψιν τῶν θείων δογμάτων· καὶ τούτου τυχών, ἔμεινεν ἐκεῖ
ἐντρυφῶν τῇ μελέτῃ τῶν θείων λογίων· ὕδατι καὶ λαχάνοις τρεφόμενος· ἐνιαύσιον χρό-
νον διατρίψας ἐκεῖσε. καὶ τὸν τῆς ἀληθείας λόγον πίστει κατανοήσας, διέμεινεν ἐρανῶν
τὸν τῆς ἀληθείας λόγον. καὶ ἠξίωσεν ἀπολυθῆναι αὐτὸν ἐν Ἱεροσολύμοις, εὐχῆς χάριν.
καὶ τὰ ἐκεῖσε τελούμενα θαύματα. ὁ δὲ ἐπευξάμενος, ἀπέλυσεν αὐτόν. ἐπανελθὼν δὲ,
ἔνθα τὴν τῶν ἑλλήνων σοφίαν ἐπαιδεύθη· ἤρξατο πείθειν πολλοὺς φιλοσόφους· καὶ πλή-
θει πολλὰ τῶν ἑλλήνων προσφέρειν τῷ Χριστῷ. ὑποδεικνὺς αὐτοῖς τὴν ὁδὸν τῆς εὐσεβείας. ἐπε-
ζήτει δὲ καὶ τὸν αὐτοῦ καθηγητὴν Ἄβουλον· ἦν γὰρ ἡγούμενος τοῦ λόγου· διὰ τὴν μάθησιν
τῶν πονηθέντων παρ' αὐτοῦ. προσαγαγεῖν αὐτῷ τὴν ὀρθόδοξον πίστιν. ὡς αὐτοῦ
ἀνθυδρομοῦντος πρὸς τὴν αὐτοῦ πίστιν. πάντας ἔπεισεν αὐτῷ ὡς διδασκάλῳ. τοὺς ἐν φι-
λοσοφίας καταγομένους. ἐπεζήτησε δὲ αὐτὸν ἐν πᾶσι τοῖς παιδευτηρίοις, εὗρεν ἐν
προαστείῳ συζητοῦντα· λόγον μετὰ καὶ ἑτέρων φιλοσόφων. οὐδὲν γὰρ ἦν παρ' αὐτοῖς
τὸ σπουδαζόμενον, ἢ λέγειν τι ἀκούειν καινότερον. διαλεγομένου οὖν αὐτοῦ, ἐλά-
βετο αὐτοῦ ἐπιστὰς ὁ βασιλεὺς· καὶ τίς τῶν συνόντων ἔφη, ἔλαβε τόσου τίς ὦ φιλό-
σοφε. ὁ δὲ φησίν, ἡ βασιλεία ἡ βασιλέως. ἀναχωρήσας οὖν αὐτῷ καὶ τοὺς συνόντας αὐτῷ
ἀποπεμψάμενος, συνεῖν τῷ βασιλείῳ· καὶ τρεῖς ἡμέρας ἄσιτοι διαμείναντες.

Συνεζήτουν πρὸς ἀλλήλους. ἐρωτήσαντος οὖν ὁ Ἄβουλος τὸν βασιλέα· τίς ὅρος φιλο-
σοφίας ὦ βασιλεῦ. ὁ δέ φησι· πρῶτος ὅρος φιλοσοφίας, μελέτη θανάτου. ὁ δὲ θαυ-
μάσας ἔφη, τί ὁ κόσμος. ὁ δὲ ἔφη, ὁ ὑπὲρ κόσμον· καὶ γλυκὺς μὲν ὁ τοῦ κόσμου
λόγος· πικρὸς δὲ πάνυ ὁ κόσμος. ὅστις αὐτῷ περιέρχεται ἐμπαθῶς. καὶ ἀληθῶς ἐστὶν

ἡ ἡδονὴ τοῦ σώματος· καὶ ἄλλη ἡ τῆς ἀσωμάτου φύσεως· καὶ ἅμα ταῦτα συνυπάρξω πρίν,
τῶν οὐκ ἐνδεχομένων ἐστίν· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν πλὴν ὅσον δύ-
ναμις· διαθρύπτωμεν τοῖς πεινῶσι τὸν ἄρτον τῆς γνώσεως· καὶ τοὺς διὰ πενίαν ἀ-
στέγους, δι' ἀρετῆς ἄγωμεν ὑπὸ στέγην· ἐὰν δὲ καὶ γυμνὸν ἴδωμεν, περιβάλλομαι
καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματος οὐχ ὑπεροψώμεθα· ταῦτα εἰπὼν καὶ ἐξεικονίσας
αὐτῶ παραβολικῶς τὴν τοῦ σωτῆρος πρὸς ἡμᾶς διὰ μετανοίας φιλανθρωπίαν· τρεῖς πίνακας ἱστῶ
Γαῶ προστίθησιν ἐν προθύραις τοῖς μετανοίας· τὸν μὲν κατὰ τὸ ὕπαιθρον τῶν πυλῶν
τὴν ἀρετὴν φέροντα· τὴν φρόνησιν· τὴν ἀνδρείαν· τὴν δικαιοσύνην· τὴν σωφροσύ-
νην· κατὰ δὲ τὸ εὐώνυμον μέρος, τὴν ἀπάτην· ἑκατέρωθεν δὲ αὐτῆς, ἀκρασίαν·
ἀκολασίαν· μέθην· ἀναίδειαν· ῥαθυμίαν· διαβολήν· γλωσσαλγίαν· καὶ τινα τοι-
ούτων θεσμῶν κακῶν· τὴν δὲ μετάνοιαν ἀτρεμές πως ἐσταλμένην ἀτρέμα· μειδιῶ-
σαν, προσιμῆ· τοῖς μέν, ἐναντίοις ἐπιστομίζουσα· τὸν δὲ οἰκεῖον ἐπιδεχομένην
λαόν· πλησίον δὲ αὐτῆς, ἐγκράτειαν· ἀγρυπνίαν· ἐπιείκειαν· σεμνότητα· αἰδῶ· φι-
λανθρωπίαν· καὶ πολλῶν ἀγαθῶν δῆμον· ὁ δὲ ταύτης τῆς ἱστορίας νοῦς· τοῖς μέν, θεο-
μένοις ἀσφάλεια· τοῖς δὲ ἀκούουσι, ζῆλον τῶν ἀμεινόνων πρόφασις· ταῦτά τοι
καὶ αὐτὸς ἐγώ· ἡ γαλήνη καὶ εἰς τὸ δεῖγμα ἰῶ ἀβουλεῦ· εἰσὶ γὰρ ἐν ἡμῖν οὐκ εἰκόνες·
οὐδὲ αἰνίγματα· ἀλλ' αὐτὴ σαφῶς ἡ ἀλήθεια ὁδηγοῦσα πρὸς σωτηρίαν· ἀναστησώμε-
θα γὰρ πάντες οὗτοι, εἰς ζωὴν αἰώνιον· καὶ οὗτοι, εἰς ὀνειδισμὸν αἰώνιον
καὶ αἰσχύνην· καὶ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ· καθὼς διδάσκουσιν ἡμᾶς οἱ μεγα-
λοφωνότατοι προφῆται· Ἠσαΐας· Ἱερεμίας· καὶ Ἰεζεκιήλ· Δανιήλ· Δαβὶδ ὁ βασι-
λεύς, καὶ ὁ θεσπέσιος Παῦλος· μετὰ δὲ τούτους· αὐτὸς ὁ τῆς μετανοίας δοτήρ· καὶ τῶν
αὐτῆς ἀμοιβῶν κύριος· ὁ τὸ πρόβατον ἐπιζητήσας τὸ ἀπολωλός· ὁ τὸν ἀποστάν-
τα παῖδα τοῦ πατρῴου κόλπου, σὺν πολλῷ πλούτῳ, καὶ τοῦτον ἀσώτως δα-
πανήσαντα· ἔπειτα ἐπανελθόντα· καὶ λιμῷ τετηκότα γνησίως ἀσπαζόμενος·
ἐσθῆτι λαμπρᾷ κοσμήσας καὶ δακτυλίῳ ἐσθίᾳ πολυτελεῖ· πρὸς θ' ἦτε τὸν μὲν δὲ
ἡμαρτηκότα παῖδα· μὴ καταφρονεῖν καὶ χαλεπαίνειν· ἀλλ' ὡς ἀδελφῷ συγ-
γνώμην νέμειν· οὕτως ὁ δεσπότης ἀφθόνως ὑπερβάλλων τῇ ἀγαθότητι,

τὸν ἴσον μισθὸν τοῖς περὶ τὴν ἐνδεκάτην ὥραν δίδωσι· καὶ δεχομένοις τὴν ἐξ ὕδατος καὶ πνεύματος ἀναγέννησιν δωρήσεται· ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε· καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Τούτου οὖν ἐμαθὴς γενόμενος, ὁ Εὔβουλος ἔφη πρὸς αὐτόν· ὦ Βασίλειε ὁμωφάντορ τῆς Τριάδος. διὰ σοῦ πιστεύω ὃν ἔμαθον πατέρα παντοκράτορα καὶ τὰ ἑξῆς· προσδοκῶ ἀνάστασιν νεκρῶν· καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος ἀμήν· ἔργῳ δὲ τὴν ἐν ἐμοὶ πίστιν δεί-

Κνυμί σοι· καὶ πάντα τὰ προσόντα μοι, ἐγχειρίσω σοι ἐπιδοὺς τὸν λοιπὸν χρόνον τῆς ζωῆς μου· σύν σοι ἔσομαι· ὃ ἀρεστὸν ἐνώπιον τοῦ θεοῦ ἐστι· δέχομαι τὴν ἐξ ἁγίου ὕδατος καὶ πνεύματος ἀναγέννησιν· ὁ δὲ Βασίλειος ἔφη· εὐλογητὸς κύριος ὁ θεὸς ἡμῶν ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος ὦ Εὔβουλε· ὁ καταυγάσας τὸ φῶς τὸ ἀληθινὸν ἐν τῇ διανοίᾳ σου· καὶ μεταστήσας σε ἐκ τῆς πολυθέου πλάνης· εἰς τὴν ἐπίγνωσιν τῆς αὐτοῦ εὐσπλαγχνίας· ἐπειδὰν δὲ ὡς ἔφης, συνεῖναί με βούλει· ἐπειδὴ ζῶσι ποίῳ τρόπῳ τῆς σωτηρίας ἡμῶν φροντίσωμεν· τῶν δεσμῶν τοῦ τῆδε ἐλευθερούμενοι· διαπωλήσωμεν πάντα τὰ ὑπάρχοντα ἡμῶν, καὶ διαδῶμεν τοῖς δεομένοις· ἀθοῦτως ἐπὶ τὴν ἁγίαν πόλιν ἐξελασόμεθα· αὐτόπται τῶν οἰκείων γενόμενοι θαυμάτων· καὶ τὴν πρὸς θεὸν κτησώμεθα παρρησίαν· καὶ οὕτως ἑκάτεροι· τὰ προσόντα αὐτοῖς εὐσεβῶς διανομίσαντες· τὰ πρὸς τὸ ἅγιον βάπτισμα ἀμφί- α μόνον ἐξ αὐτῶν ὠνησάμενοι, ἐπὶ τὰ Ἱεροσόλυμα ᾤχοντο· ἐπιστρέφοντες ἐπὶ κύριον πλήθη Ἑλλήνων πολλά· φθάσαντες δὲ ἐπὶ τὴν Ἀντιόχου πόλιν, κατήντησαν ἐν πανδοχείῳ τινί· ὁ δὲ υἱὸς τοῦ πανδόχου, ᾧ ὄνομα Φιλόξενος.

Ἐκάθητο πρὸ τῶν πυλῶν ἐν ἀμηχανίᾳ πολλῇ· οὗτος δὲ ἦν μαθητὴς Λιβανίου τοῦ σοφιστοῦ· λαβὼν παρ᾽ αὐτοῦ στίχους ὁμηρικοὺς εἰς τὸ μεταβαλεῖν αὐτοὺς εἰς ῥητορικούς· καὶ ἐν ἀδολεσχίᾳ πολλῇ ὑπάρχων, ἔπραττεν οὐδέν· ὃν θεασάμενος ὁ μέγας Βασίλειος φησὶ πρὸς αὐτόν· τίνος ἕνεκεν σκυθρωπάζεις ὦ νεανίσκε; ὁ δὲ ἔφη· τί μοι τὸ ὄφελος ἐὰν εἴπω σοι· ἐπιμένοντος δὲ αὐτοῦ καὶ ἐπαγγελλομένου ὠφελεῖν· εἶπεν αὐτῷ τόν τε σοφιστὴν καὶ τοὺς στίχους· καὶ ὅτι τούτου ἕνεκεν ἀγωνιῶ· ὁ δὲ λαβὼν τοὺς αὐτοῦ στίχους, ἤρξατο λέγειν πρῶτον

μεταβολήν. ἐκπλαγεὶς δὲ ὁ νεανίας καὶ περιχαρὴς γενόμενος, οἷς ἐγγράφως εἶδε
θεάσασθαι αὐτὰ παρεκάλει. ὁ δὲ ἔγραψε τὴν τούτων λύσιν, ἐν τρισὶ μεταβολαῖς. ὁ
δὲ παῖς ὑπεδέξατο αὐτοὺς χαίρων· καὶ ἕωθεν ἀπέρχεσθαι πρὸς Λιβάνιον, καὶ ἐπι-
δίδωσιν αὐτῷ τὴν τῶν στίχων μεταβολήν. δεξάμενος δὲ ὁ Λιβάνιος, καὶ ἐκπλα-
γεὶς ἐν τῇ μεταβολῇ ἔφη· μὰ τὴν θείαν πρόνοιαν, οὐδεὶς γὰρ τῶν νῦν σοφιστῶν
ἑρμηνεῦσαι τὸ τοιοῦτον δύναται. πόθεν νῦν ὁ τούτων νεουργός, ἔφη. ὁ παῖς· ξέ-
νος τις χθὲς ἐλθὼν ἐν τῷ πανδοχείῳ μου, ἑτοιμότατα διεσάφησέ μοι τὴν τούτων λύ-
σιν. μὴ μελλήσας οὖν ὁ Λιβάνιος, δρομαῖος ἐν τῷ πανδοχείῳ παραγίνεται· καὶ ἰδὼν
Τὸν Βασίλειον ἅμα τῷ Εὐβούλῳ καὶ ἐπιγνούς, ἔκθαμβος ἐγένετο. τῷ ἀπροσδοκήτῳ
τῆς ἀφίξεως αὐτῶν· καὶ ἠξίου καὶ ἐσκευασμένης μεταλαβεῖν αὐτοὺς τροφῆς.
οἱ δὲ ἄρτου καὶ ὕδατος μεταλαβόντες μετρίως κατὰ τὴν κρατοῦσαν παρ᾽ αὐτοῖς
ἀκολουθίαν· εὐχαρίστησαν τῷ τῶν ὅλων θεῷ καὶ δοτῆρι τῶν ἀγαθῶν. ἑτοιμο-
τάτα οὖν ἤρξατο ὁ Λιβάνιος συζητεῖν αὐτοὺς καὶ προσκυνεῖν φιλημάφους ἐν
τοῖς εἰκοῖς. οἱ δὲ προσέβαλλον τῷ αὐτῷ τὸν περὶ πίστεως λόγον. ὁ δὲ Λιβάνιος ἡ-
σθεὶς τῶν λεγομένων· οὔπω καιρὸς ἔφη τῆς τοιαύτης πραγματείας. κελεύ-
σεις δὲ τῆς προνοίας, οὐκ ἔστιν ὁ ἀντερῶν. ἀλλ᾽ ἐπεὶ τὰ μέγιστά με ὠφέλησας
ὦ Βασίλειε διαλεχθῆναι καὶ τοὺς παρ᾽ ἐμοὶ νέους· ἐδίδασκε μὲν αὐτοὺς ψυχῆς
καθαρότητα, καὶ ἀπάθειαν σώματος· βάδισμα πρᾶον· φωνὴν σύμμετρον·
λόγον εὔτακτον· τροφὴν καὶ πότον ἀθόρυβον· ἐπὶ πρεσβυτέρων ἀκρόασιν·
πρὸς τοὺς ὑπερέχοντας ὑποταγήν· πρὸς τοὺς ἴσους καὶ ἐλάττονας, ἀγάπην ἀνυ-
Πόκριτον· ὀλίγα φθέγγεσθαι· πλείονα δὲ νοεῖν· μὴ θρασύνεσθαι λόγῳ· μὴ
περισσεύειν ὁμιλίαις· μὴ προχείρους εἶναι πρὸς γέλωτα· αἰδοῖ κοσμεῖσθαι·
κάτω τὸ βλέμμα ἔχειν, ἄνω δὲ τὴν ψυχήν· φεύγειν ἀντιλογίας· μὴ διδασκα-
λικὸν μεταδιώκειν ἀξίωμα· μηδὲ ἡγεῖσθαι τὰς παρὰ πάντων τιμὰς εἰ
δέ τις ἐξ ὑμῶν δύναται ὠφελεῖν τὸν πλησίον· τὸν παρὰ τοῦ θεοῦ μισθὸν ἐκδεχέ-
σθω, καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν ἀντίδοσιν· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. ταῦ-
τα εἰπόντος τοῖς μαθηταῖς Λιβανίου ὁ Βασίλειος, καὶ θαυμασθεὶς παρὰ πάντων.

ὡς ἐπὶ τῆς ὁδοῦ. καταλαβόντες οὖν τὴν Ἱερουσαλὴμ καὶ πάντα τόπον ἱερὸν πί-
στεως, καὶ πόθῳ ἀναζητήσαντες. καὶ ἐν αὐτοῖς τὸν πάντων θεὸν προσκυνήσαντες.
ἐμφανεῖς γίνονται τῷ ἐπισκόπῳ τῆς πόλεως, τοὔνομα Μαξιμίνῳ. καὶ τούτῳ προσ-
πεσόντες, ἠξίουν συντυχεῖν τῆς θείας ἀναγεννήσεως. ἐν τῷ Ἰορδάνῃ πο-
ταμῷ. οὓς θεασάμενος ὁ ὅσιος ἐκεῖνος ἀνὴρ. πλήρεις πίστεως ὑπάρχοντας,
πληροῖ τὴν αἴτησιν αὐτῶν. καὶ ἅμα τοῖς ἀνδράσι παραγίνεται ἐν τῷ ποτα-
μῷ Ἰορδάνῃ. ὁ δὲ Βασίλειος πλησίον τῆς ὄχθης γενόμενος ῥίπτει ἑαυτὸν
εἰς τὸ ἔδαφος. καὶ μετὰ δακρύων καὶ κραυγῆς ἰσχυρᾶς ᾔτησε σημεῖον ἀπο-
καλυφθῆναι αὐτῷ τῆς πίστεως. καὶ διαναστὰς ἔντρομος, ἐκδύεται τὰ ἱμά-
τια καὶ σὺν αὐτοῖς ἀληθῶς τὸν παλαιὸν ἄνθρωπον. οὕτως τε κατελθὼν ἐν τῷ ὕδα-
τι ηὔχετο. καὶ προσελθὼν ὁ ἱεράρχης ἐβάπτισεν αὐτόν. καὶ ἰδοὺ ἀστραπὴ πυρὸς
ἐπέστη αὐτοῖς. καὶ περιστερὰ ἐξελθοῦσα ἐξ αὐτῆς. κατῆλθεν ἐν τῷ Ἰορδάνῃ. καὶ
ταράξασα τὸ ὕδωρ, ἀπέπτη εἰς τὸν οὐρανόν. οἱ δὲ ἑστῶτες ἔντρομοι γενόμενοι.
ἐδόξασαν τὸν θεόν. βαπτισθεὶς δὲ ὁ Βασίλειος, ἐξῆλθε τοῦ ὕδατος. θαυμάσας δὲ
ὁ Μαξιμῖνος τὴν Βασιλείου πρὸς θεὸν ἀγάπην. καὶ ἐπαξάμενος αὐτὸν ἐν-
διδύσκει τὰ τῆς ἀναστάσεως ἄμφια. ἐβάπτισε δὲ καὶ τὸν Εὔβουλον καὶ ἔχρι-
σεν αὐτοὺς τὸ ἅγιον μύρον. καὶ μεταδοὺς αὐτοῖς τῆς ζωοποιοῦ κοινωνίας,
ᾔτησε τὸν τοῦ θεοῦ ἱερέα, δι' ἀρχῆς μεταλαβεῖν τροφῆς. ὃ καὶ ἐποίησεν εἰπών.
Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. οὕτω πιστεύω τῇ ἀγγελικῇ σου φωνῇ. καὶ ἐπιζῶ εἰς τὴν
σὴν ἀγαθότητα. ἐσθίων καὶ πίνων νικήσω τὸν ἀνταγωνιζόμενον διά-
βολον τῇ συνεργίᾳ τοῦ ἁγίου σου πνεύματος. ἐκπλαγεὶς οὖν ὁ τοῦ θεοῦ ἱεράρχης ἐπὶ τῇ
πίστει αὐτοῦ, ὑπέστρεψε σὺν αὐτοῖς εἰς τὴν ἁγίαν πόλιν. ἐνιαύσιον δὲ
χρόνον ἐκεῖσε διατρίψαντες. κοινῇ γνώμῃ ἦλθον εἰς Ἀντιόχειαν. καὶ ὁ
Βασίλειος ὑπὸ Μελετίου τοῦ τῶν ἐκεῖσε ἐπισκόπου. εἰς τὴν τοῦ διακό-
νου τάξιν προχειρισθείς. καὶ τὸν τῶν παροιμιῶν λόγον ἑρμηνεύσας,
ἐθαυμάσθη. μετ' οὐ πολὺ δέ, ὥρμησεν ἅμα τῷ Εὐβούλῳ ἐπὶ τὴν αὐτῶν
Καππαδόκων χώραν. καὶ μελλόντων εἰσιέναι ἐν τῇ τῶν Καισαρέων
πόλει.

ἐν ὁράματι τῆς νυκτός, ἀπεκαλύφθη τῷ ἐπισκόπῳ τῆς πόλεως, Ἀσεβίων
τοὔνομα· ἡ τούτων παρουσία· καὶ ὅτι μέλλει Βασίλειος διάδοχος αὐτοῦ γίνε-
σθαι. ὁ δέ, διυπνισθεὶς προσκαλεῖται τὸν ἄρχοντα τῆς ἐκκλησίας καί τινας τῶν
ἀπὸ τοῦ κλήρου· καὶ ἀποστέλλει αὐτοὺς ἐπὶ τὴν ἀνατολικὴν πύλην τῆς πό-
λεως, εἰρηκὼς αὐτοῖς τὴν ὀπτασίαν. ἀπελθόντες οὖν ἐν τῇ πύλῃ, συνήντησαν αὐτοῖς
ἐρχομένους· οὓς θεασάμενοι καὶ ἐπιγνόντες παρεκάλεσαν ἅμα παραγαγεῖν
πρὸς τὸν ἐπίσκοπον. εἰσελθόντων οὖν αὐτῶν· καὶ τούτους θεασάμενος
ὁ ἁγιώτατος ἐπίσκοπος καὶ ἐκπλαγεὶς τῷ ὁμοιώματι τῆς ὀπτασίας, τῷ θεῷ ηὐ-
χαρίστει. ἠρώτησέν τε πόθεν ἔρχονται· καὶ τίνες αὐτῶν αἱ προσηγορίαι.
καὶ μαθὼν ἔφη τοῖς διακόνοις τὰ πρὸς ἀνάπαυσιν αὐτῶν παρασχεῖν. οἱ δέ,
ἀναγόντες αὐτοὺς ἐν ἐπισήμῳ διέτει, πάντα πρὸς θεραπείαν προσήνεγκον.
κατὰ τὴν δευτέραν ὥραν μεταστειλάμενος ὁ ὁσιώτατος ἀνήρ. τοὺς λογάδας τοῦ
κλήρου καὶ τῆς πόλεως· ἐξηγήσατο αὐτοῖς τὰ ὑπὸ τοῦ θεοῦ αὐτῷ ἀποκαλυφ-
θέντα. οἱ δέ, μιᾷ φωνῇ εἶπον· ἀληθῶς καὶ τοῦτο ἄξιον τοῦ καθαροῦ σου βί-
ου. θείῳ πνεύματι ἀποκαλυφθῆναι τὸν μετά σε μέλλοντα· τὸν ἀρχιερατικὸν
θρόνον κοσμεῖν. ὁ θέλεις μηδὲν διαναβαλλόμενος· ποίει τὸ δοκοῦν σοι. ὁ δέ,
προσκαλεσάμενος τὸν Βασίλειον ἅμα τῷ Εὐβούλῳ, ἤρξατο διασκοπεῖν αὐτοῖς
τὰς γραφάς. θαυμάζων δὲ τὸ πέλαγος τῆς ἐγκειμένης αὐτοῖς σοφίας. καὶ
ἔχων αὐτοὺς δεξιοὺς παραστάτας. μετ' οὐ πολὺ τὸν βίον μετήλλαξεν ὁ ἐπίσκο-
πος. τῇ τοῦ ἁγίου πνεύματος ἐνεργείᾳ· ψηφίζονται Βασίλειον εἰς τὸν τῆς ἐπισκο-
πῆς θρόνον. καὶ χειροτονηθείς, ἐκυβέρνα τὴν ἐκκλησίαν τοῦ θεοῦ θείᾳ προ-
νοίᾳ. μετὰ δὲ χρόνον τινά, ᾐτήσατο τὸν θεὸν ἵνα παράσχῃ αὐτῷ χάριν καὶ
σοφίαν καὶ σύνεσιν· ἐπὶ τὸ δι' οἰκείων αὐτοῦ ῥημάτων, προσφέρειν τὴν
ἀναίμακτον θυσίαν τῷ θεῷ· καὶ ἐλθεῖν ἐπ' αὐτῷ χάριν καὶ ἐπιφοίτησιν τοῦ
ἁγίου πνεύματος. καὶ μετὰ ἓξ ἡμέρας ὥσπερ ἐν θάμβει γενόμενος, ἤρξατο λειτουρ-
γεῖν τῷ θεῷ καθ' ἑκάστην ἡμέραν. καὶ μετά τινα χρόνον· πίστει καὶ ἀγάπῃ πολλῇ,
ἤρξατο ἰδιοχειρί, γράφειν τὰ τῆς λειτουργίας μυστήρια. καὶ ἐν μιᾷ νυκτί,

ἐπιστὰς αὐτῷ ὁ κ(ύριο)ς ἐν ὀπτασίᾳ σὺν τοῖς ἀποστόλοις· τὴν πρόθεσιν τοῦ ἄρτου καὶ τοῦ
ποτηρίου ποιησάμενος ἐν τῷ θυσιαστηρίῳ. διαναστῆσαι τὸν βασίλειον ἱερατικῶς αὐ-
τῷ· κατὰ τὴν σὴν αἴτησιν πληρωθήτω τὸ στόμα μου αἰνέσεως· ὅπως ἀνθ' οἰκεί-
ων ῥημάτων, προσενέγκειν ἀναίμακτον θυσίαν· ὁ δὲ μὴ φέρων τοῖς ὀφθαλμοῖς τὸ
θέαμα, ἀνέστη ἔντρομος· καὶ προσελθὼν τῷ ἁγίῳ θυσιαστηρίῳ· ἤρξατο λέγειν·
γράφων ἐν τῷ χάρτῃ οὕτως· πλήρωσόν μου τὸ στόμα αἰνέσεως ὅπως ὑμνήσω
τὴν δόξαν σου· κ(ύρι)ε ὁ θ(εὸ)ς ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην· καὶ τὰς λοι-
πὰς εὐχὰς τῆς ἁγίας λειτουργίας· καὶ μετὰ τὸ τέλος τῶν εὐχῶν· ὑψῶν τὸν ἄρτον ἐκ-
τενῶς ηὔχετο καὶ λέγων· πρόσχες κ(ύρι)ε ἰ(ησο)ῦ χ(ριστ)ὲ ὁ θ(εὸ)ς ἡμῶν ἐξ ἁγίου κατοικητη-
ρίου σου· καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς· ὁ ἄνω τῷ π(ατ)ρὶ συγκαθήμενος· καὶ ὧδε ἡμῖν
ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράν-
του σώματος· καὶ τοῦ τιμίου αἵματος· καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ· τὰ ἅγια τοῖς ἁ-
γίοις· ὁ λαὸς, εἷς ἅγιος εἷς κ(ύριο)ς ἰ(ησοῦ)ς χ(ριστὸ)ς εἰς δόξαν θ(εο)ῦ π(ατ)ρὸς ἀμήν· καὶ διελὼν τὸν ἄρτον
εἰς τρεῖς μερίδας· τὴν μὲν μίαν μετέλαβε φόβῳ πολλῷ· τὴν δὲ ἐφύλαξε συντα-
φῆναι αὐτῷ· τὴν δὲ τρίτην ἐνθεὶς περιστερᾷ χρυσῇ, ἐκρέμασεν ἐπάνω τοῦ
θυσιαστηρίου· ὁ δὲ εὔβουλος ἅμα τῶν ἀρχόντων τοῦ κλήρου ἑστῶτες πρὸ τῶν πυλῶν
τοῦ ναοῦ, ἐθεώρουν φῶς ἐν τῷ ναῷ· καὶ ἄνδρας ἐνδόξους λευχειμονοῦντας·
καὶ φωνὴν λαοῦ δοξολογούντων τὸν κ(ύριο)ν· καὶ βασίλειον τῷ θυσιαστηρίῳ παρεστά-
μενον· καὶ ἐκπλαγέντες ἐπὶ τῇ ὀπτασίᾳ· ἔπεσαν ἐπὶ πρόσωπον μετὰ δα-
κρύων δοξολογοῦντες τὸν θ(εό)ν· ἐξελθόντος δὲ τοῦ βασιλείου, ἔπεσαν εἰς τοὺς πό-
δας αὐτοῦ· ἠρώτησε δὲ τὴν αἰτίαν τῆς προσκυνήσεως καὶ παρουσίας αὐτῶν· οἱ δὲ
εἶπον τὸ παράδοξον θέαμα ὅπερ εἶδον ἐν τῷ ναῷ· τότε βασίλειος ἀχαριστή
ἐκτενῶς τῷ κ(υρί)ῳ· διηγήσατο αὐτοῖς τὰ παράδοξα· καὶ προσκαλεσάμενος χρυσοχόον,
ἐποίησε τὴν περιστερὰν ἐκ χρυσοῦ καθαροῦ· καὶ ἐν αὐτῇ κατέθετο τὴν μερί-
δα· κρεμάσας ἐπὶ τὴν ἁγίαν τράπεζαν· ἀντίτυπον τῆς ἁγίας ἐκείνης περιστε-
ρᾶς τῆς φανείσης ἐν τῷ ἰορδάνῃ· τοῦ κ(υρίο)υ βαπτιζομένου· τούτου δὲ γενομένου
ἐπηγγείλατο λόγον παρακλήσεως· λέγων πρὸς τὸν λαόν· καὶ συνήχθη ἐπὶ πλῆ-

θος ἄπτερον ἐν τῇ ἐκκλησίᾳ· ἐν οἷς ἦν καὶ ὁ μέγας ἀσκητὴς Ἐφραίμ· περὶ
οὗ ὕστερον διηγήσομαι τό, πῶς ἐκ θείας ἐπιφανείας αὐτόπτης ἐγένετο
τοῦ ἀοιδίμου πατρὸς ἡμῶν Βασιλείου: Τῆς μέντοι θείας λειτουργίας ἐπιτελου
μένης· ἑβραῖός τις, ἑαυτὸν ὡς χριστιανὸν τῷ λαῷ κατέμιξε τὴν τάξιν τῆς λει
τουργίας· καὶ τὴν δωρεὰν τῆς ἀποκαλύψεως κατασκοπῆσαι θέλων· καὶ θεω
ρεῖ βρέφος μελιζόμενον ἐν ταῖς χερσὶ Βασιλείου· καὶ μεταλαβόντων πάντ(ων),
ἦλθε καὶ αὐτός· καὶ ἐπεδόθη αὐτῷ ἀληθῶς σὰρξ ὑπάρχουσα· εἶτα προσελθὼν τῷ
ποτηρίῳ, αἵματος πλῆρες ὄντα, καὶ αὐτοῦ γέγονε μέτοχος· καὶ ἐκ τῶν ἑκατέρων φυ
λάξας λείψανα· ἀπελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ· ὑπέδειξε τῇ συμβίῳ αὐτοῦ πρὸς βεβαί
ωσιν τῶν λεγομένων· διηγησάμενος· ἅπερ οἰκείοις ὀφθαλμοῖς ἐθεάσατο· πιστεύσας
οὖν ἀληθῶς φρικτὸν καὶ παράδοξον εἶναι τὸ τῶν χριστιανῶν μυστήριον· παραγί
νεται πρὸς Βασίλειον ἱκετεύων αὐτόν, ἀνυπερθέτως λαβεῖν τὴν ἐν Χ(ριστ)ῷ σφραγῖ
δα· ὁ δὲ μὴ μελλήσας· ἀλλὰ τὴν συνήθη εὐχαριστίαν τῷ Θ(ε)ῷ προσάγων· τῷ θέλον
τι πάντας ἀν(θρώπ)ους σωθῆναι· ἐβάπτισεν αὐτὸν πανοικεί· περὶ τῆς πιστικῶς τῶν χ(ριστιαν)ῶν·
καὶ ἐξερχομένου τοῦ ἁγίου πρόσεισιν αὐτῷ γύναιον· πρόνοιαν αὐτῇ αἰτοῦσα γενέ
σθαι· ὡς δυναμένῳ παρὰ τῷ τῆς χώρας ἄρχοντι· ὁ δὲ λαβὼν χάρτην, διεχάραξε τῷ
ἄρχοντι ~~λαβὼν~~ τῆς χώρας ταῦτα· γύναιον πενιχρὸν προσῆλθέ μοι φάσκον·
ὡς δύνασθαί μοι παρὰ σοῦ· εἰ οὖν δύνασαι δεῖξον· καὶ ἐπιδίδωσι τῷ γυναίῳ τὸν χάρ
την· ἡ δὲ πορευθεῖσα ἀπέδωκε τὴν ἐπιστολὴν τῷ ἄρχοντι· ὁ δὲ ἀναγνοὺς ἀντιγρά
φει ταῦτα· δι' ἡμᾶς ὦ πάτερ ἅγιε ἐβουλήθην συμπαθῆσαι τῷ γυναίῳ· ἀλλ' οὐκ ἐδυνή
θην· διὰ τὸ δημόσια αὐτὴν ὀφείλειν· ὁ δὲ ἀντιγράφει αὐτῷ· εἰ μὲν βουληθεὶς οὐκ ἠ
δυνήθης· εὖ ἔχει· εἰ δὲ δυνηθεὶς οὐκ ἠβουλήθης· ἄξει σε τὸ θεῖον εἰς τὸν χορὸν τῶν
δεομένων· ἵνα ὅταν βουληθῇς μὴ δυνηθῇς· καὶ ἐγένοντο αὐτῷ τὰ χαράγματα
γράμματα· οὐ μετὰ πολὺ γάρ, βασιλικῆς ἀγανακτήσεως πειραθείς· [illegible]
δέσμιος· ἀπολογούμενος τοῖς ἀδικηθεῖσι παρ' αὐτοῦ· τότε γίνεται οἰκέτης Βασι
λείου· ὅπως διὰ προσευχῆς αὐτοῦ ἥμερον ἐπ' αὐτῷ, τὸν βασιλέα ποιήσει· ὃ
καὶ γέγονεν· μετὰ γὰρ ἕκτην ἡμέραν ἦλθε τύπος ἐλευθερῶν αὐτὸν τῶν δεσμῶν.

ὁ δὲ τὴν γενομένην ἐπ' αὐτῷ φιλανθρωπίαν οὐκ ἀγνοήσας· παραγίνεται πρὸς
βασίλειον ἐπευχαριστῶν αὐτῷ· προσκυνησάμενος δὲ τὸν γέροντα· ἀπεκα
τέστησεν αὐτήν· ὑπὸ φαιδροτέρως ἐκ τῶν οἰκείων: κατ' ἐκεῖνον τὸν καιρόν.
Ἰουλιανὸς ὁ ἔχθιστος βασιλεὺς· ὁρμήσας κατὰ περσῶν· ἦλθεν ἐν τοῖς μέρεσι τῆς
καισαρέων πόλεως· ὁ δὲ βασίλειος ἅμα τοῖς συνοῦσιν αὐτῷ· ὑπήντησεν αὐ
τῷ· καὶ ἰδὼν αὐτὸν ὁ βασιλεὺς εἶπε· κατέτι φιλοσοφεῖς σύ, ὦ βασίλειε· ὁ δὲ ἀ
πεκρίθη αὐτῷ· ὡς φιλοσοφεῖς· καὶ προσήγαγεν αὐτῷ τρεῖς ἄρτους· ὁ δὲ βασι
λεὺς ἐκέλευσε τοῖς δορυφόροις αὐτοῦ· λαβεῖν μὲν τοὺς ἄρτους· ἀντιδοῦναι δὲ αὐτῷ
χόρτον· ὁ δὲ δεξάμενος ἔφη αὐτῷ· ἡμεῖς μέν, ὦ βασιλεῦ, ἐξ ὧν ἐσθίομεν ἐκομίσα
μέν σοι· σὺ δέ, ἐξ ὧν τρέφεις τὴν ἀλογίαν ἀντέδωκας ἡμῖν· ἑκουσίως μὲν ἐπιτε
λῶν· ἀκουσίως δὲ ἡμᾶς ἐν μομφῇ πεποίηκας, ἐν τῷ δὲ τῷ χορτοκοπίῳ· ὁ δὲ
ἰουλιανὸς ἐμμανεὶς γενόμενος, ἔφη πρὸς αὐτόν· νῦν μὲν νομὴν τοῦ δὲ χορτοκο
πίου ἀναφερέτωσαν δὲ δῶρα ταῖς σε· ὅταν δὲ πέρσας ὑποτάξας ἀναλύσω, ἐν
δαφίῳ τὴν πόλιν σου καὶ ἀροτριάσω αὐτήν, ἵνα γένηται σιτοφόρος μᾶλλον, ἢ ἀν
θρωποφόρος· οὐ γὰρ ἠγνόησα τὴν αὐθάδειαν τοῦ ὑπὸ σοῦ ἀπατωμένου λαοῦ· ὅ
πως τὴν παρ' ἐμοῦ προσκυνουμένην θεὰν μετὰ τὸ πεσεῖν με αὐτήν· μὴ
φέροντες τὴν βασκανίαν ἐλέπτυναν εἰς τέλος· καὶ ταῦτα εἰπὼν ᾤχετο ἐπὶ τὴν τῶν
περσῶν χώραν· εἰσελθὼν δὲ ὁ βασίλειος καὶ προσκαλεσάμενος ἅπαν τὸ πλῆθος.
Ἀπήγγειλε τὰ τοῦ βασιλέως ῥήματα· καὶ σύμβουλος αὐτοῖς γίνεται ἀγαθός· εἰ
ρηκὼς αὐτοῖς τὰ χρήματα ἀδελφοί, εἰς οὐδὲν λογισάμενοι· τῆς σωτηρίας ἡμῶν πρό
νοιαν ποιήσατε· ἵνα εἰ καὶ ἔλθῃ καιρὸς τῷ τυράννῳ δώροις αὐτὸν ἐκμειλίξομεν.
οἱ δέ, ἀπελθόντες εἰς τοὺς οἴκους αὐτῶν, ἃ εἶχον ἕκαστος αὐτῶν· εἰς τὰς χεῖρας αὐ
τοῦ μετὰ προθυμίας ἤγαγον πρὸς αὐτόν· ἔν τε χρυσίῳ καὶ ἀργυρίῳ· καὶ λίθων
πολυτελῶν· ἄπειρον πλῆθος· ὁ δὲ ἰδὼν τὴν προθυμίαν· καὶ τὸν πόθον αὐτῶν
ἀπέθετο αὐτὰ ἐν τῷ σκευοφυλακίῳ· ὑπογράψας ἑκάστου τὸ ὄνομα εἰρηκὼς αὐτοῖς·
ὅπου τῶν προθέσεων ἧς· ἰσχύει κατ' ἐκεῖνον διαχειρίσασθαι· καὶ μὴ ἀποκατάστη
σε τὰ ἴδια· παραυτὰ οὖν προστάττει τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς πόλεως σὺν

γυναιξὶ καὶ παιδίοις ἀνελθεῖν ἐν τῷ ὄρει τοῦ διδύμου. ἔνθα τιμᾶται καὶ προ-
σκυνεῖται τῆς θεομήτορος ὁ πάνσεπτος ναός. καὶ τρεῖς ἡμέρας νηστεῖς προσκαρ-
τερήσαντες. αἰτῶν τὸν θεὸν διασκεδάσαι τὸν τοῦ παρανόμου βασιλέως σκοπόν.
καὶ ἐπιδεχομένων αὐτῶν καὶ διαγρυπνούντων μετὰ συντετριμμένης καρδίας,
Ὁρᾷ Βασίλειος κατ' ὄναρ πλῆθος στρατιᾶς οὐρανίου ἔνθα καὶ ἔνθα ἐν τῷ ὄρει.
καὶ ἐν μέσῳ αὐτῶν ἐπὶ θρόνου ἐνδόξου καθημένην τινὰ ἐν γυναικείῳ σχή-
ματι. καὶ τοῦτο πῶς εἶπεν. πρὸς τοὺς πλησίον αὐτοῦ ἑστῶτας γαλιλαίους ἄν-
δρας. καλέσατε δή μοι Μερκούριον. καὶ πορεύσεται ἀνελεῖν Ἰουλιανόν. τὸν
εἰς τὸν υἱόν μου καὶ θεὸν ὑπέρογκα βλασφημήσαντα. ὁ δὲ ἅγιος μετὰ τῆς πανοπλί-
ας αὐτοῦ παραγενόμενος. καὶ ἐπιτραπεὶς παρ' αὐτῆς τάχιστα ἐπορεύθη. προσκαλεσα-
μένη δὲ τὸν μέγαν Βασίλειον. ἐπέδωκεν αὐτῷ βιβλίον. ἔχον ἐν ἱστορίᾳ πᾶσαν
τὴν κοσμοποιΐαν. εἶτα, τὸν ἄνθρωπον πλαττόμενον ὑπὸ τοῦ θεοῦ. ἐν ἀρχῇ δὲ τοῦ βι-
βλίου, ἐπιγραφὴ ἦν. εἶπε. ἐν δὲ τῷ τέλει αὐτοῦ ἔνθα ἔπλαττε τὸν ἄνθρωπον, φεῖσαι.
δεξάμενος δὲ τὸ βιβλίον ἐν παρρησίᾳ αὐτῆς, ἀνέγνω μέχρι τῆς ὑπογραφῆς
τοῦ φεῖσαι. καὶ ἀθρόως ἔξυπνος γενόμενος ἀπὸ τοῦ φόβου καὶ τῆς συνεχούσης αὐ-
τὸν χαρᾶς. τοῖς οὖν δυναμένοις δὲ ἐθεώρει τῇ αὐτῇ νυκτί. καὶ Λιβάνιος ὁ σοφιστὴς συ-
νὼν αὐτῷ ἐν προσόδῳ. καὶ τὴν τοῦ κοιαίστορος ἀξίαν διακοσμῶν. ἐκπλαγεὶς
οὖν ὁ μέγας Βασίλειος τῇ ὀπτασίᾳ. τὸν ἄβουλον μόνον δὴ ὑπνώσας, καὶ τοῦ σου-
ναυτῶν ἐν τῇ πόλει. καὶ παραγίνεται ἐν τῷ ναῷ τοῦ ἁγίου ~~[illegible]~~ μερκουρίου. ἔνθα καὶ αὐ-
τὸς κατέκειτο καὶ τὰ ὅπλα αὐτοῦ. ἀπεξήτησε τοῦ σοροῦ χώρας. καὶ προσκαλεσάμενος
τὸν φύλακα, ἐπυνθάνετο ποῦ ἂν εἴη ταῦτα. ὁ μὲν θορυβούμενος ἔλεγεν ἑσπέρας αὐ-
τὰ ἐκεῖσε εἶναι, ὅπως δὴ γενικῶς ἐφυλάττοντο. ἐπιστάσης μου ὁ δὲ ἑκάντων γνώμη
ὁ θεάρεστος πατὴρ ἡμῶν Βασίλειος ὅτι ἀληθής ἐστιν, ἡ ὀπτασία καὶ δοξάσας τὸν θεόν,
τὸν μὴ παρορῶντα τοὺς πεποιθότας ἐπ' αὐτόν. ἐν σπουδῇ δὲ πολλῇ καὶ χαρᾷ
ἀνεκαλεῖτο. ἀνέδραμεν ἐν τῷ ὄρει ἔτι πάντων ὑπνούντων. οὓς διαναστήσας,
καὶ εἰς ἀγρυπνίαν προτρεψάμενος. ἐν φωνῇ ἀγαλλιάσεως ἀπήγγειλε τοῦτο αὐτοῖς τὴν θεό-
θεν αὐτῷ ἀποκάλυψιν γενομένην. καὶ ὅτι τῇ νυκτὶ ταύτῃ ἀνῃρέθη ὁ τύραννος.

πρᾶγμα πᾶσι καὶ χαριστήριον ἔστησεν τῷ θεῷ. ὑπέστρεψεν ἐν τῇ πόλει· προστάξας πᾶσι γὰρ αἱρεθῆναι·
ἐν τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ· καὶ μὴ μετασχεῖν τῆς θείας λειτουργίας. τούτου δὲ γενομένου·
Καὶ τὰ ἅγια ὑψοῦντος αὐτοῦ· σημεῖον οὐ γέγονε καθὼς ἦν συνείθισται τὴν περιστεράν.
καὶ διαλογιζομένου αὐτοῦ τί ἂν εἴη τοῦτο· θεωρεῖ ἕνα τῶν ῥιπιζόντων διακόνων δι-
ανεύοντα γυναικί· καὶ κατακύπτουσα ἐν τῷ ἄμβωνι· ὃν καὶ ταστήσας αὐτὸν ἐκ τοῦ βή-
ματος, ἔνδον τῆς ἐκκλησίας φυλάττεσθαι προστάξας· οὕτως τε θεασάμενος τὴν τοῦ
ἁγίου πνεύματος ἐπιφοίτησιν· προέτρεψε τὸν λαὸν ἅπαντα, ἑπτὰ ἡμέρας προσμένειν τῇ
ἐκκλησίᾳ. τὸν δὲ διάκονον νηστείαις καὶ ἀγρυπνίαις καθυποβαλάς· καὶ τὸ ἐκ τοῦ
περίσσευμα, εἰς τὸ τῶν δεομένων ὑστέρημα δίδοσθαι προστάξας· καὶ οὕτω τὸ θεῖον
ἐξιλεώσασθαι· καὶ εἰ θ' οὕτως κατατολμήσας τῆς ἱερουργίας. βῆλά τε πλατέα χρήματα
κελεύσας κρεμασθῆναι ἐν τοῖς κατηχουμενείοις· διαστελλόμενος ταῖς γυναιξίν· ὡς
εἴ τις τῶν βήλων ἀφαιρεθῇ διακύπτουσα τῆς θείας λειτουργίας γινομένης, ἐξωθεῖσ-
θαι τῆς λειτουργίας καὶ τῆς ἐκκλησίας· καὶ ἀκοινώνητον μένειν. τοῦ δὲ λαοῦ τὴν πάν-
δημον ἑορτὴν ἄγοντος ἐπὶ τῷ τέλει τῶν ἑπτὰ ἡμερῶν· πάντων ἐν τῇ ἐκκλησίᾳ συν-
ηγμένων· ὁ Ἰουλιανοῦ κοιαίστωρ φυγῇ χρησάμενος· εἰσελθὼν ἐν τῇ πόλει· καὶ
μαθὼν τὸ τοῦ λαοῦ ἄθροισμα ἐν τῇ ἐκκλησίᾳ εἶναι ἐκεῖσε παραγέγονε. ἀ-
παγγέλλων τὸν ἔχθιστον θάνατον Ἰουλιανοῦ τοῦ παραβάτου· καὶ προσπεσὼν τοῖς
ποσὶ τοῦ ἀρχιερέως ἠξίου δέξασθαι τὴν ἐν Χριστῷ σφραγίδα καὶ τούτου τυχὼν· μονα-
χὸς γέγονε Βασιλείου· καὶ τῇ ἑξῆς προστάξας ἕκαστον ἀπολαβεῖν τὰ ἴδια χρή-
ματα· οἱ δὲ, μιᾷ φωνῇ εἶπον πρὸς αὐτόν· ἔθνη τῷ βασιλεῖ καὶ ἀσεβεῖ ταῦτα πάντα
χαίρειν ἠβουλήθημεν ἐπὶ τὸ μὴ πορθῆσαι ἡμῶν τὴν πόλιν· πολλῷ μᾶλλον χρὴ τῷ
ἀθανάτῳ βασιλεῖ καὶ δεσπότῃ προσενεχθῆναι αὐτά· τῷ ἐκ τηλικούτου θανάτου
λυτρωσαμένου ἡμᾶς· ἰδοὺ οὖν ἐν χερσί σου ἐστὶ πάντα, ὡς ὅπως ὑπαγορεύσοι πράτ-
τε. ὁ δὲ θαυμάσας τοῦ πιστοτάτου λαοῦ τὸ μεγαλόψυχον· πρώτην μοῖραν καὶ μὴ
θέλουσι παρέσχε τοῦτο αὐτοῖς· καὶ ἐκ τῶν ὑπολοίπων ἠμφίασε μὲν ἅπαντα τὸ ἱερα-
τεῖον· μετὰ τοῦ κιβωρίου τοῦ θυσιαστηρίου· χρυσίῳ καθαρῷ καὶ λίθοις τιμί-
οις κατακοσμήσας· καὶ προσκαλεσάμενος τὸ πλῆθος τῶν οἰκητόρων, πρᾶγμα

τὴν ἱερὰν τράπεζαν· τρεῖς ἡμέρας ἐκέλευσεν ἑορτάζειν· τούτου οὕτως ἐπιτελουμένου,
τινὲς τῶν ἐν τῇ πλάνῃ τῶν ἑλλήνων ὄντες· ἰδοὺ διὰ χρόνου τὴν πόλιν ἡμῶν αἰχ-
μαλωτίζεσθαι μέλλουσαν ἐλυτρώσω· καὶ τὸν ναὸν τοῦ θεοῦ ὑπερφυῶς κατεκόσμη-
σας· λείπεται οὖν καὶ ἡμᾶς αὐτοὺς πληροφορηθῆναι· τὰ τῆς δυνάμεως τοῦ θεοῦ σου· ὁ δὲ
διὰ βραχέων ῥημάτων ὑποδείξας αὐτοῖς τὴν ὁδὸν τῆς σωτηρίας· πείσας καὶ κατη-
χήσας ἐβάπτισεν· ἐπελθούσης οὖν τῆς ἁγίας τεσσαρακοστῆς· τὴν θείαν ἐκείνην
τῆς ἑξαημέρου ἑρμηνείας τῷ λαῷ ἐξηγήσατο· πάμπολλα πλήθη ἑβραίων τε
Καὶ ἑλλήνων προσενέγκας τῷ χριστῷ. τινὸς δὲ τῶν καταλειφθέντων ἑλλήνων· ὁμοῦ,
ἅμα καὶ ἀρειανῶν· διέβαλλον αὐτὸν πρὸς οὐάλεντα τὸν βασιλέα· ὡς τὴν τοῦ ὁ-
μοουσίου πίστιν δοξάζει· βδελυξάμενος καὶ διαπτύων τὴν τῶν ἀρειανῶν αἵρεσιν.
τούτοις πεισθεὶς ὁ κοῦφος τὴν γνώμην οὐάλης· ἀποστέλλει τοῦ παραγενέσθαι
αὐτὸν ἐπὶ τὴν ἀντιόχου πόλιν· ἀναστασίου δὲ τοῦ προκτήτορος· τὴν καισάρειαν
πόλιν καταλαβόντος· καὶ δῆλα τῷ βασιλεῖ πεποιηκότος· τὰ προσαχθέν-
τα αὐτῷ παρὰ τοῦ βασιλέως, εἶπεν αὐτῷ· ὁ δὲ ἔφη· κἀγὼ τέκνον πρὸ ὀλίγων ἡ-
μερῶν ἔγνων· ὡς ὁ βασιλεὺς πείθεται ἀνοήτοις ἀνδράσι· τρεῖς καλάμους συνέ-
τριψε· καὶ βουλόμενος τὴν ἐξορίαν μου διαχαράξαι, καὶ τὴν συνήθειαν ἀ-
μαυρῶσαι· οἱ δὲ ἀναίσθητοι κάλαμοι· ἐπέσχον τὴν ἀκάθεκτον αὐτοῦ ὁρμήν·
συντριβῆναι μᾶλλον ἑλόμενοι· ὑπουργῆσαι τῇ παρανόμῳ αὐτοῦ ψήφῳ· καὶ
καταλαβὼν τὴν ἀντιόχειαν, εἰς τὸ τῶν ὑπάρχων εἰσάγεται δικαστήριον· ἐρωτη-
θεὶς δὲ τίνος χάριν μὴ τὴν τοῦ βασιλέως ἀσπάζοιτο πίστιν, σὺν πολλῇ παρρησίᾳ
ἀπεκρίνατο· μή μοι γένοιτο τὴν ὁδὸν καταλεῖψαι τῆς ἀληθείας· ἢ τὴν πεπλα-
νημένην τῶν ἀρειανῶν ἀσπάσασθαι κακοδοξίαν· τὴν γὰρ τοῦ ὁμοουσίου πί-
στιν ἐκ τῶν πατέρων παρέλαβον· ἐπεὶ δὲ ὁ ἔπαρχος θάνατον αὐτῷ διηπείλησεν·
ἔφη βασίλειος· γένοιτό μοι ὑπὲρ τῆς ἀληθείας· ἀπαλλαγῆναι τῶν δεσμῶν τοῦ
σώματος. τοῦτο γὰρ ἐκ πολλοῦ ὀρέγομαι εἴγε ὑμεῖς μὴ ἀτονήσητε περὶ τὴν
ὑπόσχεσιν· ὁ δὲ ἔπαρχος τὴν ἔνστασιν τοῦ ἀνδρὸς καὶ τὸ ἀμετάθετον τῆς γνώμης
ἐγνώρισε τῷ βασιλεῖ λέγων· ἡττήμεθα βασιλεῦ ἡττήμεθα· ὑψηλότερος ὢν

ἁπλῶν ὁ ἀνήρ· ἄκαμπτον καὶ ἀμείλικτον κεκτημένος τὸ φρόνημα· τοῦ οὖν
βασιλέως θυμοῦ ζέσαντος καὶ διασκεπτομένου ποίῳ θανάτῳ τοῦτον διαχει-
ρίσεται· συνέβη τὸν υἱὸν αὐτοῦ Γαλάτην νόσῳ περιπεσεῖν· ὥστε ἀπογνωσθῆ-
ναι αὐτὸν ὑπὸ τῶν ἰατρῶν· ἡ δὲ μήτηρ αὐτοῦ τῷ βασιλεῖ ἀμφιβάλλουσα ἔλεγεν·
ὡς κακῶς διετέθης τὰ πρὸς τὸν θεόν· καὶ τὸ βασίλειον θνήσκει διὰ τὴν εἰς Βασί-
λειον τοῦ θεοῦ ἀρχιερέα γενομένην ὕβριν· ταῦτα ἀκούσας ὁ βασιλεύς, μετεκα-
λεσάμενος τὸν Βασίλειον, ἔφη πρὸς αὐτόν· εἰ ἀληθῆ τυγχάνει τὰ δόγματά σου,
καὶ θεὸς ἐπ' αὐτοῖς χαίρει, τὸν υἱόν μου τῆς νόσου ἀπάλλαξον· ὁ δὲ ἔφη· ἐὰν
πιστεύσῃς βασιλεῦ τῇ ὀρθοδόξῳ πίστει· καὶ ἑνωθῇ ἡ τοῦ θεοῦ ἐκκλησία, ζήσε-
ται ὁ υἱός σου· τοῦ δὲ συνθεμένου μὴ μελλήσας ὁ μέγας Βασίλειος ἅμα τῇ παρου-
σίᾳ αὐτοῦ· ῥᾷον τῆς νόσου ἐποίησεν· οἱ δὲ κακόδοξοι ἐπίσκοποι τὴν αἰσχύ-
νην τῆς ἥττης μὴ φέροντες, ἔπεισαν τὸν βασιλέα, μὴ μεταπεσεῖν τοῦ σκοποῦ·
ἀλλὰ τῇ θρησκείᾳ αὐτῶν προσδραμεῖν· καὶ δι' αὐτῶν τὴν θεραπείαν προ-
πορίσασθαι· καὶ τούτου γενομένου· εὐθέως τὸ παιδίον ἐν ταῖς χερσὶν ἐξέψυ-
ξε· ταῦτα δὲ θεασάμενος ὁ βασιλεύς:- μετὰ τὴν λατηνουάλι, ἐπήγγειλε
τῷ βασιλεῖ Οὐαλεντινιανῷ τὰ ἀριστεῖα τοῦ ἀνδρός· ὁ δὲ ἐκπλαγείς, ἐδόξα-
σε τὸν θεόν· δούς τε πολλὰ χρήματα τῷ αὐτῷ προκήτορι· εἰς χρείαν τῶν δεομένων,
ἀπέστειλεν αὐτὸν πρὸς Βασίλειον· ὁ δέ, τὸ μεγαλόψυχον τοῦ ἀνδρὸς ἀποδεξά-
μενος· οἰκοδόμησεν οἴκους διαγεῖς ἔν τε τῇ πόλει· καὶ παντὶ κλίματι τῆς
ἐπαρχίας· εἰς ἀνάπαυσιν τῶν ἀσθενῶν· καὶ ἐνέκλεισε πλῆθος ἀνδρῶν
τε καὶ γυναικῶν καὶ παιδίων· πλείστην ἐπιμέλειαν καὶ ἀνάπαυσιν πα-
ρέχων αὐτοῖς· ταῦτα ἀκούσας ὁ βασιλεύς· προσόδους πολλὰς ἐδωρήσατο
εἰς διατροφὴν αὐτῶν· σέβας πνευματικὸν ἀπονέμων τῷ ἱεράρχῃ τοῦ Χριστοῦ:

Διηγήσατό μοι καὶ τοῦτο· ὁ προρρηθεὶς ἀοίδιμος ἀνὴρ Ἑλλάδιος· ὅτι ἐν μιᾷ
τῶν ἡμερῶν· ἐλλαμφθεὶς ὁ ὅσιος πατὴρ ἡμῶν καὶ μέγας Βασίλειος· ἐξορμῆσαι
ἐκ τῆς καθ' ἡμᾶς πόλεως· μηδενὶ εἰπεῖν ποῦ μέλλει ὑπάγειν· καὶ ἑστὼς θεωρῶν
ἔμπροσθεν πάντων ἡμῶν, εἶπεν ἡμῖν· τεκνία μου ἀκολουθήσατέ μοι

ὅπως ὄψεσθε ἅμα ἐμοὶ τὴν δόξαν τοῦ θεοῦ· καὶ θαυμάσωμεν ἐκ τῶν μαθητῶν τὸν
διδάσκαλον· ὅτι πηνίκα οὖν ἐξώρμησεν ἐκ τῆς καθ' ἡμᾶς πόλεως· ὁ κοινὸς ἡ-
μῶν πατήρ, ἔγνω τῇ δυνάμει τοῦ ἁγίου πνεύματος· ὁ πρεσβύτερος Ἀναστάσιος· καὶ χ
τῇ γυναικὶ αὐτοῦ ὀνόματι Μόνω, ἀδελφῇ τῇ Χρήστῃ· ἐγὼ ἀπέρχομαι γκη πο-
μῆσαι κυρία ἀδελφή· ἀλλὰ ἀνάστα καὶ κόσμησον τὸν οἶκόν σου· καὶ πρὸ τῆς ὥρας
ἐν ματην, λαβοῦσα θυμιατὸν καὶ κηρούς· ὕπαν τὴν θη πη μόνω τῷ ἁγίῳ βασι-
λείῳ τῷ ἀρχιεπισκόπῳ· ἔρχεται γὰρ καὶ ταλύ(?) εἰς τὸν οἶκον ἡμῶν τῶν ἁμαρτω-
λῶν· ἡ δὲ σύντρομος γενομένη ἐπὶ τῇ παραδόξῳ ἐξ..., ἐποίησεν ὡς ἐδιδάχ-
θη· ἦν δὲ αὕτη παρθένος σεμνῶς βιώσασα τεσσαράκοντα δύο(?) ἔτη χρό-
νους· σὺν τῷ συνοικεσίῳ αὐτῆς· καὶ φυλάξασα τὸ μυστήριον· στεῖρα γὰρ ἐ-
χρημάτιζε τοῖς ἀνθρώποις· ὑπαντήσασα δὲ αὐτὸν μετὰ τῆς πρεπούσης σεμνότητος·
καὶ τὴν προσήκουσαν προσκύνησιν ἀπονείμασα, πρῶτον μὲν ἀλογεῖται
παρ' αὐτοῦ τοῦ ὁσίου πατρὸς ἡμῶν· ποῦ ἐστιν ὁ κύρις Ἀναστάσιος ὁ πρεσβύτερος ὁ ἀ-
δελφός σου, λέγει αὐτῷ ἀμνημονοῦ(?) ὑπάρχει δέσποτα, καὶ ἀπῆλθεν πορνῆσαι·
ὁ δὲ εἶπεν ἐν τῷ οἴκῳ σου ἐστὶ καὶ μὴ σκύλλου· ἐκπλαγεῖσα οὖν ἡ γυνὴ ἐπὶ τῷ
ῥήματι τούτῳ· τῇ τε κλήσει τοῦ ὀνόματος αὐτῆς οὐ μὴν ἀλλὰ καὶ τὸ πεῖραν
τὴν τὸν θεοφόρον πατέρα ἡμῶν· ὅτι μὲν γυνὴ ὑπάρχει τῷ ὀνόματι· ἀδελφὴ δὲ τῇ
Χρήστῃ· καὶ ἔκθαμβος γενομένη, τρόμῳ συσχεθεῖσα· ἔπεσεν ἐπὶ τὴν γῆν
κράζουσα καὶ λέγουσα· εὖξαι ὑπὲρ ἐμοῦ τῆς ἁμαρτωλῆς, ὅτι μεγάλα καὶ θαυ-
μαστὰ ὁρῶ ἐν σοὶ πράγματα· ποιήσας ἐπ' αὐτῇ εὐχὴν ἔμπροσθεν πάντων
ἐπορεύετο· καὶ ἐλθόντων ἡμῶν εἰς τὸν οἶκον τοῦ πρεσβυτέρου, ὑπήντησα
αὐτῷ καὶ αὐτός, καὶ κατεφίλησε τοὺς τιμίους αὐτοῦ πόδας· καὶ δεδωκὼς
αὐτῷ τὸν ἐν κυρίῳ ἀσπασμόν· λέγει αὐτῷ ὁ πρεσβύτερος· πόθεν τοῦτο ἵνα ἔλ-
θῃ ὁ ἅγιος τοῦ θεοῦ πρός με· καὶ λέγει αὐτῷ ὁ πατὴρ ἡμῶν· καλῶς σε εὕρομεν μα-
θητὰ τοῦ Χριστοῦ· ἦν γὰρ καὶ αὐτὸς ὁ πρεσβύτερος νηστεύων καθ' ἡμέραν· ἐκ-
τὸς σαββάτου καὶ κυριακῆς· μὴ ἀπτόμενος τινός, ἄνευ ἄρτου καὶ ὕδα-
τος· καὶ ἀπελθόντων ἡμῶν ἐν τῇ ἐκκλησίᾳ προσετρέψατο τὸν πρεσβύ-
τερον λειτουργῆσαι· ὁ δὲ φησὶ πρὸς αὐτόν· ὡς διδάσκαλε πάτερ· τὸ ἔλαττον

ὑπὸ τοῦ κρείττονος ἀλογεῖται. λέγει αὐτῷ ὁ ὅσιος πατὴρ ἡμῶν· μετὰ πασῶν τῶν ἀ-
ρετῶν, ἔχε καὶ τὴν ὑπακοήν. καὶ ἀπελθὼν ὁ πρεσβύτερος ἔστη εἰς τὴν ἁγίαν λειτουρ- (10)
γίαν· καὶ τῷ καιρῷ τῆς ὑψώσεως τοῦ ζωοποιοῦ σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἶδεν ὁ ἅγιος
τοῦ θεοῦ· καὶ ἕτεροι τῶν ἀξίων, τὸ πνεῦμα τὸ ἅγιον κατελθόντα ἐν εἴδει πυρός· καὶ κυκλώ-
σαντα τόν τε πρεσβύτερον καὶ τὸ ἅγιον θυσιαστήριον. μεταλαβόντων δὲ ἡμῶν καὶ
εὐχαριστησάντων τῷ κυρίῳ, ἀπήλθομεν ἐν τῷ οἴκῳ τοῦ πρεσβυτέρου· καὶ μεταλαβόντες
Τροφῆς· εἶπεν αὐτῷ ὁ ἅγιος τοῦ θεοῦ· διήγησαί μοι πόθεν σοι ὁ θησαυρὸς οὗτος, ὦ τρισ-
όλβιε. λέγει ὁ πρεσβύτερος· ἐγὼ ἀγροῖκός εἰμι ἁμαρτωλός, ὑποκείμενος δημοσίοις τελέ-
σμασιν· ἔχω δὲ ζευγάρια βοῶν δύο· καὶ τὸ μὲν ἓν ἐργάζομαι αὐτὸς, τὸ δὲ ἕτερον ὁ μίσθιός μου· καὶ
τὸ μὲν ἐν ἔστιν εἰς ὑπουργίαν τελεσμάτων· καὶ ἔστιν ἡ σύνδουλός μου αὕτη ἡ γυνή μου δια-
κονοῦσα τοῖς ξένοις καὶ ἐμοί. λέγει αὐτῷ· καλεῖς αὐτὴν ἀδελφήν σου καθώς ἐστι. καὶ εἰπέ
μοι καὶ ἄλλας τὰς σὰς ἀρετάς. λέγει αὐτῷ ὁ πρεσβύτερος· οὐκ ἐκτησάμην ἑτέραν ἀρετὴν κα-
λὸν ποτὲ ἐπὶ τῆς γῆς· ξένος εἰμὶ πάσης ἀρετῆς. τότε λέγει αὐτῷ ὁ ὅσιος πατὴρ ἡμῶν·
ἀνάστα καὶ περιπατήσωμεν ὁμοῦ. καὶ ἀποφέρει αὐτὸν εἰς ἕνα τῶν κελλίων αὐτοῦ· καὶ
λέγει αὐτῷ· ἄνοιξον τὴν θύραν. εἶπε δὲ αὐτῷ· μὴ ἅγιε τοῦ θεοῦ μὴ κελεύσῃς εἰσελθεῖν,
ὅτι χρεία τοῦ οἴκου ἐστί. λέγει αὐτῷ ὁ ἅγιος· καὶ ἐγὼ διὰ τὴν χρείαν ταύτην ἦλθον. μὴ θέ-
λοντος οὖν τοῦ πρεσβυτέρου ἀνοῖξαι τὴν κλεῖδα, λόγῳ αὐτὴν ἤνοιξεν ὁ θεῖος ὅ-
σιος πατὴρ ἡμῶν· καὶ εἰσελθὼν ἐκεῖσε εὗρεν ἄνδρα λωβὸν ἀπορρυέντα τὰ πλεῖστα
τοῦ σώματος μέρη· καὶ οὐδεὶς αὐτὸν ᾔδει ἐκεῖ εἶναι, εἰ μὴ ὁ πρεσβύτερος καὶ ἡ τούτου
ἀδελφή. λέγει αὐτῷ ὁ πρεσβύτερος· ὁ ξένος ἐπειδὴ ἀπὸ γάμου καὶ ὑβριστής· καὶ ἐπτοήθην
μή ποτε παρὰ πάντων εἰς ῥῆμα. λέγει αὐτῷ ὁ ὅσιος πατὴρ ἡμῶν, καλῶς ἠγωνίσω εἰς αὐτόν.
Ἀλλ' ἔασον κἀμὲ ταύτῃ τῇ νυκτὶ διακονῆσαι αὐτῷ· ἵνα κἀγὼ διὰ σοῦ μισθὸν κομί-
σωμαι. καὶ ἐάσαντες τὸν ἅγιον μετὰ τοῦ λωβοῦ ἐν τῷ κελλίῳ, μηδὲ φωνὴν ἔχον-
τα τοῦ λαλῆσαι· τῇ αὐστηρίᾳ τοῦ πάθους· καὶ κλείσαντες τὴν θύραν, ἀπήλθα-
μεν. ὁ δὲ ἰατρὸς τῶν τραυμάτων ποιήσας ἑαυτὸν ἄγρυπνον διὰ πάσης τῆς νυκτὸς ἱκέτευε
τὸν θεόν· τὸν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενον, ἐθεράπευσεν αὐτόν.
λέγει οὖν ἡμῖν ὁ πρεσβύτερος· δόξα σοι ὁ θεὸς ὁ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐ-
τὸν καὶ ἐπακούων· ἰδοὺ ὁ ἰατρὸς τὸν ἀσθενῆ ἐποίησεν ὑγιῆ. καὶ αἴφνης ἐφώνησεν ἡμῖν

ὁ ἅγιος ἀνοῖξαι τὴν θύραν ἐξήγαγε τὸν λωβὸν ὁλόκληρον ὑγιῆ· μὴ ἔχοντα μώλωπα
ἐν τῷ σώματι αὐτοῦ· λαλοῦντα τρανῶς καὶ δοξάζοντα τὸν θεόν· τούτου δὲ τοῦ
θαύματος γενομένου· ὑπέστρεψεν εἰς τὴν αὐτοῦ πόλιν μετὰ χαρᾶς αἰνοῦντες καὶ ἀλα-
λάζοντες τὸν θεόν· ἑτέραν διήγησιν βούλομαι, ἀγαπητοί, διηγήσασθαι· φαμὲν δή,
βασιλείου τοῦ ἀοιδίμου, καὶ ἐφραὶμ τοῦ σύρου· καὶ τὰ μὲν τοῦ πατρὸς ἡμῶν θεα-
σάμενοι· τοῦ δὲ τοῦ ἁγίου θεσπεσίου ἐφραὶμ· τοῦ ἀχα δι' αὐτοῦ στόματος ἀκού-
επιδόντος· ἐφραὶμ ὁ ἀοίδιμος ὢν ἐν τῇ ἐρήμῳ· τὰ μὲν, τῇ ἐλλάμψει τοῦ ἁγίου πνεύματος
θεώμενος· τὰ δὲ ἐκ πόθου καὶ ἐπερωτήσεως μανθάνων· τὰ θαυμάσια ἔργα τοῦ
ἀοιδίμου πατρὸς ἡμῶν βασιλείου· ἐν τέλει ὡς παρεκάλει τὸν θεὸν ἀποκαλύψαι αὐτῷ
τὸ ποῖός ἐστιν ὁ μέγας βασίλειος· ἐν ἐκστάσει οὖν γενόμενος, ὁρᾷ στύλον πυρός·
οὗ ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ φωνὴν ἄνωθεν λέγουσαν πρὸς αὐτόν·
ἐφραὶμ, ἐφραὶμ· ὃν τρόπον ἐθεάσω τοῦτον τὸν στύλον τοῦ πυρός, τοιοῦτός ἐστι
καὶ ὁ μέγας βασίλειος· καὶ ἀθρόως παραλαβὼν ἑρμηνέα· διὰ τὸ μὴ γινώσκειν
αὐτὸν λαλεῖν τῇ ἑλληνίδι γλώσσῃ· καὶ ἰδοὺ παραγίνεται εἰς τὴν μεγάλην
ἐκκλησίαν τῆς μεγαλωνύμου καισαρείας· φθάσας οὖν ἐν αὐτῇ τῶν ἁγίων
θεοφανίων· καὶ εἰσελθὼν λάθρα ἐθεάσατο εἰσερχόμενον τὸν μέγαν βασίλειον· καὶ
λέγει τῷ ἀκολουθοῦντι αὐτῷ, ὅτι εἰς κενὸν ἐκοπιάσαμεν ὑπολαμβάνω ἀδελ-
φέ· οὗτος γὰρ ~~αὐτὸ~~ ἐν τοιαύτῃ τάξει ὑπάρχων, οὐκ ἔστι καθὼς ἐθεασάμεθα· εἰ
δὲ γὰρ αὐτῷ περιβεβλημένον στολὴν λαμπρὰν· καὶ τὸν ~~ἐν~~ περὶ αὐτὸν ἅγιον
κλῆρον λαμπροφοροῦντα, καὶ ὀψικεύοντα αὐτόν· καὶ στὰς ἐν τόπῳ κρυπτῷ
τῆς ἐκκλησίας· κατέγνω τῆς ὑποθέσεως λέγων ἐν ἑαυτῷ· ἡμεῖς οἱ βαστάσαν-
τες τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐδὲν ὠνησάμεθα· καὶ οὗτος ἐν
τῇ αὐτῇ ὢν δορυφορίᾳ καὶ τιμῇ ἀρίμη· στύλος ὑπάρχει πυρός; θαυμάζω.
ταῦτα οὖν αὐτοῦ διαλογιζομένου, πέμπει πρὸς αὐτὸν ὁ ἅγιος τὸν ἀρχιδιάκονον
αὐτοῦ εἰπών· ἄπελθε κατὰ τὴν πύλην τὴν δυτικήν, καὶ ἐν τῇ γωνίᾳ τῆς
ἐκκλησίας εὑρήσεις ἀββᾶν, ἔχοντα κουκούλιον μετ' ἄλλου τινός· σὺν αὐ-
μικρὸν καὶ τὰ λοιπὰ τῆς ὄψεως αὐτοῦ· καὶ ἐρεῖς αὐτῷ· κέλευσον εἰσελθεῖν εἰς

τὸ ἱερατεῖον· καὶ λέγει σοι ὁ πρόεδρος ὁ ἀρχιεπίσκοπος· καὶ μαθὼν διὰ τοῦ ἑρμηνευ
τοῦ λεγόμενον· ἀπελογήσατο λέγων· ἐπλανήθης ἀδελφέ· ἡμεῖς ξένοι τυγχάνομεν·
καὶ ἀπελθὼν ὁ διάκονος, ἀπήγγειλε τῷ ἀρχιεπισκόπῳ ταῦτα· τοῦ δὲ μεγάλου
βασιλείου τὰς ἱερὰς βίβλους ὑπαναγινώσκοντος τῷ λαῷ ὁρᾷ ὁ ὅσιος ἐφραὶμ γλῶσ
σαν πυρίνην διὰ τοῦ στόματος αὐτοῦ φθεγγομένην· λέγει οὖν πρὸς αὐτὸν ἀρχιδιάκο
νον πάλιν ὁ ἅγιος· ὕπαγε καὶ εἰπὲ αὐτῷ· κύριε ἐφραὶμ κέλευσον εἰσελθεῖν εἰς τὸ ἱερα
τεῖον· καὶ λέγει σοι ὁ ἀρχιεπίσκοπος· καὶ ἀπελθὼν ὁ ἀρχιδιάκονος καὶ φιλήσας τὰ ἴχνη
αὐτοῦ λέγει αὐτῷ· κύριε ἐφραίμ· κέλευσον εἰσελθεῖν εἰς τὸ ἱερατεῖον, καὶ λέγει σοι ὁ ἀρ
Χιεπίσκοπος, ἐξεπλάγη οὖν ὁ ὅσιος ἐπὶ τῇ τοῦ ὀνόματος κλήσει· καὶ ἐπὶ τούτοις δο
ξάσας τὸν θεόν· καὶ ποιήσας μετάνοιαν· καὶ ἀπολογησάμενος αὐτῷ εἶπεν· ἀληθῶς
μέγας βασίλειος· ἀληθῶς τὸ ἅγιον πνεῦμα λαλεῖ διὰ τοῦ στόματος αὐτοῦ· παρεκάλε
σε δὲ τὸν ἀρχιδιάκονον ἀπολογήσασθαι αὐτῷ· καὶ ὅτι μᾶλλον ἐν τῇ λειτουργίᾳ
ἀσπάζομαι αὐτὸν ἐν τῷ σκευοφυλακίῳ· μετεκαλέσατο τὸν ἅγιον ἐφραίμ·
καὶ τὸν ἐν κυρίῳ ἀσπασμὸν δίδωσιν αὐτῷ· λέγει αὐτῷ· καλῶς ἦλθες ὁ πατὴρ τῶν τέκνων
τῆς ἐρήμου· καλῶς ἦλθες ὁ πληθύνας τοὺς μαθητὰς τοῦ χριστοῦ ἐν αὐτῇ· καὶ
τοὺς δαίμονας ἀπελάσας χάριτι χριστοῦ· εἰς τί ἐκοπίασας πάτερ· ἦλθες θεάσασθαι
ἄνθρωπον ἁμαρτωλόν· δώσει σοι ὁ θεὸς τὸν μισθὸν κατὰ τὸν κόπον σου· καὶ ἀπολογη
σάμενος αὐτῷ ὁ τίμιος ἐφραίμ· καὶ ἐξεῖπεν αὐτῷ πάντα τὰ ἐν τῇ καρδίᾳ
αὐτοῦ γεωργηθέντα· ἅμα τῷ σὺν αὐτῷ ἀββᾶ· μετέλαβεν ἐκ τῶν ἁγίων
αὐτοῦ χειρῶν· καὶ ποιήσαντος αὐτοῦ ἀγάπην· εἶπεν ὁ ὅσιος ἐφραίμ· πάτερ τι
μιώτατε, μίαν αἰτῶ χάριν παρὰ σοῦ· καὶ ταύτην ἐπίνευσον δοθῆναί μοι· ὁ δὲ εἶ
πεν αὐτῷ· κέλευσον εἰπὲ τὰ δοκοῦντά σοι· πολλὰ γάρ σοι χρεωστῶ· καὶ μάλι
Στα διὰ τὸν κόπον σου τῆς εἰς ἐμὲ παρουσίας· λέγει αὐτῷ ὁ τίμιος ἐφραίμ· οἶδα
πάτερ ἅγιε· ὅτι ὅσα ἂν αἰτήσῃ παρὰ τοῦ θεοῦ παρέχει σοι· καὶ θέλω ἵνα παρακα
λέσῃς τὸν θεόν, καὶ λαλήσω γραικιστί· ὁ δὲ εἶπεν ὑπὲρ τὴν δύναμιν ἐζήτησας·
ἀλλ᾽ ἐπειδὴ πιστῶς ᾐτήσω· δεῦρο πάτερ ἁγιώτατε καὶ τῆς ἐρήμου καθηγητὰ καὶ

δεηθῶμεν τοῦ κυρίου. δυνατὸς γάρ ἐστι ποιῆσαι τὸ θέλημά σου. γέγραπται γὰρ θέλημα τῶν
φοβουμένων αὐτὸν ποιήσει.. καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς.
καὶ ποιησάντων τὴν προσευχὴν ἐπὶ πλείστην ὥραν καὶ ἀναστάντων εἶπεν ὁ βασί
λειος. διὰ τί κύριε ἐφραὶμ οὐ λαμβάνεις τὴν χειροτονίαν τοῦ πρεσβυτέρου, ὅπερ ἁρμό
ττον σοι. λέγει αὐτῷ διὰ τοῦ ἑρμηνέως ὅτι ἁμαρτωλός εἰμι. ἀπεκρίθη αὐτῷ. εἴθε τὰς
ἁμαρτίας σου ἐγὼ εἶχον. καὶ λέγει αὐτῷ ποίησον μετάνοιαν. καὶ κειμένων αὐτῶν
ἐπὶ τοῦ ἐδάφους. ἐπέθηκε τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ὅσιον ἐφραὶμ ὁ μέγας ἀρχι
ερεὺς τοῦ χριστοῦ. καὶ εἶπε τὴν εὐχὴν τοῦ διακόνου. καὶ λέγει αὐτῷ κέλευσον ἔγειρον ἡ
μᾶς. τρανωθείσης οὖν τῆς γλώττης αὐτοῦ. λέγει ὁ ὅσιος ἐφραὶμ τῇ ἑλληνίδι γλώσ
σῃ. σῶσον ἐλέησον ἀνάστησον καὶ διαφύλαξον ἡμᾶς ὁ θεὸς τῇ σῇ χάριτι. καὶ
ἐπληρώθη τὸ γεγραμμένον. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός. καὶ τρανὴ ἔσται
γλῶσσα μογιλάλων. καὶ λαλήσαντος αὐτοῦ παραχρῆμα γραικιστί. πάντες αὐτῇ
τῇ ὥρᾳ ἐδόξασαν τὸν θεὸν τὸν πάντα δυνάμενον. καὶ εἰσακούοντα τῆς δεήσεως
τῶν φοβουμένων αὐτόν. καὶ πνευματικῶς εὐφρανθέντες ἐπὶ τρεῖς ἡμέρας. καὶ χειρο
τονήσας τὸν ἑρμηνέα διάκονον. καὶ τὸν ἐφραὶμ πρεσβύτερον. ἀπέλυσεν αὐτοὺς
ἐν εἰρήνῃ δοξάζοντας τὸν θεόν. ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον. καθὼς ἐλαλήθη παν
ταχοῦ.

βίος ϗ πρ

a

ὁ θαυμάσιος οὗτος· τῆς
ταύτης προκειμένων ἀομτ·
παρ' ὅλον τὸν τοῦ διωγμοῦ
καιρόν· φιλοφρόνως δὲ
ξενίζε· ταῦτα πρὸς τὴν
χρείαν δαψιλῶς παρε-
χόμενος· καὶ τὸν πρὸς
χ(ριστὸ)ν πόθον ἐπαύξων αὐτοῖς·
ὧν ἀνὴρ δὴ καὶ τιμόθεος
τῶν θείων· ἀνὴρ οὗτος.

Πολίτης ἀντιοχέας· χρι-
στιανῶν δὲ κηδεμὼν καὶ
διδάσκαλος· καὶ γὰρ
τοὺς προστάτας τῆς πλά-
νης· παρ' οὐδὲν ὅλως τι-
θέμενος· ἐν παρρησίᾳ ἅ-
πασιν ἐκήρυττε τὴν ἀ-
λήθειαν· παρ' ὃ καὶ ὑπὸ
κ[illegible]μων κατασχεθείς.
δέσμιος ἤχθη μέχρι ῥώ-
μης αὐτῆς· ὃς καὶ καθειρ-
χθεὶς ἐπὶ ἐφ' ἱκανὸν χρό-
νον· παρὰ ταρκυΐνου
ἐπάρχου τῆς πόλεως.
ὁ μακάριος σίλβεστρος
παραμένων ἦν· καὶ τοῦ

εἰς διακονίαν ἀποστολι-
κῶν· ἔπειτα δὲ καὶ τὴν κε-
φαλὴν ἀποτμηθείς· μετὰ
π[illegible]σάμων καὶ μαρ-
τύρων πολλῶν· διὰ τὸ τῆς
πίστεως ἀμετάθετον· τὸ
τούτου σῶμα τὸ ἅγιον· με-
σονυκτίων· τῆς φυ-
λακῆς· εἰς τὸν ἴδιον ἐξε-
κόμισεν οἶκον· ἔχων δὲ
καὶ μελτιάδην τὸν μακάριον·
ὃς τῆς ἐκκλησίας με-
τὰ κυρίων τὸν θεῖον δι-
[illegible] τοὺς οἴακας συ-
ναιρόμενον· ναὸν τοῦ
μακαρίτη τιμοθέου· ἐξ
αὐτῶν κρηπίδων ἐδεί-
ματο· ἐν ᾧ τὸ ἐκείνου
σῶμα τὸ τίμιον· τιμί-
ως ἅμα καὶ ἐντίμως κα-
τατίθεται· τοῦτο

Τὸν ἔπαρχον εἰς γνῶσιν
ἐλθὸν· πολλὴν ἐνῆκε
καὶ ἀκάθεκτον τὸν θυ-
μόν· εὐθὺς οὖν ἀχθῆναι
κελεύει τὸν σίλβεστρον·

καὶ φησὶ πρὸς αὐτόν· εἰ
μὴ παράσχῃς μοι τὰ χρήματα
τοῦ μακαρίου Τιμοθέου ὑφ' ὃν ἐμφα-
νῆ κατέστησας· πλου-
τεῖν γὰρ ἐκεῖνον ὁ τύραν-
νος ὑπελάμβανεν· εἶτα
καὶ τοῖς θεοῖς τὰς νενο-
μισμένας προσενέγκῃς
θυσίας· κακὸς κακῶς ἀπ-
ολῇ· πρὸς ὃν ὁ ἅγιος·
εὐαγγελικῶς σοι προσ-
φθέγγομαι· εἴρηκε τὴν
φωνήν· ταύτῃ τῇ νυκτὶ
τὴν ψυχήν σου ἀπαιτοῦ-
σιν ἀπὸ σοῦ· ἵνα γνῷς
ὡς οὐκ ἐτιμωρήσω Τιμό-
θεον· οὐ μακρός· ἀλλ' αὐ-
τὸς μάρτυς Χριστοῦ ἱερὸς ὄντως
καθέστηκεν· οὕτως
εἰπὼν τῇ εἱρκτῇ σιδηρό-
δετος παραπέμπεται·
Τὸ δὲ ὑπ' αὐτοῦ προρρηθὲν
εὐθέως ἐσφράγισεν ὁ
θεός· ἐσθίοντος γὰρ τοῦ
ἐπάρχου ἰχθύος ἄκαν-
θαι τῷ αὐτοῦ λάρυγγι ἐμ-

παγεῖσαι· ἐλεεινῶς κα-
ταστρέψαι τὸν βίον πε-
ποίηκεν· ἐφ' ᾧ χαρᾶς πλη-
σθέντες οἱ εὐσεβεῖς· τὸν
μακάριον Σίλβεστρον· ἅμα
καὶ τῶν δεσμῶν καὶ τῆς φυ-
λακῆς· μάρτυρα τῇ προ-
αιρέσει· καὶ ἀναίμακτον
ὑπάρχοντα στεφανίτην·
Ἐντεῦθεν· πολλοὶ τῶν αὐ-
τόθι τὴν εἰδωλολα-
τρίαν ἐξομοσάμενοι· πρὸς
τὴν Χριστιανῶν ηὐτομό-
λησαν πίστιν· τοῦτον
δὲ τριακοστὸν ἄγοντα ἔτος
τῆς ἡλικίας ὁ μακάριος
Σίλβεστρος διάκονος
παρὰ τοῦ ἀρχιερέως
Μιλτιάδου ἀξιωθεὶς χει-
ροτονεῖται· μικρὸν ὕ-
στερον· τὸν ἀποστολικὸν
καὶ αὐτοῦ θρόνον· μέλ-
λων κοσμεῖν· οὐ πολὺ
γὰρ τὸ ἐν μέσῳ· καὶ κατ' αὐτὸν
πρὸς θεὸν ἐκδημήσαντος·
οἵ τε τοῦ κλήρου πάσ-

ὁ λαός· ἀρχιερέα σίλβεστρον ἐψηφίζοντο· τοῦ δὲ τὸν νέον τῆς ἡλικίας προβαλλομένου, καὶ ἀνάξιον ἑαυτὸν τοῦ θρόνου μετριοφρόνως ἀποκαλοῦντος, τὸ πλῆθος οὐκ ἠνείχοντο· ἀλλὰ καὶ ἄκοντα τοῦτον θεοῦ πάντως συνευδοκοῦντος, τῷ τῆς ἀρχιερωσύνης χρίσματι τελειοῦσιν. ἐγχειρισθεὶς δὲ τὴν ἐκκλησίαν, ὅλος τῆς τοῦ ποιμνίου φροντίδος ἐγένετο· πάντας τοὺς κοσμικοὺς ἀποσχέσθαι τῶν ἐθῶν· προσέχειν δὲ ταῖς εὐχαῖς· πρῶτος γὰρ σίλβεστρος τὸ ἐν ψαλμοῖς γεγραμμένον ἐνομοθέτησε· σχολάσατε λέγων καὶ γνῶτε· ὅτι ἐγώ εἰμι ὁ θεός· ἀλλὰ καὶ τὸ τοῦ ἀποστόλου· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις· ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. καὶ τὰς ἑπτὰ δὲ τῆς ἑβδομάδος ἡμέρας τοῖς ὀνόμασι τῶν πλανητῶν ἀστέρων· παρὰ τοῖς ἕλλησι καλουμένας τὸ πρίν· ὁ μακάριος οὗτος μετωνόμασε· τὴν μὲν τῆς σελήνης ἡμέραν δευτέραν καλέσας· τὴν δὲ τοῦ ἄρεος· τρίτην· τετράδα δὲ τοῦ ἑρμοῦ· καὶ πέμπτην τὴν τοῦ διός· τὴν δὲ τῆς ἀφροδίτης· παρασκευήν· καὶ τὴν τοῦ κρόνου σάββατον· ἐκ τῆς παλαιᾶς διαθήκης· τὴν δὲ τοῦ ἡλίου· οἷα δὴ τῇ ἑορτῇ κεκοσμημένην τῆς ἀναστάσεως· τοῦ τῆς δικαιοσύνης ἡλίου χριστοῦ· κυριακὴν ὠνόμασεν·

ἔστι δὲ καὶ ἀμφισμήτησις
οὐ μικρὰ τοῖς πρὸς ἕω
καὶ τὴν ἑσπέραν ἀνακύ-
πτει· τῶν ἑσπερίων μὲν
τῷ σαββάτῳ νηστεύειν
νομοθετούντων· τῶν
δὲ πρὸς ἀνατολὰς ὡς
ἰουδαϊκὸν τοῦτο παραι-
τουμένων· ὁ θεῖος ἐ-
κεῖνος ἀνήρ· ἐν τῷ σαβ-
βάτῳ νηστεύειν ὁρίσας
ἅπαντα τὸν βουλόμενον.
τῇ πέμπτῃ μὲν μὴ νηστεύειν
ἐνομοθέτησε· διὰ τὸ
κεκοσμῆσθαι αὐτὴν τῇ
δεσποτικῇ ἀναλήψει· ϛ
τρόπον τινὰ κοινωνοῦμεν
τῇ ἀναστασίμῳ ἡμέρᾳ·
πρὸς δὲ τούτοις· ὅτι καὶ
τὸ ἅγιον χρίσμα· ἐν ταύ-
τῃ κατασκευάζεται· ϛ
οἱ ἐν ἐπιτιμίοις· τὴν
συγχώρησιν τῶν πταισ-
μάτων αὐτῶν εὑρίσκουσι·
Ταῦτ' ὀλίγα τῆς ἐκείνου
διδασκαλίας ἐκ πολ-
λῶν παρεθέμεθα· λοι-
πὸν· καὶ τὸν εἰς δόξαν
θεοῦ παρ' αὐτοῦ γενόμε-
νον, μνημονεῦσαι κα-
λόν· ἐν τῷ Ταρταρίῳ
καλουμένῳ ὄρει· πρὸς
ᾧ τὸ καταστι τῷ λίον ἵδρυ-
το· δράκοντός τινος μέγα
χρῆμα ἐμφιλοχωροῦν ἦν·
Τούτῳ τοίνυν τῷ δρά-
κοντι· τροφήν τινα
ὡς μιαρὰν τελετήν· τῶν
γοητείαν ἀσκούντων τι-
νές· μετὰ φαρμακίδων
παρθένων· τοῦ μηνὸς
ἅπαξ ἐκόμιζον· πέν-
τε καὶ ἑξήκοντα καὶ
τριακοσίοις κατιόντες
σταθμοῖς· καὶ ὡς ἐν αὐ-
τοῖς τοῖς καταχθονίοις
γινόμενοι· ὁ μὲν οὖν
δράκων· ἀπρόϊτος ἦν·
τοῖς δὲ γειτονοῦσι τὰς
θανατηφόρῳ ἄσθματι
ἐλυμαίνετο· καὶ μάλ-
λον τὰ νήπια· τῶν

γοῦν εἰδωλομανοῦντες
τιμὲς προσελθόντες.
εἴπωμεν τῷ Σιλβέστρῳ· εἰ
βούλει πρὸς τὴν σὴν κἀμὲ
ἐπισπάσασθαι πίστιν.
κατελθεῖν πρὸς τοὺς
χηραμοὺς τοῦ δὲ τοῦ δρά-
κοντος· καὶ εἰ διὰ τοῦ ὀ-
νόματος τοῦ Χριστοῦ σου· τὸ
τοσαύτην λύμης τοῦτον
ἀποσχέσθαι παρασκευ-
άσεις. ὁμολογήσομεν
αὐτὸν σὺν σοὶ καὶ ἡμεῖς
θεὸν ὄντως ἀληθινόν·
Ὁ δὲ μακάριος μελλήσας
οὐδέν· πάσῃ τῇ ἐκκλη-
σίᾳ τριήμερον νηστείαν
ἐκήρυξε· καὶ σὺν τῷ
πιστοτάτῳ κλήρῳ καὶ
τῷ λαῷ· ἐδεῖτο τοῦ θεοῦ·
τοῦ ὀλεθρίου θηρὸς ἐκεί-
νου· τὸ ἴδιον πλάσμα
ἐλευθερῶσαι· περὶ δὲ
τὴν τρίτην νύκτα· μι-
κρόν τι διαναπαύσασθαι
βουληθέντος ὁ μέγας· ὁ μακ

ὁρᾷ· τὸν κορυφαῖον τῶν
ἀποστόλων Πέτρον αὐτῷ
ἐπισκήπτοντα· πρὸς
ταῖς καταδύσεσι γενέσθαι
τοῦ δράκοντος· ἅμα πρε-
σβυτέροις καὶ διακόνοις
τῶν εὐλαβῶν· καὶ πρὸς
τῇ τούτων εἰσόδῳ· τὴν
ἀναίμακτον θυσίαν προ-
σενεγκεῖν τῷ θεῷ· εἶτα
τὸ σπήλαιον καταλαμβάνειν·
ὅπερ ὁ δράκων κοιτά-
ζεται· καὶ τὰς ἐκεῖ χαλ-
κᾶς πύλας ἐπικλεισά-
μενον ἀσφαλῶς. οὕτως
εἰπεῖν· τάδε λέγει ὁ ἀ-
πόστολος Πέτρος· αἱ πύ-
λαι αὗται οὐκ ἀνοιχθήσον-
ται· ἄχρι τῆς φοβερᾶς
ἡμέρας τῆς κρίσεως·
Οὕτως εἰπόντα καὶ πρά-
ξαντα· τὰς κλεῖς δι' ὧν
ἠσφαλίσατο τὰς πύλας·
ἔνθα ἂν βούληται κα-
ταθέσθαι· τὸν ὕπνον
τοίνυν ἐκ θεοῦ ἀποτινα-

ζάμενος ὁ μακάριος Σίλ-
βεστρος· καὶ παρὰ τοῦ
ἀποστόλου ἐντεταλμέ-
ναι καταπαραζάμενος·
τοῖς ἐνεργοῦσιν πᾶσαν τὰς ἐ-
λευθερρὶ τῆς κλάσης
τοῦ φονίου θηρός· δι-
ελθόντος τοῦ ἑνὸς
καὶ δευτέρου μηνός· οἱ
τοῦ δράκοντος ὑπηρέται·
ἐπὶ τοῦτον ἀγανακτήσαντες ἡτ-
τηθέντα τοῦ θείου ἀν-
δρός· ἐπίστευσαν τῷ Χριστῷ·
καὶ τῇ αὐτοῦ προσετέθη-
σαν ἐκκλησίᾳ· ὑπὸ δὲ

Τὸν χρόνον ἐκεῖνον· δόγμα
ἐξετέθη παρὰ Κωνσταν-
τίνου· τοῦ Κώνσταντος
καὶ Ἑλένης υἱοῦ· τὸ κε-
λεῦον· χριστιανοὺς ἅπαν-
τας προσκυνεῖν τοῖς
εἰδώλοις· ὁ θεῖος μα-
κάριος Σίλβεστρος ἐκχω-
ρήσας τῆς πόλεως· ἐ-
νόρει τινὶ κατεκρύπτε-
το· ὁ δὲ ῥηθεὶς βασιλεύς·

πολλὴν κατὰ χριστιανῶν
χρησάμενος τῇ ὠμότη-
τι· θεόθεν ἐπλήγη· ἅ-
παν τὸ σῶμα δεινῶς λε-
πρωθείς· [illegible] ὡς οὖν·
φαρμακοί τε καὶ ἐπαοι-
δοὶ συνεκαλοῦντο· καὶ
οἱ κατὰ τὴν Περσίδα
γνῶν ἔμπειροι τῆς ἰατρι-
κῆς· πρὸς θεραπείαν
τῆς νόσου· ἤνυον δὲ ὅλ-
ως οὐδέν· ἔπειτα δὲ καί τι-
νες τῶν ναῶν τῶν κατὰ
πόλιν ἱερεῖς· κολυμ-
βήθραν γενέσθαι συνε-
βούλευον· ἐξ αἵματος
παίδων ἔτι νηπίων καὶ
καθαρῶν· ἐν ᾧ ζέοντι
καὶ ὡσανεὶ καταπίζο-
τι· διεβεβαιοῦντο λου-
σάμενον καθαρισθῆναι
τὸν βασιλέα· παῖδες
πολλοὶ· ἐξ ἐπαρχιῶν
πολλῶν αὐτοῦ κελεύ-
σαντος· ἤχθησαν ἐς τὴν
ῥώμην· ἐν ἡμέρᾳ τοίνυν

ρῃ τῇ· ἀφοσιοῦν τι τῷ βασι
λεῖ πρὸς τὸ καλὸν τὸ πόλι
ον· τελέσαι τὴν ὑποθή
κην τῶν κατ' αὐτὸν ἱερέων·
αὐτῶν ἅμα αἱρεθῆναι μελ
λόντων παίδων μητέρες·
τούτων προσιοῦσαι τῷ στρατηγῷ·
ἀπογυμνοῦσαι τοὺς μα
ζούς· λύουσαι τοὺς βο
στρύχους τῆς κεφαλῆς·
θρήνου τε καὶ κωκυτοῦ
τὸν ἀέρα πληροῦσαι·
γνοὺς δὲ ὁ βασιλεὺς· ὅ
τι χάριν τῶν παίδων
αὐταῖς τὸ ὀδύρεσθαι· ἔ
παθε δεινῶς τὴν ψυχήν·
καὶ ἀποκαταστῆναι τοὺς
παῖδας ἐθέλων ταῖς μη
τράσιν ἐκέλευσεν· οὕτω
φήσας σὺν δάκρυσι· βέλ
τιον μᾶλλον τὴν νόσον με
τρύχεσθαι· ἢ διαφθορὰν
τοσούτων παίδων ἀθώ
ρων· ἀπαλλαγὴν αὐτῆς
ἐφευρεῖν· οὕτως ἐπαν
ελθὼν ἔκει πρὸς τὰ βασί
λεια· καὶ ταῖς μητράσι
ἅμα τοῖς φιλτάτοις παι
σὶ· καὶ χρήματα προσ
δοῦναι κελεύει· ὥστε τὰς
μετὰ δακρύων παραγενο
μένας· εἰς τοὺς οἴκους πά
λιν νοστῆσαι μετὰ χαρᾶς·

Καὶ τοῦτο μὲν ὡς ἐκέλευσε
γέγονε· νυκτὸς δὲ
καθεύδοντι ὁ πάντας
θέλων σωθῆναι· καὶ εἰς
ἐπίγνωσιν ἀληθείας
ἐλθεῖν· ἐξαποστέλλει
τούτῳ ὡς εἰ θέαν ἐξαισίου·
Πέτρος γὰρ καὶ Παῦλος·
οἱ πρῶτοι τῶν αὐτοῦ μα
θητῶν· ὁρῶνται αὐτῷ ἐπι
στάντες· καὶ τίνες
εἰσὶν γνωρίσαντες τὸν
μακάριον Σίλβεστρον·
τὸν διὰ τὸν αὐτοῦ διωγμὸν
κρυπτόμενον· ἐπέσκη[illegible]
ψαν ἀναζητῆσαι τὸν σω
[illegible]· οὗτος γὰρ
ἐστιν· ὑποδείξει σοι
κολυμβήθραν ἀφ' ἧς ἐνίψω

ἐμηλουσάμενος· Τά τε
τοῦ σώματος τραύματα·
καὶ τὰ τῆς ψυχῆς ἀποσμή
ξας· καὶ ζήσας καλῶς· ἀν
θ᾽ ὧν σὺν τοῖς ἀφθόροις
παισὶν· χαρίσαι τὸ ζῆν·
Παραχρῆμα τοίνυν διυ
πνισθεὶς ὁ βασιλεὺς· ἐ
πεὶ παραδοξότατον μίαν
τροπὴν ἐθεάσατο· τὸν ἐν
μελλόμενον τῶν τραυ
μάτων αὐτοῦ· ἀπεφαίνε
τo τοῦτο μεῖζον· οὐ
κἂν θεραπείην μοι τέχνη
τοῦ λοιποῦ· ἀλλ᾽ ἡ χεὶρ
τοῦ παντοκράτορος ὑο
νηθήσας θεοῦ· εἶπεν· καὶ
τὸν ἄλλον σιλουάτρον κε
λεύει ἅμα ζητήσαντας
ὡς αὐτὸν ἀγαγεῖν· ἐν
πάσῃ δορυφορίᾳ καὶ
τιμῇ· ὃν καὶ ἀχθέντα
πρὸ τῶν βασιλέων ὑ
παντήσας· ἠσπάσατο
φάμενος· ὑγιαίνοντά
σε ὑποδεξάμενοι χαί

ρομεν· καὶ ὁ ἄλλος· εἰρή
μης σοι ἐφήκοι τὸ θεόθεν δω
ρηθεῖη καὶ νίκη· πρὸς
ὃν ὁ βασιλεύς· ὁρκίζω
σε τὸν θεὸν ὃν σέβῃ· γνώ
ρισόν μοι εἴ γε θεοὺς
τιμᾷς ἔχειν· Πέτρον
καὶ Παῦλον καλουμένους·
Καὶ ὁ ἄλλος· ὃν σεβόμεθα
καὶ προσκυνοῦμεν
θεόν· εἷς ἐστιν ἐν προσώ
ποις τρισὶ γνωριζόμενος·
Πέτρος δὲ καὶ Παῦλος·
θεοὶ οὐκ εἰσίν· ἀλλὰ
δοῦλοι τοῦ ὄντος θεοῦ·
οἳ διὰ πίστεώς τε καὶ
καλῶν ἔργων τούτῳ
εὐαρεστήσαντες· πρῶ
τοι τῶν αὐτοῦ μαθητῶν
καὶ ἀπόστολοι κατέστη
σαν· καὶ τὴν θεότητα
τοῦ μονογενοῦς υἱοῦ τοῦ
θεοῦ κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ·
τοῦ διὰ τὴν ἡμετέραν
σωτηρίαν ἐνανθρω
πήσαντος· τοῖς ἔθνεσι

πᾶσι μὲν ἐκήρυξαν· καὶ
ὑπὲρ αὐτοῦ μαρτυρήσαν-
τες καὶ θανόντες. σὺν τῷ
τῷ νῦν ἐν ὁσίοις βασιλεύ-
ουσι· τούτων ὁ βασι-
λεὺς ὡς ἤκουσεν· ἐπλή-
σθη χαρᾶς· καὶ τοῦ ἁγίου
ἐδεῖτο· τῶν ἀποστόλων
τὰς εἰκόνας ἰδεῖν· εἴ
περ εἰσίν. ὡς καὶ θεα-
σάμενος ἐνεγκόντος
αὐτοῦ· οὐδὲν ἀλλ᾽ ἢ θάτε-
ρον ἔφη τῶν εἰκόνων
τούτων· τὰ γὰρ αὐτῶν πρω-
τότυπα· καθ᾽ ὕπνον εἶδον
ἄρτι· παρ᾽ ὧν καὶ ἤκουσα·
μεταπέμψασθαι εἰπόντων
τὸν ἐπίσκοπον Σίλβεστρον·
καὶ ὑποδείξειν σοι κολυμ-
βήθραν εὐσεβείας· ἐν
ᾗ λουσάμενος· καὶ
καθαρθήσῃ τό τε σῶμα
καὶ τὴν ψυχήν· πρὸς
ὃν ὁ ἅγιος· βασιλεῦ ἔφη·
εἰ θεὸν εἶναι τὸν δεσπότην
Χριστὸν ἀπὸ καρδίας πιστεύ-

ὡς ἂν δὲ τοῦτο δειχθῇ πᾶ-
σι σαφέστερον· χρὴ τὴν ἀ-
πὸ γεννήσεως αὐτοῦ μέ-
χρι καὶ τελευτῆς ἱστορίαν·
διὰ βραχέων εἰπεῖν· οὗ-
τος γεννηθεὶς κατὰ τὴν ἔρη-
ται γῆν· ἀξίως τῶν μνημονι-
κῶν ἐν τῷ λαῷ ἐγράφη τὸ
καὶ ἀνήχθη· ἔπειτα δὲ καὶ
εἰς ἄνδρας τελῶν ἐγνω-
ρίζετο· προφήτης χάρισ-
μα θεόθεν δεδέξατο· δι-
ὰ τὸ τοῦ υἱοῦ θεοφιλέστατον·
ἡ γὰρ ἀμελητὴς ὁ τοῦ δεσπότου

λόγος ὡς ὥσπερ δὴ ἐξ ἀμηθής·
τὸ τοῖς καθαροῖς τῇ καρδίᾳ
θεὸν ὁρᾶν δίδωσθαι· φανερὸν
ἄρα καθέστηκεν· ὅτι καὶ μι-
χαίας τὸν θεῖον· ὁ ἀνεπί-
ληπτος ὢν καὶ καθαρός.
θεοπτίας ἠξίωται· τὸ γὰρ
προλαβὼν ὡς ἐσόμενα τὰ
μέλλοντα· μόνου ἔργον θεοῦ·
ὃς διὰ τοῦ θεηγόρου τούτου
προφήτου· ὧδέ πως φησί·
Ἐν ταῖς ἡμέραις ἐκείναις·
συνάξω τὴν συντετριμμέ-
νην· καὶ τὴν ἀπωσμένην
εἰσδέξομαι· καὶ θήσομαι
τὴν συντετριμμένην εἰς ὑ-
πόλειμμα· καὶ τὴν ἀπωσ-
μένην εἰς ἔθνος ἰσχυρόν·
ταῦτα μὲν φησὶ κύριος ὁ θεὸς
δι' αὐτοῦ· τὴν σωτηρίαν καὶ
ἀνάκλησιν τῶν ἀνθρώ-
πων αὐτήν· αἰνιττόμενος·
οὐ καὶ τὴν διὰ σαρκὸς ἐπι-
δημίαν προαγορεύων λίαν
φανερῶς. ὁ ἀοίδιμος οὗτος
προφήτης· καὶ οὐ

θλεὲμ οἶκος τοῦ Ἐφραθά·
μὴ ὀλιγοστὸς εἶ· τοῦ εἶναι ἐν
χιλιάσιν Ἰούδα· ἐξ οὗ γάρ
μοι ἐξελεύσεται· τοῦ εἶναι
εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ·
αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς·
ἐξ ἡμερῶν αἰῶνος· τὸ ἄναρ-
χον οἶμαι αὐτοῦ καὶ ὑπέρ-
χρονον ἐν τούτοις δηλῶν·
Ὁ δὲ καὶ ἐν τοῖς αὐτοῦ μαρ-
τυρίοις λαλῶν ἐναντίον
βασιλέων καὶ μὴ αἰσχυνό-
μενος διεφαίνετο· ὑπὲρ
ὧν καὶ θαρρεῖν αὐτῷ ἐξεγέ-
νετο· λέγειν ἤδη ὁ λόγος ὁρ-
μᾶται· ἤδη μὲν Ἀχαὰβ
βασιλεὺς τοῦ Ἰσραὴλ προκε-
χείριστο· ἤδη δὲ καὶ πᾶ-
σα παρανομία δι' αὐτοῦ
ἐπαρρησιάζετο· καὶ γάρ·
οὐ μόνον ἐκεῖνος· ἀλλὰ
καὶ οἱ περὶ αὐτὸν ἅπαντ(ες)·
ὅλοις χερσὶ ταῖς ἀδικίαις
προσέκειντο· Μιχαί-
ας δὲ ὁ ἀοίδιμος· οὐχ ὑ-
φειμένως πως ἢ λα-

θραίως· ἀλλ' ἀπαρρη-
σιάστως· καὶ πάντων
ἐνώπιον· τὸν βασιλέ-
α διήλεγχε· καὶ τομώ-
τερον ξίφους αὐτῷ ἐπε-
τίθετο· παρὸ καὶ εἰς
θυμὸν ἐκινεῖτο σφοδρόν·
Ἐμίσει γὰρ ἀληθῶς ὁ ἀνό-
ητος ἐν πύλαις ἐλέγχο-
ντα· πλὴν ὁ θυμὸς αὐ-
τῶ· οὐ μέχρι τοῦ· καί τι
κακὸν διαθέσθαι τὸν
προφήτην ἐχώρει· εἰ
γὰρ καὶ τοῖς τοῦ θεοῦ νόμοις
πολέμιος ἦν· ἀλλὰ τὴν
ἀρετὴν αὐτοῦ· καὶ τοὺς
δικαίους ἐλέγχους αἰδού-
μενος· ὑπερεβάλλετο· καὶ
ὡς θεοῦ ἄνθρωπον· τοῦτον ὑπερ-
χε τηρῶν· θανόντος
δὲ Ἀχαάβ· Ἰωρὰμ ὁ υἱὸς
αὐτοῦ· τῆς βασιλείας
κρατεῖ· ἀλλὰ δὴ καὶ τῆς
παρανομίας αὐτῆς· ἣν
καὶ ἐπαυξῆσαι βουλό-
μενος τὸν θαυμαστὸν

τοῦτον προφήτην. καὶ
τὰ κρημνοῦ διωθεῖ· τὸ
γὰρ νέον τῆς ἡλικίας
προσλαβὼν καὶ τὸ αὐτε-
ξούσιον· εἰς μὲν τὸν αὐ-
τοῦ λείας ἐλέγμους αὐ-
τὸν κατὰ κρημνισμοῦ· τί
γὰρ προφητοκτόνου ἐ-
λεεινότερον· ἀλλ' ὁ γε
θεῖος προφήτης· οὐ κρη-
μνὸν τὸν κρημνὸν· κλί-
μακα δὲ τοῦτον μᾶλλον
εὑρίσκει· τῆς μακαρίας
πρὸς θεὸν ἀναβάσεως·
Διαζυγεὶς γὰρ τοῦ σώμα-
τος· πρὸς ἐκεῖνον φοι-
τᾷ· μακάριος ἀληθῶς
τοῦ τέλους γενόμενος· ἀν-
τέσχε μέχρι θανάτου· πρὸς
τὴν ἁμαρτίαν ἀντικα-
ταστάς· καὶ τὸν ἴσον δρόμον
γάρ· ὁ βίος τοῦ πατριάρχου
αἷμα παρωμοίωται ἐλέγ-
χων· ὃν εἴρηται τρόπον
ὥσπερ αὐτὸν ἀνῃρέθη· θεὸν
δοξάσας κἀν τῷ τέλει.

ὃν καὶ παρ' ὅλον τὸν βίον
δοξάζειν ἔργον εἶχε θε-
ὸς ταῖς εὐπροσδέ-
κτοις αὐτοῦ παρακλήσεσι
Μακρότητα ἡμερῶν καὶ υἱὸν
χαρμόσυνον· ἱλασμὸν πλημ-
μελημάτων καὶ ἄφεσιν·
Χάρακα κραταιὰν ἐν ὥραις καὶ στε-
ριζωθεῖσιν ἀκήρατον μετὰ
τέλος ζωὴν καὶ ἀθάνατον·
Ἣν ἐκλεκτοὶ πάντες ἀξιωθεῖεν τῶν
πράξεων λυθέντες τοῦ
δεσμοῦ τῆς σαρκὸς ἀπολήψονται·
Παράσχοι τοῖς πιστοῖς ταῦτα
ἡμῶν βασιλεὺς φιλάν-
θρωπος· εἰς δόξαν αὐ-
τοῦ καὶ ἄληκτον αἴνεσιν·
ὅτι αὐτῷ πρέπει πᾶσα
δόξα· τιμὴ κράτος·
μεγαλωσύνη τε καὶ
μεγαλοπρέπεια·
τῷ πατρὶ καὶ
τῷ υἱῷ καὶ τῷ
ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων
+ ἀμήν +



† τοῦ ἐν ἁγίοις π(ατ)ρ(ὸ)ς ἡμῶν Γρηγορίου τοῦ θεολόγου· λόγος εἰς τὰ ἅγια φῶτα·

Πάλιν Ἰ(ησοῦ)ς ὁ ἐμὸς· καὶ πάλιν μυστήριον· μυστήριον οὐκ ἀπατηλὸν οὐδὲ ἄκοσμον· οὐδὲ τῆς ἑλληνικῆς πλάνης καὶ μέθης· οὕτω γὰρ ἐγὼ καλῶ τὰς ἐκείνων σεμνά· οἶμαι δὲ καὶ πᾶς ὁ σωφρονῶν ἕκαστος· ἀλλὰ μυστήριον ὑψηλόν τε καὶ θεῖον· καὶ τῆς ἄνωθεν λαμπρότητος πρόξενον· ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα· εἰς ἣν ἀφίγμεθα· καὶ ἣν ἑορτάζειν ἠξιώμεθα σήμερον· ἀρχὴν μὲν τὸ τοῦ ἐμοῦ Χ(ριστο)ῦ βάπτισμα λαμβάνει· τοῦ ἀληθινοῦ φωτὸς· τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐνεργεῖ δὲ τὴν ἐμὴν κάθαρσιν· καὶ βοηθεῖ τῷ φωτί· ὃ παρ' αὐτοῦ λαβόντες ἄνωθεν ἀπ' ἀρχῆς ἐκ τῆς ἁμαρτίας ἐζοφώσαμεν τε καὶ συνεχέαμεν·

Τοιγαροῦν ἀκούσατε θείας φωνῆς· ἐμοὶ μὲν καὶ λίαν σφοδρῶς ἐνηχούσης·

τῷ μυστηρίῳ καὶ μυσταγωγῷ τῷ τοιούτῳ· εἶν δὲ καὶ ὑμῖν· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· καὶ διὰ τοῦτο· προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε· καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ· τῷ ἀληθινῷ φωτὶ σημειούμενα· καιρὸς ἀναγεννήσεως· γεννηθῶμεν ἄνωθεν· καιρὸς ἀναπλάσεως· τὸν πρῶτον ἀδὰμ ἀναλάβωμεν· μὴ μείνωμεν ὅπερ ἐσμέν· ἀλλ᾽ ὅπερ ἦμεν γενώμεθα· τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει· τῷ ὧδε τούτῳ καὶ τῷ σαρκίῳ· καὶ ὑπὸ τῆς σκοτίας διώκεται μέν· οὐ καταλαμβάνεται δέ· τῆς ἀντικειμένης λέγω δυνάμεως· τῷ φαινομένῳ μὲν ἀδὰμ· προσπηδώσης ἐξ ἀναιδείας· τῷ θεῷ δέ· περιπταιούσης καὶ ἡττωμένης· ἵν᾽ ἡμεῖς τὸ σκότος ἀποθέμενοι· τῷ φωτὶ πλησιάσωμεν· εἶτα καὶ φῶς γενώμεθα τέλειον· τελείου φωτὸς γεννήματα· ὁρᾶτε τῆς ἡμέρας τὴν χάριν· ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν· οὐκ ἀπὸ γῆς ἤρθητε; οὐκ ἄνω τεθεῖσθε σαφῶς ὑψωθέντες ὑπὸ τῆς ἡμέρας φωνῆς καὶ ἀναγωγῆς; καὶ ἔτι μᾶλλον τεθήσεσθε· ὅταν δ᾽ ἂν εὐοδώσῃ τὸν λόγον ὁ λόγος·

Μή τις τοιαύτη κάθαρσις νομικὴ καὶ σκιώδης· πρόσκαιροις ῥαντίσμασιν ὠφελοῦσα· καὶ σποδῷ δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους; μή τι τοιοῦτο μυσταγωγοῦσιν ἕλληνες· ὧν λῆρος ἐμοὶ πᾶσα τελετὴ καὶ μυστήριον· δαιμόνων εὑρέματα σκοτεινῶν· καὶ δι

ἀμοίας ἀνάπλασμα κα
κοδαίμονος· χρόνῳ ἐκθεού
μενον καὶ μύθοις κλεπτό
μενον· ἃ γὰρ ὡς ἀληθῆ
προσκυνοῦσιν, ὡς μυθι
καὶ συγκαλύπτουσι· δέον·
εἰ μὲν ἀληθῆ· μὴ μύθους
ὀνομάζεσθαι· ἀλλ' ὅτι μὴ
αἰσχρὰ δείκνυσθαι· εἰ δὲ
ψευδῆ· μὴ θαυμάζεσθαι·
μηδὲ οὕτως ἱταμῶς ἐναν
τιωτάτας ἔχειν δόξας
περὶ τοῦ αὐτοῦ πράγματος·
ὥσπερ ἐν ἀγορᾷ μειρακίοις
παίζοντας· ἢ ἀνδρῶν
κακοδαιμόνων ὡς ἀλη
θῶς· ἀλλ' οὐκ ἀνδράσι δι
αλεγομένοις νοῦν ἔχουσι·
καὶ λόγου προσκυνηταῖς·
κἂν τὴν ἔντεχνον ταύτην
καὶ ῥυπαρὰν πιθανότη
τα διαπνέωσιν· οὐδ' ἔστι
ταῦτα γοναὶ καὶ κλοπαὶ
τοῦ κρητὸς τυράννου·
κἂν ἕλληνες ἀπαρέσκω
ται· οὐδὲ κουρήτων ἦχοι

καὶ κρότοι· καὶ ὀρχήσεις
ἔνοπλοι· θυκλαίοντες
ἠχῇ καὶ συγκαλύπτουσαι· ἵ
να πατὴρ λάθῃ μισό
τεκνον· δεινὸν γὰρ ἦν ὡς
παιδίον κλαυθμυρίζε
σθαι· τὸν ὡς λίθον κατα
ποθέντα· οὐδὲ φρυγῶν
ἐκτομαὶ καὶ αὐλοὶ καὶ κο
ρύβαντες· καὶ ὅσα περὶ
τὴν ῥέαν μαίνονται·
τελοῦντες τὴν μητέρα τῶν θεῶν
καὶ τελούμενοι· ὅσα τὴν μητέρα
τῶν τοιούτων εἰκός·
Οὐδὲ κόρη τις ἡμῖν ἁρπά
ζεται· καὶ δημήτηρ πλα
νᾶται· καὶ κελεούς τινας
εἰσάγει· καὶ τριπτολέμους
καὶ δράκοντας· καὶ τὰ μὲν
ποιεῖ· τὰ δὲ πάσχει· αἰσχύ
νομαι γὰρ εἰς ἡμέραν δοῦναι
τὴν νυκτὸς τελετήν· καὶ
ποιεῖν τὴν ἀσχημοσύνην
μυστήριον· οἶδεν ἐλευσὶς
ταῦτα· καὶ οἱ τῶν σιωπω
μένων καὶ σιωπῆς ὄντως

ἄξιον ἐπιστῆναι· οὐδὲ
διόνυσος ταῦτα καὶ μη-
ρὸς ὠδίνων ἀτελὲς κύ-
ημα· ὥσπερ ἄλλο τι κε-
φαλὴ πρότερον· καὶ θεὸς
ἀνδρόγυνος· καὶ χορὸς
μεθυόντων· καὶ στρατὸς
ἔκλυτος· καὶ θηβαίων
ἄνοια τοῦτον τιμῶσα.
καὶ σεμέλης κεραυνὸς
προσκυνούμενος· οὐ
δὲ ἀφροδίτης πορνικὰ
μυστήρια· τῆς αἰσχρῶς
ὡς αὐτοὶ λέγουσι· καὶ γε-
νομένης καὶ τιμωμένης·
Οὐδὲ φαλλοί τινες καὶ ἰθύ-
φαλλοι· αἰσχροὶ καὶ τοῖς
σχήμασι καὶ τοῖς πράγμα-
σιν· οὐδὲ ταύρων ξενο-
κτονία· καὶ λακώνων
ἐφήβων ἐπιβώμιον αἷ-
μα· ξαινομένων ταῖς
μάστιξι· καὶ τοῦτο μόνον
κακῶς ἀνδριζομένων·
οἷς τιμᾶται θεά· καὶ
ταῦτα παρθένος· οἱ
γὰρ αὐτοὶ καὶ μαλακίαν
ἐτίμησαν· καὶ θρασύτη-
τα ἐθειάσθησαν· ποῦ
δὲ θήσεις τὴν πέλοπος
κρεουργίαν· τὴν λιμώττοντας
θεοὺς ἑστιῶσαν· καὶ φι-
λοξενίαν πικρὰν καὶ
ἀπάνθρωπον· ποῦ δὲ
ἑκάτης τὰ σκοτεινὰ
καὶ φοβερὰ φάσματα·
καὶ τροφωνίου κάτω
παίγνια καὶ μαντεύμα-
τα· ἢ δωδωναίας δρυὸς
ληρήματα· ἢ τρίποδος
δελφικοῦ σοφίσματα·
ἢ κασταλίας μαντικὸν
πόμα· τοῦτο μόνον οὐ μαν-
τευσάμενα· τὴν ἑαυτῶν
σιωπήν· οὐδὲ μάγων
θυτικὴ· καὶ πρόγνωσις
ἐν τομαῖς· καὶ χαλδαίων
ἀστρονομία· καὶ γενεθλι-
αλογία· τῇ τῶν ἀστέρων κι-
νήσει συμφέρουσα τὰ ἡ-
μέτερα· τῶν μηδὲ ἑαυτοὺς
ὅ τί ποτέ εἰσιν ἢ ἔσονται

γμῶν αἱ δ' ὡς ἀμέμπτων· οὐ
Θρᾳκῶν ὄργια ταῦτα· πα
ρ' ὧν καὶ τὸ θρησκεύειν ὡς
λόγος· οὐδὲ Ὀρφέως τελε
ταὶ καὶ μυστήρια· ὃν το
σοῦτον Ἕλληνες ἐπὶ σοφί
ᾳ ἐθαύμασαν· ὥστε καὶ
λύραν αὐτῷ ποιοῦσι· πάν
τα τοῖς κρούμασιν ἕλ
κουσαν· οὐδὲ Μίθρου κό
λασις ἔνδικος· κατατολ
μεῖσθαι τὰ τοιαῦτα ἀνε
χομένων· οὐδὲ Ὀσίριδος
σπαραγμοί· ἄλλη συμφορὰ
τιμωμένη παρ' Αἰγυπτί
οις· οὐδὲ Ἴσιδος ἀτυχή
ματα· καὶ τράγοι Μενδή
σιοι καὶ δεισιδαιμονέστεροι· ϛ
Ἄπιδος φάτνη· μόσχου κα
τατρυφῶντος τῆς μὲν
φρενὸς τῶν εὐηθεστέρων· οὐδὲ
ὅσα τὸν Νεῖλον ταῖς τι
μαῖς καθυβρίζουσι· τὸν
καρποδότην ὡς ἀνυμνοῦ
σιν αὐτοὶ καὶ εὔσταχυν· ϛ
μετροῦντα τὴν εὐδαιμο

νίαν τοῖς πήχεσιν· ἐῶ
γὰρ λέγειν ἑρπετῶν καὶ
κνωδάλων τιμάς· καὶ
τὸ τῆς ἀσχημοσύνης φι
λότιμον· ὧν καθ' ἕκαστον
ἰδία τις πολιτεία καὶ πα
νήγυρις· καὶ κοινὸν τὸ
τῆς κακοδαιμονίας ἐφ' ἅ
πασιν· ὥς γε τοσαύτη
αὐτοῖς ἐστιν πάντως· ϛ
τῆς τοῦ θεοῦ δόξης ἀποστε
ρηθῆναι· εἰς εἴδωλα κατε
νεχθέντας· καὶ τέχνης
ἔργα· καὶ χειρῶν πλάσ
ματα· μὴ ἂν ἄλλο τι καὶ
ταῦτα ὑβρίζεσθαι τοὺς
προσκυνοῦντας· ἢ τοιαῦτα
σεβασθῆναι καὶ οὕτω τι
μῆσαι· ἵν' ᾖ τιμῶν ἂν τῇ μα
θείᾳ ἦ μὲν δὲ εἰ τῆς πλά
νης· ὥς φησι Παῦλος
ἀπολαμβάνωσιν· ἐν οἷς
σέβονται· οὐ μᾶλλον
τιμῶν τὰ δι' ἑαυτῶν τὰ
σεβάσματα· ἢ δι' ἐκεῖνα
ἀτιμαζόμενοι· ἵνα δὲ λυκτοὶ

τῆς πλάνης· ὡς δ' ἐλυκτό
τεροι τῆς ἀτελείας τῶν
προσκυνουμένων καὶ σε
βομένων· ἵνα καὶ αὐτῶν
τῶν τιμωμένων ὦσιν μᾶλ
λον αἰσθητότεροι· τοσοῦτον
ὑπερμάλλον τῆς ἀνοίας·
ὅσον ἀτέλεια τὰ προσκυ
νούμενα· ταῦτα μὲν οὖν·
παιζέτωσαν ἑλλήνων
παῖδες καὶ δαίμονες· πα
ρ' ὧν ἐκείνοις ἡ ἄνοια· τὴν
τοῦ θεοῦ τιμὴν εἰς ἑαυτοὺς
μεθελκόντων· καὶ ἄλ
λος ἄλλως κατατεμνό
των· εἰς αἰσχρὰς δόξας
καὶ φαντασίας· ἀφ' οὗ
τοῦ ξύλου τῆς ζωῆς ἐκ
καλοῦντες ἡμᾶς· τοῦ ξύ
λου τῆς γνώσεως οὐ κατὰ
καιρὸν οὐδὲ ἐπιτηδεί
ως μεταληφθείσης·
Ὡς αὐθέντην ἀνθρώπου ἤδη κα
ταδραμών· τὸ μὴ ἡγεμόνα
μόνως συναρπάσαντα·
καὶ τοῖς πάθεσι θύραν ἀ
νοίξαντα· οὐ γὰρ ἔμφθονον
φύσις ὂν τὸ φθονερὸν καὶ
μισάνθρωπον· μᾶλλον δὲ διὰ
τὴν ἑαυτῶν κακίαν γενό
μενοι· τοῖς κάτω τῶν μὰ
νων τυχεῖν· αὐτοὶ τῶν ὄν
των ἐπὶ γῆς ἀμαθῶν· οὐδὲ
τοσαύτην μετάστασιν ἐ
μέσθαι τῆς δόξης καὶ τοῦ
προόντων φιλοσόφων· τοῦ
τὸ ἐπιμόδιον γνώμης τοῦ πλάσ
ματος· διὰ τοῦτο· ἡ εἰκὼν
τοῦ θεοῦ καθυβρίσθη·
Καὶ καθὼς οὐκ ἐδοκιμάσα
μεν φυλάξαι τὴν ἐντο
λήν· παρεδόθημεν τῇ
αὐτονομίᾳ τῆς πλάνης·
Καὶ καθὼς ἐπλανήθημεν·
ἠτιμάσθημεν· ἐν οἷς ἐτι
μάσθημεν· οὐ γὰρ τοῦτο
μόνον δεινόν· τὸ πάθει
ημῶν τ' ἐπ' ἀγαθοῖς ἐγγρίς·
εἰς δόξαν καὶ ἔπαινον
τοῦ πεποιηκότος· καὶ θεοῦ
μιμήσιμον ὅσον ἐφικτόν·
ὁρμητήριον γενέσθαι

παντοίων παθῶν· ὡς κω
μῳδουμένων καὶ δαιμο
νούντων τῶν ἐν τοῖς ἀνθρώποις·
Ἀλλ' ὅτι καὶ θεοὺς ἐγκρίναντας
συνηγόρους τοῖς πάθεσιν·
ἵνα μὴ μόνον ἀνεύθυνον τὸ
ἁμαρτάνειν· ἀλλὰ καὶ θεῖ
ον νομίζηται· εἰς τοιαύ
την καταφεύγοντα ἀπολογί
αν τὰ προσκυνούμενα·
ἡμῖν δὲ ὅσοις ὑπὲρ χάριτος ἤδη
τὸ φυγοῦσι τὴν δεισιδαί
μονα πλάνην· μετὰ τῆς
ἀληθείας γενέσθαι· καὶ δου
λεύειν τῷ ζῶντι καὶ ἀλη
θινῷ· καὶ τὴν κτίσιν
ὑπεραναβῆναι· πάντα
ὑπεραίρουσιν ὅσα τὸν χρό
νον καὶ τὴν πρώτην κίνη
σιν· οὕτω καὶ εἰδῶμεν καὶ
φιλοσοφήσωμεν τὰ περὶ
θεοῦ καὶ τὰ θεῖα· φιλοσο
φῶμεν δὲ ὅθεν ἄρχεσθαι
ἄμεινον· ἄμεινον δὲ ὅθεν
Σολομῶν ἡμῖν νενομοθέτηκεν·
ἀρχὴ φησὶ σοφίας· κτήσασθαι

σοφίαν· τί τοῦτο λέγων; ἀρ
χὴ σοφίας τὸν φόβον· οὐ
γὰρ ἀπὸ θεωρίας ἀρξαμέ
νους· εἰς φόβον χρὴ κα
ταλήγειν· θεωρία γὰρ ἀ
χαλίνωτος· τάχα ἂν καὶ
καὶ κατὰ κρημνῶν ὤσει
εν· ἀλλὰ φόβῳ στοιχει
ουμένους καὶ καθαιρο
μένους· καὶ ἵν' οὕτως εἴπω
λεπτυνομένους· εἰς ὕ
ψος αἴρεσθαι· οὗ γὰρ φόβος·
ἐντολῶν τήρησις· οὗ δὲ
ἐντολῶν τήρησις· σαρκὸς
κάθαρσις· τοῦ ἐπιπροσ
θοῦντος τῇ ψυχῇ νέφους·
καὶ οὐκ ἐῶντος καθαρῶς
ἰδεῖν τὴν θείαν ἀκτῖνα·
οὗ δὲ κάθαρσις· ἔλλαμ
ψις· ἔλλαμψις δὲ πόθου
πλήρωσις· τοῖς τῶν μεγί
στων· ἢ τοῦ μεγίστου· ἢ
τοῦ ὑπὲρ τὸ μέγα ἐφιεμένοις·
διὰ τοῦτο καθαρτέον πρῶ
τον· εἶτα τῷ καθαρῷ
προσομιλητέον· ἵνα μὴ

μὴ μέλλοιμεν τὸ τοῦ ἰσραὴλ
πείσεσθαι· μὴ φέροντος
τὴν δόξαν τοῦ προσώπου
μωϋσέως· καὶ διὰ τοῦτο
δεομένου καλύμματος·
Ἢ τὸ τοῦ μανωὲ καὶ πείσε-
σθαι καὶ λέξειν· ἀπολώ-
λαμεν ὦ γύναι θεὸν ἑωρά-
καμεν· ἐν φαντασίᾳ θεοῦ
γενομένου· ἢ ὡς πέτρος
τοῦ πλοίου τὸν ἰησοῦν
ἐκπέμψασθαι· ὡς οὐκ ἄξι-
οι τοιαύτης ἐπιδημίας·
πέτρον δὲ ὅταν εἴπω· τί-
να λέγω· τὸν κατὰ κυμά-
των περιπατήσαντα· ἢ
ὡς παῦλος τηνικαῦτα πλη-
γήσεσθαι· πρὶν καθαρ-
θῆναι τὸν διωγμόν· τῷ
διωκομένῳ προσομιλή-
σας· μᾶλλον δὲ βραχεῖ
αὐτοῦ μεγάλου φωτὸς
λαμπηδόνι· ἢ ὡς ὁ ἑκα-
τόνταρχος· τὴν μὲν θε-
ραπείαν ἐπιζητεῖν·
τῆς οἰκίας δὲ τὸν θερα-

πευτὴν οὐκ εἰσδέξασθαι·
διὰ δειλίαν ἐπαινουμέ-
νην· λεγέτω τις καὶ ἡμῶν
ἕως οὔπω καθαίρεται·
ἀλλ' ἔστιν ἑκατόνταρχος
ἔτι· πλειόνων ἐν κακίᾳ
κρατῶν· καὶ στρατεύεται
καίσαρι· τῷ κοσμοκρά-
τορι τῶν κάτω συρομένων·
οὐκ εἰμὶ ἱκανὸς ἵνα μου
ὑπὸ τὴν στέγην εἰσέλθῃς·
Ὅταν δὲ ἰησοῦν θεάσηται· καί-
τοι μικρὸς ὢν τὴν πνευματικὴν
ἡλικίαν· ὡς ὁ ζακχαῖ-
ος ἐκεῖνος· καὶ ὑπὸ τὴν
συκομοραίαν ἀρθῇ· νε-
κρώσας τὰ μέλη τὰ ἐ-
πὶ τῆς γῆς· καὶ ὑπερά-
ρας τὸ σῶμα τῆς
ταπεινώσεως· τότε
καὶ εἰσδεχέσθω τὸν λόγον·
καὶ ἀκουέτω· σήμερον σωτη-
ρία τῷ οἴκῳ τούτῳ· καὶ λαμ-
βανέτω τὴν σωτηρίαν· καὶ
καρποφορείτω τελει-
ότερα· σκορπίζων

καὶ διαχέων καλῶς· ἀκά-
κως ἐξελωμένης ἐν· ὁ γὰρ
αὐτὸς λόγος· καὶ φοβερὸς
τοῖς οὐκ ἀξίοις διὰ τὴν φύ-
σιν· καὶ χωρητὸς διὰ φι-
λανθρωπίαν· τοῖς οὕτως εὐτρε-
πισμένοις· ὡς οἱ τὸ ἀκά-
θαρτον καὶ ὑλικὸν πάν-
των ψυχῶν ἀποβαλόντες·
καὶ τὰς ἑαυτῶν ψυχὰς
τῇ ἐπιμελείᾳ σαρώσαντές τε
καὶ κοσμήσαντες· μὴ ἀρ-
γὴν· μηδὲ ἄπρακτον εἰ-
άσαντες· ὡς τὸ μετὰ πλεί-
ονος τῆς παρασκευῆς
αὖθις καταληφθῆναι ὑ-
πὸ τῶν ἑπτὰ τῆς κακίας
πνευμάτων· ὅσαι καὶ τῆς
ἀρετῆς ἀπηρίθμηνται· τὸ
γὰρ δυσμαχώτερον· πε-
ρισπουδαστότερον· ἀλ-
λὰ πρὸς τῷ φυγεῖν τὴν
κακίαν· καὶ τὴν ἀρετὴν
ἐργάζονται· ὅλον Χριστὸν· ἢ
ὅτι μάλιστα ἑαυτοῖς εἰ-
σοικίσαντες· ὥστε μη-

δὲν ἰκενῶ τὴν πονηρὰν
δύναμιν ὁμιλήσασαν· ἐ-
αυτῆς πάλιν πληρῶσαι·
καὶ γενέσθαι τὰ ἔσχατα
χείρονα τῶν πρώτων·
διὰ τὸ τῆς καταδρομῆς
σφοδρότερον· καὶ τὸ τῆς
φρουρᾶς ἀσφαλέστερον
καὶ δυσαλωτότερον·
Ὅταν δὲ πάσῃ φυλακῇ τη-
ρήσαντες τὴν ἑαυτῶν
ψυχήν· καὶ ἀναβάσεις ἐν
τῇ καρδίᾳ διαθέμενοι·
καὶ νεώσαντες ἑαυτοῖς
νεώματα· καὶ σπείραν-
τες εἰς δικαιοσύνην· ὡς
Σολομῶντι καὶ Δαυὶδ καὶ
Ἱερεμίᾳ δοκεῖ· φωτί-
σωμεν ἑαυτοῖς φῶς γνώ-
σεως· τηνικαῦτα λαλῶ-
μεν Θεοῦ σοφίαν ἐν μυστη-
ρίῳ τὴν ἀποκεκρυμ-
μένην· καὶ τοῖς ἄλλοις
ἐκλάμπωμεν· τέως
δέ· καθαιρώμεθα καὶ
προτελώμεθα τῷ λόγῳ·

ἡμῖν ὅτι μάλιστα ἡμᾶς αὐτοὺς
εὐεργετοῦμεν θεοῦ δι᾽ ἡμᾶς
ἐργαζόμενοι· καὶ ἡ κομ-
τατον λόγον ὑποδεχόμε-
νοι· οὐ μόνον δὲ· ἀλλὰ καὶ
κρατοῦντες καὶ τοῖς ἄλ-
λοις προφαίνοντες·
Ἐπειδὴ δὲ ἀνεκαθήραμεν τῷ
λόγῳ τὸ θέατρον· φέρε
τι περὶ τῆς ἑορτῆς ἤδη
φιλοσοφήσωμεν· καὶ
συνεορτάσωμεν ταῖς
φιλεόρτοις καὶ φιλοθέ-
οις ψυχαῖς· ἐπειδὴ δὲ
κεφάλαιον ἑορτῆς μνή-
μη θεοῦ· θεὸν μνημονεύσωμεν·
καὶ γὰρ τὸν ἐκεῖθεν τῶν
ἑορταζόντων ἦχον· ἔν-
θα εὐφραινομένων πάν-
των ἡ κατοικία· οὐκ ἄλ-
λο τι ἢ τοῦτο εἶναι νομί-
ζω· ἢ θεὸν ὑμνούμενόν τε
καὶ δοξαζόμενον· τοῖς
τῆς ἐκεῖσε πολιτείας ἠ-
ξιωμένοις· εἰ δέ τι τῶν
ἤδη προειρημένων ὁ νῦν

ἔσται λόγος· θαυμάσετε μη-
δέν· οὐ γὰρ τὰ αὐτὰ φθέγ-
γομαι μόνον· ἀλλὰ καὶ πε-
ρὶ τῶν αὐτῶν· φρίττω
καὶ γλῶσσαν καὶ διάνοιαν·
ὅταν περὶ θεοῦ φθέγγωμαι·
ὃ καὶ ὑμῖν ταὐτὸ τοῦτο συνεύχομαι·
τὸ ἐπαινετὸν πάθος καὶ μακάριον·
Θεοῦ δὲ ὅταν εἴπω· ὑμεῖς φωτὶ πε-
ριαστράφθητε καὶ τρισί·
τρισὶ μὲν· κατὰ τὰς ἰδι-
ότητας εἴτουν ὑποστά-
σεις· εἴ τινι φίλον κα-
λεῖν εἴτε πρόσωπα·
οὐδὲν γὰρ περὶ τῶν ὀνομά-
των ζυγομαχήσομεν· ἕ-
ως ἂν πρὸς τὴν αὐτὴν
ἔννοιαν αἱ συλλαβαὶ φέ-
ρωσιν· ἑνὶ δὲ· κατὰ τὸν
τῆς οὐσίας λόγον εἴτουν
θεότητος· διαιρεῖται
γὰρ ἀδιαιρέτως ἵν᾽ οὕτως
εἴπω· καὶ συνάπτεται
διῃρημένως· ἓν γὰρ ἐν
τρισὶν ἡ θεότης· καὶ τὰ
τρία ἕν· τὰ ἐν οἷς ἡ θεότης·

ἢ τοῦτο ἀκριβέστερον εἰπεῖν.
ἀνηθεότητος· ταῖς δὲ ὑπερ
βολαῖς καὶ ἐλλείψεσιν. ἐλ
λειπόμενοι· οὔτε τὴν ἕνω
σιν σώζουσιν ἐργαζόμενοι·
οὔτε τὴν διαίρεσιν μᾶλλο
τριοῦσιν· ἀπόδειξις γὰρ ἡ μοῦ
ἐξίσου· καὶ ἡ σαβελλίου
συναίρεσις· καὶ ἡ ἀρείου
διαίρεσις· τὰ ἐκ διαμέ
τρου κακά· καὶ ὁμότιμα
τὴν ἀσέβειαν· τί γὰρ δεῖ
θν̄· ἢ συναλείφειν κακῶς·
ἢ κατατέμνειν εἰς ἀνισό
τητα· ἡμῖν δὲ εἷς
θς̄ ὁ πατὴρ ἐξ οὗ τὰ πάντα·
καὶ εἷς κς̄ ἰς̄ χς̄· δι' οὗ τὰ
πάντα· καὶ ἓν πνεῦμα ἅγιον·
ἐν ᾧ τὰ πάντα· τὸ ἐξ οὗ
καὶ δι' οὗ καὶ ἐν ᾧ· μὴ φύ
σεις τεμνόντων· οὐδὲ γὰρ
ἂν μετέπιπτον αἱ προθέ
σεις· ἢ αἱ τάξεις τῶν
ὀνομάτων· ἀλλὰ χαρα
κτηριζόντων μιᾶς καὶ
ἀσυγχύτου φύσεως ἰδιό

τητας· καὶ τοῦτο δῆλον·
ἐξ ὧν εἰς ἓν συνάγονται
πάλιν· εἴ τῳ μὴ πάρερ
γος ἐκεῖνος ἀναγινώσκεται
παρὰ τῷ αὐτῷ ἀποστόλῳ·
τὸ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ
εἰς αὐτὸν τὰ πάντα·
αὐτῷ ἡ δόξα εἰς τοὺς αἰ
ῶνας ἀμήν· πατὴρ
πατὴρ· ... ἄναρχος· οὐ γὰρ
ἔκ τινος ὡς ὁ υἱός· καὶ
οὐκ ἄναρχος· ἐκ τοῦ πατρός·
γάρ· εἰ δὲ τὴν ἀπὸ χρό
νου λαμβάνοις ἀρχήν· καὶ
ἄναρχος· ποιητὴς γὰρ
χρόνων· οὐχ ὑπὸ χρόνον·
πνεῦμα ἅγιον ἀληθῶς· τὸ
πνεῦμα· προϊὸν μὲν ἐκ τοῦ
πατρός· οὐχ υἱϊκῶς δέ· οὐ
δὲ γὰρ γεννητῶς· ἀλλ' ἐκ
πορευτῶς· εἰ δεῖ τι καὶ
καινοτομῆσαι περὶ τῶν
ὀνομάτων σαφηνείας
ἕνεκεν· οὔτε τοῦ πατρὸς
ἐκστάντος τῆς ἀγεννησί
ας· διότι γεγέννηκε

οὔτε τοῦ υἱοῦ τῆς γεννήσε-
ως· ὅτι ἐκ τοῦ ἀγεννήτου·
πῶς γάρ· οὔτε τοῦ πνεύματος
ἢ εἰς πατέρα μεταπίπτο-
τος ἢ εἰς υἱόν· ὅτι ἐκπο-
ρεύεται· καὶ ὅτι θεός· κἂν μὴ
δοκῇ τοῖς ἀθέοις· ἡ γὰρ
ἰδιότης ἀκίνητος· ἢ πῶς
ἂν ἰδιότης μένοι κινουμέ-
νη καὶ μεταπίπτουσα;
Οἱ δὲ τὴν ἀγεννησίαν καὶ
τὴν γέννησιν φύσεις θεῶν
ὁμωνύμους τιθέμε-
νοι· τάχα ἂν καὶ τὸν ἀ-
δὰμ καὶ τὸν σὴθ· ὅτι ὁ μὲν
οὐκ ἀπὸ σαρκός· πλάσ-
μα γάρ· ὁ δὲ ἀπὸ τοῦ ἀδὰμ
καὶ τῆς εὔας· ἀλλήλων κα-
τὰ τὴν φύσιν ἀλλοτριώ-
σουσιν· εἷς οὖν θεὸς ἐν
τρισί· καὶ τὰ τρία ἕν· ὥσ-
περ ἔφαμεν· ἐπεὶ δὲ
οὕτως ταῦτα ἢ τοῦτο· ἔδει
δὲ μὴ τοῖς ἄνω μόνον
τὴν προσκύνησιν περι-
γράφεσθαι· ἀλλ' εἶναί

τινας καὶ κάτω προσκυ-
νητάς· ἵνα πληρωθῇ
τὰ πάντα δόξης θεοῦ· ἐπεὶ
καὶ θεοῦ· καὶ διὰ τοῦτο ἄν-
θρωπος χειρὶ θεοῦ τιμηθεὶς
καὶ εἰκόνι· τοῦτον δὲ
φθόνῳ διαβόλου καὶ πι-
κρᾷ γεύσει τῆς ἁμαρτίας·
θεοῦ τοῦ πεποιηκότος ἐ-
λεεινῶς χωριζόμενον
παριδεῖν οὐκ ἦν θεοῦ· τί γίνε-
ται· καὶ τί τὸ μέγα περὶ
ἡμᾶς μυστήριον· καὶ-
νοτομοῦνται φύσεις· καὶ
θεὸς ἄνθρωπος γίνεται· καὶ ὁ ἐ-
πιβεβηκὼς ἐπὶ τὸν οὐ-
ρανὸν τοῦ οὐρανοῦ κατὰ ἀ-
νατολάς· τῆς ἰδίας δό-
ξης τε καὶ λαμπρότη-
τος· ἐπὶ δυσμῶν δοξά-
ζεται· τῆς ἡμετέρας εὐ-
τελείας καὶ ταπεινό-
τητος· καὶ ὁ υἱὸς τοῦ θεοῦ·
δέχεται καὶ υἱὸς ἀνθρώπου γε-
νέσθαι τε καὶ κληθῆναι·
οὐχ ὃ ἦν μεταβαλών· ἄ-

τρέπεται γάρ· ἀλλ' ὃ οὐκ ἦν
προσλαμβάνων· φιλάνθρω-
πος γάρ· ἵνα χωρηθῇ ὁ ἀ-
χώρητος διὰ μέσης σαρ-
κὸς ὁμιλήσας ἡμῖν ὥς-
περ διὰ παραπετάσματος· ἐ-
πεὶ δὴ καθαρὰν αὐτοῦ τὴν
θεότητα φέρειν οὐ τῆς
γενητῆς ἦν καὶ φθαρτῆς φύ-
σεως· διὰ τοῦτο τὰ ἄμι-
κτα μίγνυται· οὐ γένεσις
μόνον θεῷ· οὐδὲ σαρκὶ νοῦς·
οὐδὲ χρόνῳ τὸ ἄχρονον·
οὐδὲ μέτρῳ τὸ ἀπερί-
γραπτον· ἀλλὰ καὶ παρ-
θενίᾳ γέννησις· καὶ ἀ-
τιμίᾳ τὸ καὶ τιμῆς ἁ-
πάσης ὑψηλότερον· καὶ
πάθει τὸ ἀπαθές· καὶ
τῷ φθαρτῷ τὸ ἀθάνατον·
Ἐπειδὴ γὰρ ᾤετο ἀήττητος
εἶναι τῆς κακίας ὁ σοφι-
στὴς θεότητος ἐλπίδι
δελεάσας ἡμᾶς· σαρ-
κὸς προβλήματι δελε-
άζεται· ἵν' ὡς τῷ Ἀδὰμ

προσβαλὼν τῷ θεῷ περι-
πέσῃ· καὶ οὕτως ὁ νέος ἀ-
δὰμ τὸν παλαιὸν ἀνασώ-
σηται· καὶ λυθῇ τὸ κα-
τάκριμα τῆς σαρκός· σαρ-
κὶ τοῦ θανάτου θανατω-
θέντος· τὴν μὲν οὖν γέν-
νησιν τὰ εἰκότα προε-
ορτάσαμεν· ὅ τε τῆς ἑ-
ορτῆς ἔξαρχος· καὶ ὑμεῖς·
καὶ πᾶν ὅσον ἐγκόσμιον
τε καὶ ὑπερκόσμιον·
Μετὰ ἀστέρος ἐδράμομεν·
καὶ μετὰ μάγων προσεκυ-
νήσαμεν· καὶ μετὰ ποι-
μένων περιελάμφθη-
μεν· καὶ μετὰ ἀγγέλων ἐ-
δοξάσαμεν· μετὰ συμεὼν
ἐνηγκαλισάμεθα· καὶ
μετὰ ἄννης ἀνθωμολογη-
σάμεθα τῆς γηραιᾶς καὶ
σώφρονος· καὶ χάρις τῷ
εἰς τὰ ἴδια ἐλθόντι
ἀλλοτρίως· ὅτι τὸν ξέ-
νον ἐδόξασεν· νυνὶ δὲ
πρᾶξις ἄλλη Χριστοῦ· καὶ ἄλ-

λον μυστήριον· οὐ δύναμαι
κατέχειν τὴν ἡδονήν· ἔν
θους γίνομαι· μικροῦ καὶ
ὡς Ἰωάννης εὐαγγελίζο
μαι· εἰ καὶ μὴ πρόδρομος.
ἀλλ᾽ ἀπὸ τῆς ἐρημίας·
Χριστὸς φωτίζεται· συναστρά
ψωμεν· Χριστὸς βαπτίζεται·
συγκατέλθωμεν· ἵνα καὶ
συνανέλθωμεν· βαπτί
ζεται Ἰησοῦς· τοῦτο μόνον; ἢ
καὶ τὰ ἄλλα τηρεῖν ἡμῖν
μᾶλλον ἀναγκαῖον· τίς
ὤν· καὶ παρὰ τίνος· καὶ
πηνίκα· ὁ καθαρός· καὶ
παρὰ Ἰωάννου· καὶ τῶν
σημείων ἀρχόμενος· ἵ
να τί μάθωμεν καὶ τί παι
δευθῶμεν; προκαθαί
ρεσθαι· καὶ ταπεινοφρο
νεῖν· καὶ κηρύσσειν ἐν
τελειότητι καὶ τῆς πνευματι
κῆς καὶ τῆς σωματικῆς ἡ
λικίας· ἐκεῖνο πρὸς
τοὺς τὸ βάπτισμα σχε
διάζοντας· καὶ μὴ προ
ευτρεπιζομένους μηδὲ
τὸ ἀσφαλὲς τῇ λυτρώσει
χαριζομένους διὰ τῆς
εἰς τὸ καλὸν ἕξεως· καὶ
γὰρ εἰ ἀφθονίαν ἔχει τῶν
παρελθόντων ἡ χάρισ
μα· χάρισμα γάρ· ἀλλ᾽ αὐτὸ
τοῦτο μάλιστα ἐπιμελείας ἄ
ξιον· μὴ πρὸς τὸν αὐτὸν
ἔμετον ἐπανέλθωμεν·

Τοῦτο πρὸς τοὺς ἐπαιρομέ
νους κατὰ τὴν οἰκονομίαν
τοῦ μυστηρίου· ἀναξίαν
τισὶ προσέχουσι· τὸ τρίτον·
πρὸς τοὺς θαρροῦντας
νεότητι· καὶ πρὸ τοῦ
καιροῦ οἰομένοις εἶναι
διδασκαλίας ἢ προεδρί
ας· Ἰησοῦς καθαίρεται·
καὶ σὺ καταφρονεῖς τῆς
καθάρσεως; παρὰ Ἰω
άννου· καὶ σὺ κατεξα
νίστασαι τοῦ σοῦ κήρυκος;
τριάκοντα ἐτῶν· καὶ
σὺ πρὸ τῆς γενειάδος
διδάσκεις τοὺς γέροντας·

ἢ τὸ διδάσκειν πιστεύεις·
οὔτε παρὰ τῆς ἡλικίας·
οὔτε παρὰ τοῦ τρόπου
τυχὸν ἔχων τὸ αἰδέσιμον;
Εἶτα ὁ Δανιὴλ ἐλέγχει ταῦτα·
καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα
νέοι κριταί· καὶ τὰ πα-
ραδείγματα ἐπὶ γλώσ-
σης· πᾶς γὰρ ὁ ἀδικῶν·
εἰς ἀπολογίαν ἕτοιμος·
ἀλλ' οὐ νόμος ἐκκλησίας
τὸ σπάνιον· εἰ ὅτι μηδὲ
μία χελιδὼν ἔαρ ποι-
εῖ· μηδὲ γραμμὴ μία
τὸν γεωμέτρην· ἢ πλοῦς
εἷς τὸν θαλάττιον·
πλὴν Ἰωάννης βαπτίζει·
πρόσεστιν Ἰ(ησοῦ)ς· ἀλλ' ἄσσων
τυχὸν μὲν καὶ τὸν βα-
πτιστήν· τὸ δὲ πρόδηλον·
πάντα τὸν παλαιὸν
Ἀδὰμ ἵν' ἐνθάψῃ τῷ ὕ-
δατι· πρὸ δὲ τούτων καὶ
διὰ τούτοις· τὸν Ἰορδάνην·
ὥσπερ ἦν πν(εῦμ)α καὶ
σάρξ· οὕτω πν(εύματ)ι τελειῶ(σαι)

καὶ ὕδατι· οὐ δέχεται
ὁ βαπτιστής· ὁ Ἰ(ησοῦ)ς ἀγωνί-
ζεται· ἐγὼ χρείαν ἔχω
ὑπὸ σοῦ βαπτισθῆναι· ὁ
λύχνος τῷ ἡλίῳ φησί·
ἡ φωνὴ τῷ λόγῳ· ὁ φίλ(ος)·
τῷ νυμφίῳ· ὁ ἐν γεννη-
τοῖς γυναικῶν ὑπὲρ ἅ-
παντας· τῷ πρωτοτό-
κῳ πάσης κτίσεως· ὁ
προσκιρτήσας ἀπὸ γα-
στρός· τῷ ἐν γαστρὶ προσκυ-
νηθέντι· ὁ πρόδρομος καὶ
προδραμούμενος· τῷ
φανέντι καὶ φανησομένῳ·
ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βα-
πτισθῆναι· πρόσθες καὶ
τὸ ὑπὲρ σοῦ· ᾔδει γὰρ τῷ
μαρτυρίῳ βαπτισθησόμεν(ος)·
ἢ ὡς Πέτρος· μὴ τοὺς πόδας
μόνον καθαρθησόμενος·
Καὶ σὺ ἔρχῃ πρός με· καὶ
τοῦτο προφητικόν· ᾔδει
γὰρ ὡς μετὰ Ἡρώδην Πι-
λάτον μανήσομενον· οὕτ(ως)
αὐτῷ προαπελθόντι Χ(ριστ)ῷ

86

ἠτοίμενον· τί δὲ εἰς· ἀφθ
ἄρτι· τοῦτο γὰρ ἡ οἰκονομί
α· ἔδει γὰρ μετὰ τὸ λίγον αὐτοῦ
βαπτίσασθαι τὸν βαπτιστήν·
Τί δὲ τὸ πῦρ· ἡ κάθαρσις·
τί δὲ τὸ πῦρ· ἡ τοῦ κούφου
δαπάνη καὶ ἡ ζέσις τοῦ
πνς· τί δὲ ἡ ἀξίνη· τῆς
ἀθεραπεύτου ψυχῆς ἡ ἐκ
τομὴ καὶ μετὰ τὴν κόπρον·
τί δὲ ἡ μάχαιρα· ἡ τομὴ τοῦ
λόγου· ἡ διαιροῦσα τὸ χεῖ
ρον ἀπὸ τοῦ κρείττονος· καὶ
διχοτομοῦσα τὸν πιστὸν καὶ
τὸν ἄπιστον· καὶ ἐπαγείρου
σα τὸν υἱὸν καὶ τὴν θυγα
τέρα καὶ τὴν νύμφην·
τῷ πρὶ καὶ τῇ μρὶ καὶ τῇ
πενθερᾷ· τὰ νέα καὶ
πρόσφατα· τοῖς παλαι
οῖς καὶ σκιώδεσι· τί δὲ
ὁ σφαιρωτὴρ τοῦ ὑποδή
ματος· ὃν οὐ λύει ὁ βα
πτίζων· ὁ τῆς ἐρημίας
καὶ ἄτροφος· ὁ νέος ἠλίας·
ὁ προφήτου περισσότερος·

ὅσος καὶ τὸν προφητευόμενον
εἶδε· ὁ παλαιᾶς καὶ νέ
ας μεσίτης· τί τοῦτο· τυ
χὸν ὁ τῆς ἐπιδημίας λόγου
καὶ τῆς σαρκός· οὐ μὴν δὲ
τὸ ἀκρότατον ἀδιάλυτον·
μηδ' ὅτι τοῖς σαρκικοῖς ἔτι
καὶ νηπίοις ἐν Χριστῷ· ἀλλ' οὐ
δὲ τοῖς κατὰ Ἰωάννην τῷ
πνι· ἀλλὰ καὶ ἄνεισιν
ἴσ ἐκ τοῦ ὕδατος· συνα
ναφέρει γὰρ ἑαυτῷ τὸν
κόσμον· καὶ ὁρᾷ σχιζο
μένους τοὺς οὐνοὺς· οὓς
ὁ Ἀδὰμ ἔκλεισεν ἑαυτῷ
τε καὶ τοῖς μετ' αὐτόν· ὡς
περ καὶ τῇ φλογίνῃ ῥομ
φαίᾳ τὸν παράδεισον·
Καὶ τὸ πνα μαρτυρεῖ τὴν
θεότητα· τῷ γὰρ ὁμοίῳ
προστρέχει· καὶ ἡ ἐξ οὐνῶν
φωνή· ἐκεῖθεν γὰρ ὁ μαρ
τυρούμενος· καὶ ὡς πε
ριστερά· τιμᾷ γὰρ τὸ σῶ
μα· ἐπεὶ καὶ τοῦτο τῇ θεώ
σει θεός· σωματικῶς

ὁρωμένη· καὶ ἅμα πόρ
ρωθεν ἐφίστασθαι περιστερά·
κατακλυσμοῦ λύσιν εὐαγγε
λίζεσθαι· εἰ δὲ ὄγκοις
καὶ σταθμοῖς κρίνεται θε
ότης· καὶ διὰ τοῦτο μικρό(ν)
σοι τὸ πνεῦμα· ὅτι ἐν εἴδει πε
ριστερᾶς ὦ μικρολόγε πε
ρὶ τὰ μέγιστα· ὥρα σοι καὶ
βασιλείαν οὐρανῶν ἀτιμά
ζειν· ὅτι κόκκῳ σινάπε
ως ἀπεικάζεται· καὶ τῆς
ἰ(ησο)ῦ μεγαλειότητος ὑπεραί
ρειν τὸν ἀντικείμενον· ὅτι
ὁ μὲν ὄρος μέγα καλεῖται·
καὶ λευϊάθαν· καὶ βασιλεὺς τῶν
ἐν τοῖς ὕδασιν· ὁ δὲ ἀμνὸς
καὶ μαργαρίτης καὶ σταγὼν· καὶ τὰ
τοιαῦτα προσαγορεύεται·
Ἐπεὶ δὲ βαπτίσματος ἡ πα
νήγυρις· καὶ δεῖ μικρόν τι
προσκακοπαθῆσαι τῷ
δι᾽ ἡμᾶς μορφωθέντι· καὶ
βαπτισθέντι καὶ σταυρωθέν
τι· φέρε τι περὶ διαφορᾶς
βαπτισμάτων φιλοσοφή

σωμεν· ἐβάπτισε μω
ϋσῆς· ἀλλ᾽ ἐν ὕδατι· καὶ πρὸ
τούτου· ἐν νεφέλῃ καὶ θα
λάσσῃ· τυπικῶς δὲ τοῦ
το ἦν· ὡς καὶ παύλῳ δοκεῖ·
ἡ θάλασσα· τοῦ ὕδατος· ἡ
νεφέλη· τοῦ πνεύματος· τὸ μάν
να· τοῦ τῆς ζωῆς ἄρτου· τὸ
πόμα· τοῦ θείου πόματος·
Ἐβάπτισε καὶ ἰωάννης· οὐκ ἔ
τι μὲν ἰουδαϊκῶς· οὐ γὰρ
ἐν ὕδατι μόνον· ἀλλὰ καὶ
εἰς μετάνοιαν· οὔπω δὲ ὅλον
πνευματικῶς· οὐ γὰρ προστί
θησι τὸ ἐν πνεύματι· βαπτίζει
καὶ ἰ(ησοῦ)ς· ἀλλ᾽ ἐν πνεύματι· τοῦτο ἡ
τελειότης· καὶ πῶς οὐ θ(εό)ς
ἵνα τι παραθεωρήσω μικρὸν
ἐξ οὗ σὺ θ(εό)ς· οἶδα καὶ τέταρ
τον βάπτισμα τὸ διὰ μαρτυ
ρίου καὶ αἵματος· ὃ καὶ αὐτὸς
χ(ριστὸ)ς ἐβαπτίσατο· καὶ πολὺ
τῶν ἄλλων αἰδεσιμώ
τερον· ὅσῳ δευτέροις ῥύ
ποις οὐ μολύνεται· οἶδα
καὶ πέμπτον ἔτι· τὸ τῶν δακ

κρύσιν· ἀλλ' ὁ μὲν πρό-
τερον· ὡς ὁ λούων καθ'
ἑκάστην νύκτα τὴν κλί-
νην αὐτοῦ· καὶ τὴν στρω-
μνὴν τοῖς δάκρυσιν·
Ὢ τῆς κακίας· προσοβό-
σι καὶ οἱ μᾶλλον πόρνοι· ὁ δὲ
πενθῶν καὶ σκυθρω-
πάζων πορεύεται· καὶ
μιμεῖται τὴν ἐπιστρο-
φὴν Μανασσῆ· καὶ τὴν
μίμησιν τῶν ἠλεημένων
ταπείνωσιν· ὁ δὲ φθέγ-
γεται τὰς τοῦ τελώνου
φωνὰς ἐν τῷ ἱερῷ· καὶ
δικαιοῦται παρὰ τὸν
μεγαλαυχοῦντα Φαρισαῖον·
ὁ δὲ συγκύπτει κατὰ τὴν
Χαναναίαν· καὶ ζητεῖ
φιλανθρωπίαν· καὶ
τυγχάνει κυνὸς τροφήν·
ἄλλος λιμὸν τότε τοσοῦτον· ἐ-
γὼ μένω ὧν· ἄλλος γὰρ εἶ-
ναι ὁμολογῶ· ζῶν ἔτρε-
πον καὶ ῥάκη σφύζοντας·
κεῖμαι τοῦτο προθύμως·

καὶ προσκυνεῖ τὸν δε-
δωκότα· καὶ τοῖς ἄλλοις
μεταδίδωσι· καὶ προ-
εισφέρει τοῦ ἐλέου
τὸν ἔλεον· οἶδα γὰρ ὅτι
αὐτὸς ἀσθένειαν περί-
κειμενος· καὶ ὡς ἂν
μετρήσω μετρηθήσομαι·
Οὐδὲ τί λέγεις· τί νομοθε-
τεῖς· ὦ μέγα Φαρισαῖε· ὅτι
καθαρεῖ τὴν προσηγορί-
αν. οὕτω προαίρεσιν·
καὶ φυσῶν ἐπιμέμφῃ τὰ-
ναυτοῦ· μετὰ τῆς αὐτῆς
ἀσθενείας· οὐδ' ἔχει με-
τάνοιαν; οὐ δίδως ὀδυρ-
μοῖς χώραν; οὐ δάκρυ-
σι δάκρυον; μὴ σὺ τοῦ
τοιούτου κριτοῦ τύχοις.
οὐκ αἰδῇ τὸν Ἰν̄ φιλάνθρω-
πον· τοῦ τὰς ἀσθενεί-
ας ἡμῶν λαβόντος·
καὶ τὰς νόσους βαστά-
σαντος· τοῦ μὴ δικαί-
οις ἐλθόντος· ἀλλὰ
ἁμαρτωλοῖς εἰς μετά-

νοιαν· τοῦ ἔλεον θέλον-
τος μᾶλλον ἢ θυσίαν·
τοῦ ἑβδομηκοντάκις
ἑπτὰ συγχωροῦντος τὰ
ἁμαρτήματα; ὡς μα-
κάριόν σου τὸ ὑψηλὸν
εἰ καθαρότης ἦν· ἀλ-
λὰ μὴ τῦφος· νομοθε-
τῶν ὑπὲρ ἄνθρωπον· καὶ
λύων τῇ ἀπογνώσει
τὴν ἐπανόρθωσιν·
Ὁμοίως γὰρ ἐπὶ κακῷ
ἄνεσις ἀσωφρόνιστος·
καὶ κατάγνωσις ἀσυγ-
χώρητος· ἡ μέν· ὅλην
ἐφιεῖσα τὴν ἡνίαν·
ἡ δέ· τῷ σφοδρῷ κατάγ-
χουσα· δεῖξόν μοι τὴν
καθαρότητα· καὶ δέ-
χομαί σου τὴν θρασύ-
τητα· νῦν δὲ δέδοι-
κα· μὴ ὑγρὸν ἑλκώσῃς·
εἰσάγῃς τὸ ἀνιάτρευ-
τον· οὐδὲ τὸν Δαυὶδ
δέχῃ μετανοοῦντα· ᾧ
τὸ προφητικὸν χά-
ρισμα ἡ μετάνοια συ-
νετήρησεν; οὐδὲ τὸν
Πέτρον τὸν μέγαν παθόν-
τα τι ἀνθρώπινον πε-
ρὶ τὸ σωτήριον πάθος·
Ἰησοῦς δὲ ἐδέξατο· καὶ τῷ
τρισσῷ τῆς ἐρωτήσεως
καὶ τῆς ὁμολογίας· τὸ
τρισσὸν τῆς ἀρνήσεως
ἐθεράπευσεν· ἢ οὐδὲ
τελειωθέντα διὰ
αἵματος· ἐπεὶ γὰρ καὶ τοῦ-
το τῆς σῆς ἀπονοίας·
Οὐδὲ τὸν ἐν Κορίνθῳ πα-
ρανομήσαντα· Παῦλος
δὲ καὶ ἀγάπην ἐκύρω-
σεν· ἐπειδὴ τὴν διόρθω-
σιν εἶδε· καὶ τὸ αἴτιον·
ἵνα μὴ τῇ περισσοτέρᾳ
λύπῃ καταποθῇ· μα-
ρηθεὶς τῇ ἀμετρίᾳ τῆς
ἐπιπλήξεως· οὐδὲ
τὰς νέας γαμίζεις χή-
ρας· διὰ τὸ τῆς ἡλικί-
ας εὐάλωτον; Παῦλος
δὲ τοῦτο ἐτόλμησεν·

οὐ. οὐδὲ Παῦλος ὁ διδάσκαλος· ὃς ἐπὶ τὸν τρίτον οὐρανὸν φθάσας, καὶ ἄλλον παράδεισον, καὶ ἀπορρητοτέρων ἀκούσας, καὶ μείζονα κύκλον τοῦ εὐαγγελίου περιλαβών· ἀλλ' οὖν μετὰ τὸ βάπτισμα ταῦτα· τίς ἡ ἀπόδειξις· ἢ δεῖξον· ἢ μὴ κατάκρινε· εἰ δὲ ἀμφίβολον, νικάτω τὸ φιλάνθρωπον· ἀλλὰ Ναυάτος οὐκ ἐδέξατο φησὶ τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας· τί τοῦτο· εἰ μὲν οὐ μεταγνόντας· δίκαιος· οὐδὲ γὰρ ἐγὼ δέχομαι τοὺς μὴ καμπτομένους· ἢ μὴ ἀξίως· μηδὲ ἀντισηκοῦντας τοῦ κακοῦ τὴν διόρθωσιν· καὶ ὅταν δέξωμαι· τὴν προσήκουσαν αὐτοῖς ἀπονέμω χώραν·

εἰ δὲ τοὺς ἐκτακέντας τοῖς δάκρυσιν· οὐ μιμήσομαι· καὶ τίς μοι νόμος ἡ Ναυάτου μισανθρωπία· ὃς πλεονεξίαν μὲν οὐκ ἐκόλασε τὴν δευτέραν εἰδωλολατρίαν· πορνείαν δὲ οὕτω πικρῶς κατεδίκασεν· ὡς ἄσαρκος καὶ ἀσώματος· τί φατέ· πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις; δεῦρο στῆτε μεθ' ἡμῶν τῶν ἀνθρώπων· μεγαλύνωμεν ἅμα τὸν κύριον· μή τις ὑμῶν εἰπεῖν τολμήσῃ· μηδὲ εἰ λίαν ἑαυτῷ τεθάρρηκε· μή μου ἅπτου· καθαρὸς γάρ εἰμι· καὶ τίς οὕτως ὡς ὑπὲρ ἐγώ· μετάδοτε καὶ ἡμῖν τῆς λαμπρότητος· ἀλλ' οὐ πειθόμεθα· καὶ ὑπὲρ ὑμῶν δακρύσομεν· οὗτοι μὲν οὖν· εἰ μὲν βούλονται·

τὴν ἡμετέραν ὁδὸν καὶ Χ(ριστο)ῦ·
εἰ δὲ μή· τὴν ἑαυτῶν πο-
ρευέσθωσαν· τυχὸν ἐκεῖ
τῷ πυρὶ βαπτισθήσονται
τῷ τελευταίῳ βαπτίσμα-
τι· τῷ ἐπιπονωτέρῳ καὶ
μακροτέρῳ· ὃ ἐσθίει ὡς
χόρτον τὴν ὕλην· καὶ δα-
πανᾷ πάσης κακίας κου-
φότητα· ἡμεῖς δὲ τι-
μήσωμεν τὸ Χ(ριστο)ῦ βάπτισμα
σήμερον· καὶ καλῶς ἑ-
ορτάσωμεν· μὴ γαστρὶ
τρυφῶντες· ἀλλὰ πνευματικῶς
εὐφραινόμενοι· τρυφήσω-
μεν δὲ πῶς· λούσασθε
καθαροὶ γένεσθε· εἰ
μὲν φοινικοῖ τὴν ἁμαρτί-
αν ἐστέ· καὶ ἧττον αἱμα-
τώδεις· λευκάνθητε ὡς
χιών· εἰ δὲ κόκκινοι καὶ ἄν-
δρες αἱμάτων τέλειοι·
κἂν ἐς ἐρίου λευκότητα φθάσατε·
Πάντως δὲ καθάρθητε καὶ
καθαίρεσθε· ὡς οὐδενὶ
τοσοῦτον χαίρει θ(εὸ)ς ὅσον

ἀν(θρώπ)ου διορθώσει καὶ σωτηρί-
ᾳ· ὑπὲρ οὗ λόγος ἅπας· καὶ
ἅπαν μυστήριον· ἵνα γέ-
νησθε ὡς φωστῆρες ἐν
κόσμῳ· ζωτικὴ τοῖς ἄλ-
λοις ἀν(θρώπ)οις δύναμις· ἵ-
να φῶτα τέλεια· τοῦ με-
γάλου φωτὸς παραστῆτε·
καὶ τὴν ἐκεῖσε μυηθῆτε
φωταγωγίαν· ἐλλαμπό-
μενοι τῇ τριάδι καθα-
ρώτερον καὶ τρανότερον·
ἧς καὶ νῦν μετρίως ὑποδέδε-
χθε τὴν μίαν αὐγὴν ἐκ μιᾶς τῆς
θεότητος ἐν Χ(ριστ)ῷ Ἰ(ησο)ῦ τῷ κ(υρί)ῳ ἡμῶν· ὃς
καὶ παράσχοι τοῖς πιστοῖς ἡμῶν βασιλεῦσι·
Μήκιστον καὶ ἄλυπον χρόνον ζωῆς·
Ἰσχὺν κατὰ πάντων τοίνυν ἐχθρῶν·
Χώραν μετὰ τὸ λύειν τὴν ἐν ἔρωσι·
Αἰωνίων ἀπόλαυσιν ἀγαθῶν·
Ἡμῖν λαοῖς μὲν πᾶσι δὲ τοῖς χριστιανοῖς·
Λαμπρὸν ὠφελεῖσθαι ἑαυτοῖς ἀρετῶν·
Πρὸς δόξαν αὐτοῦ καὶ ἀπαύστως ὑμνεῖν
μένειν· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ
κράτος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων· ἀμήν·



† Ὑπόμνημα εἰς τὸν ἅγιον
καὶ ἔνδοξον τοῦ Χριστοῦ προ-
φήτην πρόδρομόν τε καὶ
βαπτιστὴν Ἰωάννην:

Τὸν θεῖον τοῦ Χριστοῦ προφήτην
πρόδρομόν τε καὶ βαπτιστὴν
Ἰωάννην, τὸν πάνυ, τὸν
παλαιᾶς καὶ νέας μεσίτην
ἐγκωμιάζειν βουλόμεθα
μέν· οὐ δυνάμεθα δὲ ὡς
ἄξιον. ποῦ γὰρ ἂν καὶ
λόγος δυνήσεται παραστῆ-
σαι τὰ κατ' αὐτόν· ἢ μόνος δὴ
ἀλλ' ἐκεῖνον ὅλως ἀνθρωπικὴν
ὑπεξῃρημένον αὐτὸν ὄντα.
καὶ πάντων ἀνθρώπων ἀνώτερον· εἰ
γὰρ μείζων αὐτοῦ ἀληθῶς
ἐν γεννητοῖς γυναικῶν
οὐκ ἐγήγερται· καθὼς ἡ
αὐτοαλήθεια Χριστὸς ὁ θεὸς ἡμῶν
ἀπεφήνατο· ἄδηλον ἄρα
ὡς οὐδεὶς ἀρεθήσεται
λόγος· ἀξίαν αὐτοῦ τὴν
εὐφημίαν προσάξαι δυ-
νάμενος. τί οὖν· σιγή-
σομεν διὰ τοῦτο; οὐδαμῶς·
οὐδεὶς γὰρ ἀποτυχίας
φόβος τῶν ἀγαθῶν ἔργων
ἀμελεῖν καταβιάζεται·
μᾶλλον μὲν οὖν τὴν γλῶτ-
ταν πρὸς τοὺς ἐπαίνους
αὐτοῦ ὡς ἐγχωροῦν πα-

ρορμήσομεν· ἐκεῖνος ἀ-
φέσθωσαν ἐπιστάμενοι· ὅτι τῶν
τούτου προτερημάτων·
καὶ πάντων ὁ λόγος τῶν
ἐγκωμιάζειν αὐτὸν βου-
λομένων ἀπολειφθήσε-
ται· καὶ τοσοῦτον· ὅσον
ἐκείνων τοῦ λόγου· ὁ ἡμέ-
τερος κατόπιν ἐνεχθήσεται·
Τίμων μὲν οὖν οὗτος καὶ ὅ-
πως προῆλθε. σαφῶς δι-
δάσκει ὁ θεηγόρος Λουκᾶς.
εἰς ὅπερ αὐτὸς ἀνετάξα-
το εὐαγγέλιον· οὗ δὴ καὶ ἀρ-
χὴν ἐποιήσατο· τήν τε
σύλληψιν αὐτοῦ· καὶ τὴν
παρ' ἐλπίδας γέννησιν·
ἐξ ἀκάρπου καὶ γεραλέας
ἤδη μητρός· ὃς καὶ τὴν
τοῦ πρὸς ἀφωνίαν· Ζαχα-
ρίου τοῦ θείου φημὶ· ἣν
ἀπιστήσας τοῖς λόγοις
τοῦ ἀρχαγγέλου Γαβριὴλ
εὐαγγελιζομένου αὐτῷ
τὴν παράδοξον τοῦ θεί-
ου προδρόμου γέννησιν·
κατακέκριται· παραδο-
ξοτέρως λύσαντα δεί-
κνυσι· τὸν προφητῶν ἁ-
πάντων ὑπέρτερον· πα-
ρ' αὐτὸν δηλαδὴ τὸν καιρὸν
τῆς ἰδίας γεννήσεως·
Ὅθεν τὴν γλῶτταν· τῶν
τῆς σιωπῆς λυθεῖσαν
δεσμῶν· εἰς εὐχαριστίαν
θεοῦ πρῶτον κινήσας·
Εὐλογητὸς γάρ φησι κύριος
ὁ θεὸς τοῦ Ἰσραήλ· ὅτι ἐπε-
σκέψατο καὶ ἐποίησε λύ-
τρωσιν τῷ λαῷ αὐτοῦ·
εἶπε· καὶ περὶ τοῦ υἱοῦ
προφητεύων οὕτως ἔφη·
καὶ σὺ παιδίον προφή-
της ὑψίστου κληθήσῃ· προ-
πορεύσῃ γὰρ πρὸ προσώ-
που κυρίου· ἑτοιμάσαι ὁδοὺς
αὐτοῦ· ταῦτα μὲν οὖν ὡς ἕ-
καστα· καλῶς καὶ φιλα-
ληθῶς ὁ εἰρημένος τοῦ
κυρίου μύστης καὶ εὐαγγελιστὴς
ἡμῖν παραδίδωσιν· ὧν
αὐτοῖς ἐν καιρῷ τῷ προ-

σῆκον τι ἡμῖν ἡμονέσομεν·
τὰ δὲ ἐμῶ· χαρμοσύνως ἑ-
ορτὴ τοῦ βαπτιστοῦ καὶ
προδρόμου· καὶ δεῖ· μικρό-
τι συγχωρῆσαι τῶν λόγων.
τῶν ἐκείνου κατατρυφῆ-
σαι καλῶν· τοῖς γὰρ φι-
λεόρτοις καὶ φιλοθέοις·
ζημία πάντως οὐχὶ τυ-
χοῦσα φανεῖται· τὸ τῶν
αὐτοῦ θείων χαρίτων
ἀγεύστοις καταλειφθῆ-
ναι παντάπασι· και
ταύτην σήμερον τούτων
παρ' αὐτῶν συγκροτουμέ-
νην πανήγυριν· οὗτος
οὖν ἡ τοῦ θεοῦ λόγου φωνή·
ὁ τῆς στείρας ἐκ παρα-
δόξου βλαστός· ἄρτι
τὰς ἐρήμους λιπών· ἐ-
κεῖσε γὰρ τὰς διατριβὰς
ἐποιεῖτο· ἐκ σπαργάνω-
ν αὐτῶν ὡς εἰπεῖν. θεια-
μενος πρὸς ἰορδάνην φοι-
τᾷ· κηρύσσων βάπτισμα
μετανοίας εἰς ἄφεσιν ἁ-

μαρτιῶν· ὡς ἀριδήλως
διδάσκει τὸ εὐαγγέλιον·
καὶ πάντας εἶχεν ἰου-
δαίους πρὸς τὸ βάπτισ-
μα σπεύδοντας· ἀλλὰ
καὶ ἱεροσολυμιτῶν αὐ-
τῶν τὴν πληθύν· οὐ καὶ
μετεῖχον· τὰς ἰδίας
ἐξομολογούμενοι ἁμαρ-
τίας· καὶ διδάσκαλος
αὐτοῖς τοῦ κατὰ θεὸν βίου·
καὶ λόγοις μὲν στερεῶν δὲ·
πολλῶ δὲ πλέον τοῖς
ἔργοις ἐνεδείκνυτο· τὸ γὰρ
τῆς στολῆς καὶ τῆς ζω-
νης ἀκόμψευτον καὶ ἀ-
φιλότιμον· τό, τε τῆς
τροφῆς εὐτελὲς καὶ σχέ-
διον· παρηλλαγμένον δὲ
μᾶλλον· καὶ ἡ τοῦ παρό-
ντος βίου τελεία παρό-
ρασις. τιμᾶς ἀπ' οὐκ ἐῶσ-
ας· καὶ τῶν πάνυ ῥαθύ-
μων· πρὸς ζῆλον διανα-
στῆναι καὶ μίμησιν.
τῆς ἀρίστης αὐτοῦ πολι-

τείας; δίκαιος καὶ ἠξίωται
αὐτὸν ἰδεῖν τὸν προφη-
τευόμενον· καὶ οὐκ ἰδεῖν
μόνον· ἀλλὰ καὶ βαπτίσαι
ποταμίοις ἐν ὕδασι· τὴν
ἡμῶν καθαιρόμενον κά-
θαρσιν· δι᾽ ἄβυσσον πάν-
τως φιλανθρωπίας τε καὶ χρη-
στότητος· καὶ τὸ μεῖζον·
αὐτῆς ἀκοῦσαι τῆς τοῦ θεοῦ
καὶ πατρὸς ἄνωθεν φερομένης
φωνῆς· πᾶσι τρανῶς
διακηρυσσούσης τὸν ὑπ᾽ ἐκεί-
νου βαπτιζόμενον· υἱὸν
αὐτοῦ ἀγαπητὸν χρηματί-
ζοντα· καὶ θεὸν προαιώνιον·
Ὃν καὶ αὐξάνειν ὁ βαπτιστὴς
ἔλεγε τοῖς αὐτοῦ μαθηταῖς·
τὴν φύσιν τῆς θεότητος αἰ-
νιττόμενος· τὴν ὡς ὑπὸ πα-
ραπετάσματι τῇ σαρκὶ κεκρυ-
μμένην· ἀλλὰ καὶ ἑαυτὸν
ἐλαττοῦσθαι. οὐδ᾽ ὅλως ἠρνή-
σατο· ἀλλ᾽ ἀνωμολόγηται· καὶ πο-
λὺ τοῦ ὑπ᾽ αὐτοῦ βαπτισθέν-
τος λειπόμενον· ὁ γὰρ ὀπί-

σω μου ἐρχόμενος· ἔμ-
προσθέν μου γέγονεν· ὅτι πρῶ-
τός μου ἦν· ἀλλ᾽ ὅμως καὶ οὗτος
ὑπ᾽ αὐτοῦ τοῦ δεσπότου τῶν
προφητῶν ὑπερτέθειται· καὶ
περισσότερος εἶναι προφήτου
κεκήρυκται· ταῦτα μὲν οὖν
ἐκ πολλῶν ὀλίγα· ὅμως οὖν λόγου
παρέχουσιν· ὅσον τιμῆσαι μό-
νον. τὴν εἰς τιμὴν τοῦ θείου προ-
δρόμου τελουμένην πανήγυ-
ριν· σὺ δὲ ὁ τοῦ πρὸς ἀποστόλου ὁ τοῦ
υἱοῦ βαπτιστὴς· καὶ τοῦ ἁγίου πνεύματος
θεατής· φύλαξ ἡμῖν τοῦ βασι-
λεῖ ἡμῶν ἄνακτι ἀσφαλέστατος·
Μεσίτης πρὸς Χριστὸν τὸν θεὸν ἀκαται-
σχυντος· Ἰσχυρὰ τῆς αὐ-
τοῦ βασιλείας ἀσφάλεια·
Χεὶρ τοῖς πολεμίοις πάντας
ἐκτρέπουσα· Ἀρωγὸς ἐν
πολέμοις ἀήττητος·
Ἠρεμαίαν ζωὴν αὐτῷ χαριζό-
μενος· Λύσιν τῶν δυσ-
χερῶν ἡμῖν γινόμενος.
Παρὰ τοῦ φιλανθρώπου θεοῦ ἡμῶν·
ᾧ ἡ δόξα καὶ τὸ κράτος· εἰς τοὺς
αἰῶνας· ἀμήν +



† Βίος καὶ πολιτεία καὶ
μαρτύριον τοῦ ἐν ἁ-
γίοις πατρὸς ἡμῶν Ζω-
τικοῦ τοῦ
πτωχοτρό-
φου †

Πολλοὶ μὲν τῶν ἄλλων πολυει-
δῶς· τοῦ θεοῦ ἀνηρτήσαν· ὁ μὲν
γὰρ πρᾶξιν μαρτυρικήν· ὁ δὲ
θεωρίας ἀκρότητα· καὶ ἄλ-
λος τὸν μοναδικὸν καὶ ἡσύ-
χιον τόν· καὶ ἕτερος· τὸν
διὰ μαρτυρίου ἀσπασάμενοι
θάνατον· κεχαρισμένως αὐτ-
οῦ ἀπολέλαυκται· πρὸς τιμά-
σαν τοὺς κατασκηνώσας.

τῶν ναῶν ἁγίων καὶ μακαρίων
μονῶν· ὡς ὁ δὲ ἀπό τινος ἐκά-
στου· κατ' ἀξίαν διαμένει
τῶν πραξέων· ὁ δὲ νῦν
ἡμῖν προκείμενος εἰς δι-
ήγησιν Ζωτικὸς ὁ θαυμά-
σιος· οὐχ ἕν τι τρόπον τῶν
ἀρετῶν· μυρίοις δὲ τοῦ θεοῦ
ἀνηρτήσεν· ἐγκράτεια
γὰρ αὐτοῦ ἡ καθόλου κατορ-
θοῦτο· καὶ ἡ ἀκραταιωτεινώ-
σις· στολὴ καὶ κόσμος πο-
λυτελὴς ἠγνωρίζετο· τὴν
δὲ φιλαργυρίαν· τὸ δεῖ λέ-
γειν ὅσον ὁ μακάριος ἀπεσ-
τρέφετο· ἐν ὑποδίωμα ἀλλ

μονωθείην τοῖς φιλαρέτοις·
τῆς πρὸς ὁμοίους ἀμαιμάκε-
ως· πτωχοτροφίαν δέ·
καὶ τὴν πρὸς τοὺς πένητ-
ας χρηστότητα καὶ συμ-
πάθειαν· τοσοῦτον ἐκεῖνο
ἠγάπησεν· ὥστε καὶ διὰ
τὴν πρὸς αὐτοὺς κηδεμο-
νίαν· χαλεπώτατον
ὡς εἰπεῖν τὸν θάνατον· ὡς
τὰ τοῦ λόγου προϊόντα δη-
λώσει· οὐδὲ καὶ ἀρχὴν
ποιησόμεθα· τὴν αὐτοῦ
πρὸς τὸν υἱὸν παραγγελίαν·
Τῶν θαυμαστῶν τοιγαροῦν
τούτων καὶ μακαρίτη πρι-
ζωτικῶν· ἡ πρεσβυτέρα
Ῥώμη πατρίς· πατέρες
τῶν ἐπιφανῶν· καὶ πρώ-
τοις τῆς συγκλήτου βουλῆς·
πλουτοῦντες πρὸ τῶν χρη-
μάτων· τὴν εἰς Χριστὸν πίστιν·
τὸν ἀναφαίρετον καὶ πολύ-
ολβον θησαυρόν· ὅθεν
[illegible] ὁ μάρας ἐλέχθη· οἰκουμέν
ποιῆσαι ἐπεθύμει τοῦ θεοσοφι-

λῶς ἐμήνυτο· τὸν ἀρραβῶ-
να τῆς θεοσεβείας ἐξ ἁπα-
λῶν ὀνύχων ἐκδεξάμενος·
τὸ θεῖον δηλαδὴ βάπτισ-
μα· ὅτε δὲ καὶ πρὸς μα-
θημάτων ἀνάληψιν καὶ-
ρὸν ἔσχε τὸν ἐπιτήδειον·
διδασκάλοις ἐκδίδοται·
τοῖς κατὰ τὴν Ἰταλίαν
ἐν γνώσει ὀνομαστοῖς χρη-
ματίζουσιν· ὁ γὰρ πατὴρ
αὐτοῦ· λόγων εἰς κόρον
κατατρυφήσας· καὶ σο-
φίας ἀνεπαρκής· τῶν ὁ-
μοίων αὐτῷ καὶ τὸν υἱὸν
μετέχειν ἐσπούδασεν·
Ἐν τοσούτῳ ὀλίγου χρόνου·
πλεῖστην μάθησιν τῶν μα-
θημάτων ἐκαρπώσατο
τὴν ἀσφάλειαν· οὐδὲ γὰρ
ἦν αὐτῷ ἀγαθόν· ὁ μὴ τῇ
καρδίᾳ παρακατέθετο·
διὸ καὶ ἀρετῶν τύπον
καταγώγιον· ἑαυτὸν κα-
τεσκήσατο· ἔτι δὲ καὶ
τὴν παιδικὴν ἡλικίαν

παραδραμὼν εἰς ἐφήβους
ἐτέλει· τοῦτον μὲν ἡ τριὰς ὡ-
ἀξιώματος κατηξίωται·
παρὰ τοῦ τότε ῥωμαίοις
τὸ βασίλειον σκῆπτρον δι-
έποντος· ὃς πλέον τῶν ἐ-
ξάρχων κύκλῳ· ἢ τῷ δια-
δήματι τοῦ κράτους· καὶ
τῇ πορφυρίδι αὐτῇ· δια-
λάμπων ἐδείκνυτο· Κων-
σταντῖνος ἡμῖν οὗτος ὁ μέγας·
καὶ πρῶτος χριστιανῶν
βασιλέων· ὃς· ἐκ θείας ἀ-
ποκαλύψεως· τὴν βασι-
λείαν ἐν Βυζαντίῳ με-
ταθέσθαι βουλόμενος· καὶ
τοὺς τὰ πρῶτα φέροντας
παρ' αὐτῷ· πλούτῳ καὶ
συνέσει καὶ ἀξιώμασι· συ-
ναποδήμους ἔχειν· καὶ τῷ
σκοπῷ τούτου συμπράτ-
τοντας· μεθ' ὧν καὶ ὁ
θαυμάσιος Ζωτικός· πρὸ(ς)
τὴν ἑσπέραν ἠπείγετο·
ἄρτι γενομένων ὑπάρχων λαμ-
πρῶν· καὶ γένει· καὶ πλούτῳ·

καὶ πᾶσι τοῖς κατὰ κόσμον
ἀγαθοῖς σεμνυνομένων·
ὡς ἤδη δεδήλωται· τοῦ
τοίνυν εὐσεβοῦς Κωνσταντίνου
σὺν αὐτοῖς καταλαβόντος
τὴν Βύζαντος· καὶ ταύτην
ἐξ ἀτελοῦς καὶ μικρᾶς· πε-
ριφανῆ καὶ μεγάλην τελέ-
σαντος· οἴκους τε δειμα-
μένου· κάλλει τε καλλίστους
καὶ μεγέθει μεγίστους· ἀλλὰ
Καὶ τοὺς εἰς κατοικίαν βα-
σιλεῦσι προσήκοντας· καὶ
ὅλως πᾶσι τὴν πόλιν τῶν
ἄλλων ὑπερτέραν ποιή-
σαντος· Κωνσταντινούπο-
λιν τε καὶ νέαν Ῥώμην
αὐτὴν ὀνομάσαντος· χρι-
στιανῶν μὲν ἤδη πλεόνων· καὶ πλα-
τυσμὸν αὐτῷ τὸ κράτος τῆς
βασιλείας ἔλαμψε· τῶν
γὰρ τῆς ἑλληνικῆς πλάνης
προμάχων ἐκποδὼν
γενομένων· καὶ τῶν υἱῶν
κακῶς συγκαταλυσάντων
τῇ τυραννίδι· πᾶσι γὰρ

ὁ ἐν βασιλεῦσι μάλιστα ἀοίδιμος
οὗτος καὶ μάλιστα ἀντετά
ξατο· καὶ τελέως τούτοις
κατηγωνίσατο. μόνος γὰρ
αὐτὸς θεοῦ δόντος τὴν βασι
λείαν· πάσης ἐχθρὸν τῆς
εἰδωλομανίας· τῶν δὲ ὑπὸ χεῖρα
σφόδρα κηδόμενος· καὶ προ
μήθειαν τούτων ἐκ φιλανθρώπου
τρόπου· μεγάλην τε ποιού
μενος πρόνοιαν. ἔλαθεν ὅτι
καὶ τῶν οὐκ ἀλόγων ὡς ἄνθρωπος
καὶ οὗτος διαπραξάμενος·
μόνου γὰρ ὄντως θεοῦ· φησί
τις τῶν θεηγόρων ἀνδρῶν·
τὸ παντελῶς ἀναίτιον
καὶ ἀναμάρτητον πάθειν· ἀλ
λὰ καὶ τῶν ἀρχῆθεν νόμων
στοιχῶν· ἐκεῖνος δὴ τὸ τῶν
αὐτοῦ βασιλικῶν προσώπων
μᾶλλον ἀνάξιον ἐθέλησε
διαπράττεσθαι· τί δὲ τοῦ
το· ἐν θερμῷ θέρει· πάντας
τοὺς τὸ σῶμα λελωβημέ
νους· καὶ τῇ ἱερᾷ καλουμέ
νῃ νόσῳ παλαίοντας. δὲ

ἀξιοῖ τῆς πόλεως ἀπε
λαύνεσθαι· ἢ καὶ κατὰ θα
λάσσης ἐκδίδοσθαι. οὐκ ἀν
θρωπότητος μᾶλλον· ἢ προμη
θείας ἔργον ὑπονοῶν δεῖν
πράττεσθαι· προνοῶν
γὰρ τοῦ μή τινα τῶν ὑγιαι
νόντων τῇ τοιαύτῃ νόσῳ γενέ
σθαι κατάσχετον. τὸ τοιοῦ
τον κατὰ τῶν ἐλεεινῶν ἀξι
ῶν μᾶλλον ἐνομοθέτησε·
Τί οὖν ὁ θεοφιλὴς οὗτος ἀ
νήρ· οὐ πρότερον τοῦ λόγου
ἀπέθετο· τίνα λύσιν
εὑρίσκει τῆς κατὰ τῶν δυσ
τυχούντων ψήφου. ἀκού
σατε· τῷ βασιλεῖ προσελ
θὼν· χρυσὸν αἰτεῖται
πλεῖστον αὐτῷ παρασχεῖν·
ἵνα φησὶ μαργαρίτας καὶ
λίθους τιμίους ἀπὸ τῆς ἱερᾶς
αὐτῶν ἀγορὰν πολλήν· τῷ
κράτει σου ἐμπορεύσωμαι·
τοῦτο γὰρ συνῄδει καθεστά
τον ὁ σοφώτατος· ὡς τὴν
κατὰ τῶν ἀσθενῶν τοῦ

βασιλέως μόνον ἐθέλει ἀλ-
λὰ τοῦ βασιλέως ἀνασκευ-
άσαι τὰ χρήματα· τὸ μὴ
ἁμαρτῆσαι εἰς θεόν· τὸν ἀ-
ληθῶς καὶ μόνον καὶ φυ-
σικῶς βασιλεύοντα· τῷ
βασιλεῖ προξενήσουσιν·
Ὁ γὰρ βασιλεὺς μελήσας οὐ-
δέν· πλεῖστον ὅσον ἐκ τῶν μα-
καρίων χρυσόν· ἐπὶ τοὺς
μαργαρίτας κατὰ τὴν ὑ-
πόσχεσιν ἐξωνήσασθαι·
καὶ ὅσ λαβὼν τὸν χρυσόν·
τοὺς ἀληθῶς τιμίους αὐτῶν
μαργαρίτας ἐνεπορεύ-
σατο· περιερχόμενος
γὰρ πᾶσαν τὴν πόλιν·
καὶ ἀνασκοπῶν ἀκριβῶς·
εἴ πού τινα κατίδοι τῶν
λελωβημένων τὰ σώ-
ματα· τῆς πόλεως ἐ-
ξωθούμενον· κατὰ τὸ
βασιλέως διάταγμα·
ἢ καὶ πρὸς βυθὸν θαλάσ-
σης ἀγόμενον· χρήματα
τοῖς κατάγουσιν οὐκ ὀ-
λίγα παρέχων· ἐξωνεῖτο
τούτοις· ἄνδρας τε καὶ γυ-
ναῖκας· καὶ τῶν ἐπὶ μηκί-
στων τῇ νόσῳ ταύτῃ τρυ-
χομένων· καὶ εἰς τὸ πέραν
ἀπάγων τῆς πόλεως ὄρος·
ἐλεῶν τοῦ τότε καλού-
μενον· πάσης ἠξίου προ-
νοίας· σκηνὰς γὰρ αὐ-
τοῖς καὶ καλύβας ἐκ δέν-
δρων κλάδων κατασκευ-
άζων ὁ μάκαρ· ἐκεῖσε τού-
τοις καταμένειν ἐποίει·
τὰ πρὸς τὴν χρείαν διδούς·
καὶ φάρμακα λυτήρια
τῆς νόσου· καὶ τῆς ἀρρω-
στίας ἐπισκευάζων αὐτοῖς
βοηθήματα· εἶχε γὰρ τὸ
ἐκ βασιλέως αὐτῷ δε-
δομένον χρυσόν· καὶ τὸν
ἐκ πατρικοῦ κλήρου τούτῳ
περιελθόντα· κατὰ γνώ-
μην αὐτοῦ· πρὸς τὴν ἐ-
κείνων ἀναλισκόμενον
πρόνοιαν· τὴν οὖν θεο-
κερδῆ καὶ πολύολβον ταύτην

ὁ ἐμπορίαν· ἐφ' ἱκανὸν μὲν
πορευόμενος ὁ μακάριος·
ὑπὸ τοῦ καύματος τοῦ φθόνου κα-
θ' ἑαυτοῦ ἐδίδου· τοῖς γὰρ
παρὰ βασιλεῖ τὰ μέγιστα
δυναμένοις ὑπέκνιζε·
καὶ πρὸς τὰς κατ' αὐτοῦ
διαβολὰς διηρέθιζεν·
Οὐ μὴν δὲ τούτοις ἡ κατὰ
τοῦ μεγάλου ἐπιβουλὴ ἐ-
ξηρτύετο· καὶ ὁ φιλόχριστος
βασιλεὺς κωνσταντῖνος·
υἱοῦ τοῦ παρόντος μεθί-
σταται· τῆς δὲ βασιλείας
εἰς κωνστάντιον τὸν ἐκεί-
νου παῖδα περιελθούσης·
ἀπὸ ψυχῆς καὶ τῆς περὶ κῆς
εὐσεβείας· τὴν γὰρ ἀρεί-
ου κακοδοξίαν κακῶς ὁ
κωνστάντιος ἠνάγκαζό-
μενος· ὁ πᾶσι τοῖς ἀγα-
θοῖς βασκαίνων διάβολος·
τοὺς μάτην τῶν ἀγίων διὰ
φθόνου ὄντας ἐκείνους· ϛ
αὖθις ὑπελθὼν· διάβο-
λον κατ' αὐτοῦ κινῆσαι

πλῶσαν· καὶ πρὸς βασι-
λέα τοῦτον κατειπεῖν
παρεσκεύασεν· ὡς ἄρα τὰ
ἐναντία τούτῳ φρονῶν·
καὶ ὅτι παρὰ τοῦ πρὸς αὐ-
τοῦ χρημάτων πλῆθος αἰ-
τησάμενος ἀναρίθμητον·
ἐπὶ τοῖς λίθοις καὶ μαργά-
ροις λαμπροῖς ἐξωνήσα-
σθαι· τούτων μὲν οὐδεμίαν
ἔσχε φροντίδα· τὸν δὲ
χρυσὸν εἰς οὐδὲν δέον ἀνα-
λίσκων ἐστί· λεπροῖς
γὰρ θεραπόντοις ἀπόλ-
λυσθαι χρῇ· ἢ καὶ τῆς πό-
λεως ἔξω ἐᾶσθαι· πρὸς
τὸ μὴ μεταδίδοναι καὶ
τοῖς δεκτοῦσι τῆς νόσου.
Μέχρι τί ποιεῖν οἴεσθαι καὶ
φιλανθρωπον· ἀλλ' οὐδὲ πε-
ριττὴν ποιεῖσθαι φησὶν
φρονῶν ἐστί· ταῦτα τὰς
ἀκοὰς τοῦ μακαρίου ἐλ-
θόντα· οὐδεμίαν ἐνέ-
καλεν αὐτῷ δειλίαν· ἢ ϛ
φόβον τὸν παρὰ τοῦ βασιλ·

ὃ καὶ σαφῶς δεῖξαι βουλό-
μενος· πρὸς τὸν ἴδιον οἶ-
κον ἀπελθὼν ἐν τάχει· καὶ
λαμπρὰν ἐσθῆτα περι-
βαλλόμενος· πρὸς τὸ πα-
λάτιον ἀνέστη· καὶ τῷ
βασιλεῖ προσελθὼν· ἠ-
ξίου τοῦτον ἀκολουθεῖν·
ὡς ἄν· οὓς αὐτῷ λίθους
καὶ μαργαρίτας ἐνεπορεύ-
σατο καπηλεύων· χαρᾶς με-
γάλης ἐπὶ τῇ τούτων κτή-
σει πλησθῇ· καὶ ὡς ἀληθῆ
δόξας εἶναι τὰ παρὰ τοῦ
ὁσίου λεγόμενα· μετ' εὐ-
φροσύνης αὐτῷ ἀκο-
λουθεῖν ἐπηγγείλατο.
Τούτου τοίνυν ὁ θεῖος ἀνὴρ
προδραμὼν· καὶ πάντας
τοὺς ἐν τῷ ἐλαιῶνι ὄρει
λαοὺς καὶ τῶν σκηνῶν ἔ-
ξω γενέσθαι παρασκευα-
σάμενος· λαμπάδα τε
κηροῦ τούτων ἑκάστῳ ἐγ-
χειρισάμενος· πρὸς ὑ-
πάντην τοῦ βασιλέως

καλῶς τούτοις διέταξε.
Ἔτυχε δὲ καὶ θυγατέρα ἔχων
ὁ βασιλεύς· ἐξῶσαι ταύτην
τῶν ἀνακτόρων ἠθέλησεν
ἅτε δὴ λεπρωθεῖσαν· ὁ
δὲ θαυμάσιος Ζωτικός·
καὶ ταύτην ἐξωνησάμενος
χρήμασι· τοῖς ἄλλοις τῶν
νοσούντων ἅμα προνοη-
τικῶς ἐθεράπευεν· ἐξι-
έναι καὶ ταύτην εἰς συνάν-
τησιν τοῦ πατρὸς· λαμπρὰν
ἔχουσαν μετὰ χεῖρας λαμ-
πάδα προστάττει· ἐ-
πειδὴ δὲ διαπεράσας ὁ βα-
σιλεὺς τὸν πορθμὸν πρὸς
τὸ ὄρος ἀνῄει τοῦ ἐλαιῶνος.
προηγουμένου τοῦ μακαρίου.
εἶδεν ὅτι μακρὰν ἀπέχων
λαμπαδηφόρους· τοὺς
τιμίους ὡς ἀληθῶς μαρ-
γαρίτας· τοὺς νοσοῦντας
φημί· προσυπαντῶντας
καὶ ἀφικνοῦντας αὐτόν· πυ-
θόμενος δὲ τοῦ ἁγίου· τί-
νες οἱ δὲ οἱ μετὰ λαμ-

πάθων προσάγουσαν τῶν τε
ἡμῖν· ἀκούσῃ παρ' αὐτοῦ· τῆς
μακαρίας καὶ τυχῆς καὶ τελεώ
σης· οὗτοι εἰσὶν ἀληθῶς δὲ
ωσται· οἱ τίμιοι λίθοι καὶ
διαφανεῖς μαργαρῖται· οἱ
τὸ διάδημα τῆς ἐπουρανίου β
ασιλείας λαμπρύνοντες·
ἣν ἀρχαίως τούτων κληρονο
μήσας αὐτός· εἰς τὴν
γὰρ τυχικὴν ὁρίαν· τούτους
ορίασθαι δι' ἐκείνων ἡμέρα·
Ὁ δὲ βασιλεύς· μυκτηρισμὸν
καὶ χλεύην τοῦ ὁσίου τοὺς
λόγους ὑπολαβών· καὶ μη
δὲ τῆς λοιποῦ τούτων προσφθέγ
ματος ἢ λόγου· τὸν περι
όντι τοῦ θυμοῦ μεταδοῦναι
θελήσας· ἀλλ' ὥς τε καὶ
τοῖς ἀρειανοῖς χαριζόμενος·
ὧν τὴν κακόδοξον αἵρεσιν·
ἀεὶ παραδειγματίζων ὁ
μέγας ἀναθέματι παρεδί
δου· κελεύει θηρίων ἀγρίων
ἡμιόνων ἀποδεθέντα·
πρὸς τὸ κάταντες ἕλκεσθαι·

ὅτι πιτοσοῦτον· ὅσον ἂν τοῦ
τὸν μὴ τῆς τυχῆς ἀπολείποι· ὡς
τὸ σῶμα μου εἰς μέλη καὶ με
ρη τεμνόμενον· τέλεον
διαφθαρῇ· τούτου δὲ γε
νομένου συντάχει πολ
λῶν· αἱ ἡμίονοι μὲν ὑπὸ
τῶν δημίων ἠλαύνοντο·
Τῇ δὲ φυσικῇ ἀγριότητι·
προσλαμβάνουσαι καὶ τὴν
ἀπὸ τῶν τρέχειν και
τέως γ' ὁμῶν ὀδύνην· ἄλ
κον πρὸς τὰ κάτω ὡς αἵ
ως τὸν ὅσιον· ἡνίκα δὲ
τὸν ναὸν κατέλαβον· τὸν
ἐν μάρτυσι φαιδρὸν ἀπο
λάμποντος τοῦ θείου
λέγω παντελεήμονος·
τῶ καίω τῶν ἑλκυσμῶν
ὁ μακάριος· τὸν δεξιὸν ἀ
ποβάλλει τῶν ὀφθαλμῶν·
ἐθνῶν ἀδικία θεοῦ· τὴν
μὴ ἐλάττονος ἀναδίδοται·
παντοίων μοσχμάτων
φραδευτήριον· κατ' αὐτὸν
ἐκεῖνον τὸν τόπον· τὸν

τὸν ὀφθαλμὸν τοῦ μεγάλου
δεξάμενον· ἐντεῦθεν
αἱ ἡμίονοι· οἱ ἄτιμοι ἀορά-
τως ταύτας μαστίζοντες·
δρόμον ἄσχετον πρὸς τὸ
ὄρος τοῦ ἐλαιῶνος ὑπέ-
στρεψαν· πρὸς δὲ τῷ
λόφῳ τούτου γενόμεναι·
ὧ τοῖς ἀνθρώποις τὰς σκη-
νὰς ὁ μάρτυς ἐπήξατο· ἀ-
κινήτως εἶχον λοιπόν·
ἤδη τοῦ ὁσίου· τὸν τῆς ἀ-
θλήσεως δρόμον ἀνύσαν-
τος· καὶ τὴν μακαρίαν αὐ-
τοῦ ψυχὴν· εἰς χεῖρας ἐ-
ναποθεμένου τοῦ δεδωκό-
τος θεοῦ· τοῦ πολυάθλου
τούτου σώματος ἐπισυμβάν-
τος· ς τῶν μελῶν αὐτῷ·
πλὴν τοῦ ἐκκοπέντος ὀ-
φθαλμοῦ· μηδενὸς λεί-
ποντος· ἐπεὶ δὲ καὶ εἰς ἔ-
τι πράττειν τὰς ἡμιόνους
οἱ δήμιοι τοῖς μάστιξιν
ἤπειγον· θαυματουργί-
τι κἀνταῦθα θεοῦ· τῆς

αὐτοῦ δικαιώσεως ἄξιον·
τὸν δι' αὐτὸν ἀθλήσαντα κἀν
τούτοις δοξάζων· ζωτικό-
τερον ἀοίδιμον· ἡ γὰρ ἄλογος
φύσις ἐκείνη τῶν ἡμιόνων·
οἷα περιμὸ καλουμένη· ὅμως
τοῦ μάρτυρος· ἀνθρωπί-
νην λαβοῦσα θεόθεν πα-
ράδοξος φωνήν· αὐτοῖς
τε τοῖς δημίοις· ὡς ἄν ἤ-
μύνοις ἐπιχειροῦντας διή-
λεγχε· καὶ ὡς πρὸς αὐτῷ
καταταθῆναι τῷ ὄρει θεοῦ
ἄνωθεν ἐψηφίσατο· τὸ
τίμιον σῶμα τοῦ ἰδίου θε-
ράποντος· διετείνετο·

Τούτων ὁμοῦ τῶν καινῶν θε-
αμάτων καὶ ἀκουσμάτων·
ἀκουστὴς ὁμοῦ καὶ θεατὴς
ὁ βασιλεὺς γέγονε· ἔτι
γὰρ ἐκεῖσε παρῆν· συντε-
τριμμένος τὴν ψυχὴν πα-
ραυτίκα· καὶ θεόθεν ἡ-
τεῖ τοσαύτῃ μανίᾳ ἐλαύνει·
τῆς παρ' αὐτοῦ γενομένης
τῶν ἄλλων θανατηφόρου

ἐπιβουλῆς· κελεύει δὲ καὶ
τὸ σῶμα τούτου τὸ τίμιον·
τιμίως ἄραν καὶ εὐλαβῶς
κατατεθῆναι ἐκεῖ· καὶ τὰς
ἐκ θαλλῶν δὲ δένδρων σκηνὰς
καθελών· οἶκον τοῖς ἀσθε-
νοῦσι μὲν σπουδῇ ἐδομήσατο·
ἀφιερώσας αὐτῷ τοῦ ὁσίου
πᾶσαν τὴν ὕπαρξιν πολυ-
τάλαντον οὖσαν· ἀλλὰ καὶ
χρήματα πολλά· τῶν βα-
σιλικῶν ἐνομοθέτησεν ἀεὶ
χορηγεῖσθαι· καὶ κτήματα
δὲ τῶν μεγίστων προσόδοις·
εἰς ἀποτροφὴν καὶ χρεί-
αν τῶν ἐν τῷ νοσοκομείῳ
ἀπέταξεν· ἃ καὶ διέμει-
ναν ἄχρι τῶν Τιβερίου
χρόνων τοῦ βασιλέως
οὕτως ἔχοντα· τῶν δὲ
βαρβάρων τότε· βαρεῖ
στρατῷ τὴν Θράκην κατα-
δραμόντων· καὶ τὰ μὲν αὐ-
τῆς ληϊζομένων· τὰ δὲ
καὶ πυρπολούντων· συν-
έβη καὶ τὸν ἐπώνυμον τοῦ ὁσίου

οἶκον ὑπὸ τῶν ἀνοσίων ἐ-
κείνων· ἔργον γενέσθαι πυρός·
Μαυρίκιος δὲ μετὰ Τιβέριον
τὴν Ῥωμαίων βασιλείαν ἐγ-
χειρισθείς· αὖθις αὐτὸν
ἀνεγείρει· μεγαλοπρεπέστε-
ρόν τε καὶ ὡραιότερον· τῆς
δὲ βασιλείας κατὰ διαδο-
χὴν περιελθούσης· εἰς Ἰου-
στῖνον καὶ Σοφίαν τοὺς εὐσε-
βεῖς· τὸ ἐπώνυμον ἀποστόλου
τοῦ σκεύους τῆς ἐκλογῆς
Παύλου· ὃ δὴ καὶ ὀρφανοτρο-
φεῖον προσφυῶς ὠνομάσθη·
δομηθὲν ὑπ' ἐκείνων ἐκ
κρηπίδων αὐτῶν· καὶ εἰς
ὃ νῦν ὁρᾶται μέγεθός τε καὶ
κάλλος ἐλθόν· τῷ τοῦ ὁσίου
καὶ μάρτυρος οἴκῳ· τὰ πρὸς
χρείαν τῶν νοσούντων δα-
ψιλῶς ἀφορίσαι χορηγίαν· καὶ
μέντοι κατὰ τὴν ἐκείνων θε-
οφιλῆ καὶ βασίλειον ὄντως
διάταξιν· ἐκεῖθεν αὐτοῖς
ἔκτοτε καὶ μέχρι τοῦ νῦν·
τὰ τῆς χρείας πορίζεται·

καὶ πάντες δὲ οἱ μετ' αὐτὸν
τοὺς σκῆπτρα τῆς ῥωμαίων
βασιλείας διαλαχόντες
θεόθεν· οὐκ ἐπιμεῖ περὶ ὅσον
ἐνδέχεται σπουδασμὸν
καὶ φροντίδα· περί τε τὸ
τοῦ μεγάλου ναὸν Ζωτικοῦ·
καὶ τὴν τῶν ἐκεῖσε πρόνοιαν
ἀδελφῶν· πλὴν γὰρ ὀλίγων
τῶν φιλοχρύσων μᾶλλον
ἢ φιλοχρίστων τὸ ἀεὶ ποιεῖ-
τοῖς ἐκεῖσε· τὴν νόσον τε εἰς
δύναμιν μνησθεῖν· καὶ πρὸς
ταύτης χρείας αὐτοῖς δα-
ψιλῶς ἐπαρκεῖν· ἐρρωμένε-
θεν τὸ πρῶτον καὶ σπουδαι-
ότατον· εἰδότες· ὅτι τού-
των ὡς οὐκ ἄλλου τινὸς τῶν
ἀπάντων μέλει θεῷ.
ω̂ καὶ προσάγει μὲν δι' αὐτῶν
πρὸ τῆς κρίσεως ἐλέου
χρήζοντας· τὸν ἔλεον ἀπο-
διδοῦσιν· ὧν γὰρ καὶ μέ-
χρι θανάτου προκειμένου
νεσθαι ἢ θέλησις Ζωτικοῦ
ὁ ἀοίδιμος· πάντες οὗτοι·

μὴ φρον[illegible]τίδα ποιεῖ-
σθαι· δυνατοὶ ὄντες ὅ-
λως ἀνασχοῖντο· ἄλλως τε
καὶ τὰς πρὸς αὐτοὺς ὑπὸ τοῦ μεγά-
λου διηνεκῶς γινομένας
θαυματουργίας τε καὶ πα-
ραδοξοποιίας· ὁρῶντές τε
καὶ ἀκούοντες· παρορμῶν-
ται· πρὸς τὸν περὶ τούτους
οἰκτιρμὸν καὶ τὸν ἔλεον.
α ἀπὸ γὰρ τῶν χρόνων· τῆς
αὐτοῦ πρὸς θεὸν διαμαρτυ-
ρίου· μακαρίας πορείας
καὶ ἀναλύσεως· ἄχρι τῶν
νῦν· οὐκ ἐξέλιπε τὰς ἰά-
σεις παρέχων· τοῖς τὴν λώ-
βην τῶν σωμάτων τρυ-
χομένοις καὶ κάμνουσι·
ἴσως γάρ· ὅτι καὶ παρ' ὅλον
τὸν χρόνον τῆς κατὰ ζω-
ῆς· τὰ πρὸς θεραπείαν
αὐτοῖς τελῶν ἦν· ὡς οὐ-
δεὶς ἄλλος τῶν πώποτε.
μνῶ δέ· ἄνω πρὸς θν̅
μεταναστὰς οὐχ ὑπερηθέλησε·
καὶ ἐν αὐτῷ ζῶν· ἐπολλήν

πρὸς αὐτὸν ἔχων τὴν παρ-
ρησίαν· πῶς ἂν εὐεργετῶν
ἐλλίποι· τοῖς αὐτοῦ ἱκέταις
καὶ προσφύγαις· οἷς καὶ
βασιλεῖς αὐτοῦ ὡς προλέ-
λεκται· οἱ φιλευσεβεῖς καὶ
φιλόθεοι· θεραπευτικῶς
ἅμα καὶ φιλανθρώπως προσ-
φέρονται· οἰκητήρια αὐτοῖς
μάλιστα τούτοις συνιστῶν-
τες· καὶ περιφανῆ καταγώ-
για· λυτήρια αὐτοῖς τῆς
νόσου· διὰ χειρῶν ἰατρι-
κῶν μηχανώμενοι· καὶ λου-
τροῖς· τὰ τῇ πικρᾷ νόσῳ
τιτρωσκόμενα σώματα·
τῶν συνεχόντων ἰχώρων
καὶ τῶν ἑλκῶν· χριστομι-
μήτως ἀποκαθαίροντες·
ἢ γὰρ οὐ χριστομίμητον ἔργον
τὸ χερσὶν οἰκείαις τὸν εὐσεβῆ
βασιλέα ἡμῶν· ἐν τοῖς τοῦ
βαλανείου γινόμενον· ἐπι-
χέειν τὰ θερμὰ ὕδατα
λουομένοις τοῖς κατὰ θεὸν ἡ-
μῶν ἀδελφοῖς· καὶ τοῖς πόδας

αὐτοῦ τὸ δουλοπρεπὲς ἀπο-
νίπτειν· ἀσπάζεσθαί τε αὐ-
τούς· καὶ μέχρι τῆς κλίνης
ἀποκομίζειν ἐξερχομένους τοῦ
λουτροῦ; διὸ καὶ πάντα
τὰ κατ᾽ ἔφεσιν λήψεται· πρε-
σβείαις τοῦ ὁσιομάρτυρος ζω-
τικοῦ καὶ θείαις ἐντεύξεσι·
Μακρότητα ἡμερῶν· πλατυσ-
μόν τε τοῦ κράτους καὶ αὔξησιν·
Ἰσχὺν κατὰ βαρβάρων πάν-
των· καὶ σθένος ἀήττητον·
Χεῖρα κραταιὰν πρὸς ἐπανισταμένους ἄρδην ἐκτρέπουσαν·
Αἰώνιον μετὰ τὸ τέλος βίου
ζωὴν καὶ ἀνάπαυσιν·
Ἧς ὀδύνη· λύπη τε πᾶσα καὶ
στεναγμός· ἀπελήλαται·
Λαμπρότης δὲ ταύτῃ καὶ εὐ-
φροσύνη συνέζευκται·
Πρὸς ἣν καὶ ἡμεῖς καταντή-
σαιμεν· χάριτι καὶ φι-
λανθρωπίᾳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κρά-
τος· νῦν καὶ ἀεί· καὶ εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων· ἀμήν +



† Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος τοῦ Χ(ριστο)ῦ Πολυεύκτου:

Εἴπερ τις ἄλλη καλλίστη τῶν διηγήσεων· καὶ ἡ τοῦ θαυμαστοῦ μάρτυρος Πολυεύκτου· ἔχει γὰρ μετὰ τῆς ὠφελείας πολλὴν καὶ τὴν ἡδονήν· εἰς μέσον τοιγαροῦν προτιθέσθω τοῖς φιλοθέοις· διεγειρομένοις τὸν λογισμὸν· πρὸς τὴν ταύτης ἀκρόασιν· κατὰ τοὺς Δεκίου καὶ Οὐαλεριανοῦ χρόνους τῶν βασιλέων· ἦν τις Νέαρχος καὶ Πολύευκτος· στρατιῶται μὲν τὸ ἐπιτήδευμα· οὗτοι δὲ φίλοι ὄντες ἀλλήλοις· ὡς πολλῷ πλέον αἵματός τε καὶ συγγενείας ἐκ τῆς ἀληθοῦς ἀγάπης· καὶ τὰς ψυχὰς συνηρμόσθαι αὐτοῖς· ἦν δὲ ὁ μὲν Νέαρχος Χριστιανὸς· καὶ περὶ τὴν εὐσέβειαν ἀκριβής· Πολύευκτος δὲ ὁ καλὸς· ἕλλην μὲν τὴν θρησκείαν· ἀρετὴν δὲ πᾶσι κομῶν· καὶ ἐλαία μὲν κατάκαρπος ὤν· τὸ δὲ ἐμοὶ καθ᾽ ὃ εἰ

καὶ μόνον λειπόμενος·
ἐπειδὴ δὲ οἱ ῥηθέντες βασιλεῖς·
ἐγγράφοις διατάγμασι τὸν
κόσμον ἅπαν πρὸς τὴν εἰ
δωλολατρίαν ἐξεκαλοῦν
το· θεοῖς οἴμοι τάδε εἰς καὶ
ματαίοις· εἰς τὴν τοῦ ἀλη
θινοῦ θεοῦ χώραν ἣν καθιστῶν
τες· σέβειν τε τούτοις καὶ
προσκυνεῖν ἀναγκάζοντες·
καὶ τοῖς μὲν πειθομένοις·
τιμαί· δωρεαί· χρήματα·
τοῖς δὲ ἀπειθοῦσιν· ἀπαραλαί
κολάσεις· καὶ τὸ τελευταῖον
κακόν· ὁ θάνατος· ἐφο
βήθη περὶ τοῦ φίλου Νέαρ
χος· μήπως ἡ περὶ τὸ σέ
βας διαφορὰ· διαλύσῃ τὸν
τοῖς καὶ τὴν φιλίαν· ἣν μὴ
αὐτοὶ οὕτω ἰσχυρῶς· λάθρα τὸν
φίλον ἀνακλαιόμενος·

Πολύευκτος δὲ ὁ πάντα καλὸς·
ἠρώτα προσιὼν· τὴν αἰτί
αν τῆς λύπης· ἦν λύπη γὰρ καὶ
αὐτὸς οὐκ ἐλάττων· τὸν ὁ
μότυχον ὁρῶν ἀνιώμενον·
ὁ δὲ Νέαρχος· ἐβουλεύετο μὲν
εἰπεῖν· εἰ μὴ ὅτι μόνον αἰτί
αν ὅτι δι' ἣν καὶ λύπην θέ
λων· ἀναγκάζεται σιωπᾶν·

Ἐπεὶ δὲ ὁ θεῖος Πολύευκτος
ἄφιλον τοῦτον ἐκάλει· καὶ
τοῦ ἀπορρήτου ἀπαιτεῖν τὴν
δήλωσιν· ὁ Νέαρχος· δα
κρύων ὑποπλήσας τοὺς
ὀφθαλμούς· καὶ στενάξας
βαθὺ τὴν ἔνδον φλόγα
τῆς ψυχῆς ὑποσημήνας·
τὸν μέλλοντα χωρισμὸν
ἔφη φίλτατε τῆς ἀγάπης
ἡμῶν ἐμνήσθην· ἀναγκά
ζομαι ἤδη εἰ ἀπορρῆξαι καὶ
τὴν ψυχήν· τούτοις ἐκεῖ
νος βαρύτατα πλήγας
τὴν καρδίαν· πῶς ἔπαθες
ἔφη Νέαρχε πῶς· καὶ
πόθεν ἡμῖν μόνος ἔσται ὁ
χωρισμός· ταῦτα εἰπὼν
καὶ ἅμα ἀναστὰς ἐκεῖθεν· καὶ τὸν
φίλον περιβαλών· καὶ
θερμότατα τοῦτον περι
χυθείς· εἰπέ μοι σαφῶς

ἔφη Νέαρχε ὁ πῶς οὗτος
ὁ χωρισμός ἐστι· οὐ γὰρ ἔ-
πι πλέον ἀμφοτέρων σου τὴν
σιωπὴν εἰδότων· ἀλλ᾽ ὅτι
με Πολύευκτον μὲν δὴ τὸν
σὸν· νεκρὸν καὶ ἄπνουν
πρὸς τῇ γῇ κείμενον· καὶ
ὁ Νέαρχος· ὦ φίλτατε λέ-
γε Πολύευκτε· τουτὶ τὸ
βασιλικὸν ἐπίταγμα· τὸν
χωρισμὸν ἡμῖν μὲν ποιήσει
καὶ τὴν διάζευξιν· ὁ δὲ σο-
φὸς ταῦτα Πολύευκτος·
γνοὺς ὅσῃ περὶ τὸ σέβας
ἀμφοτέρων διαφορὰ· πρὸς
ἐξέτασιν ἐρχομένη καὶ ἀρ-
χόντων μαρτυρίας· δια-
ζεύξει αὐτούς· πρὸς ἄλλην
τινὰ διάνοιαν ἀνέφερε
θειοτέραν· καὶ ἣν καθ᾽ ὕ-
πνον εἶδεν ὄψιν ἀνανεού-
μενος· συνάδουσαν τῷ
τοῦ καιροῦ κρίνων αὐτήν·
χαρίεντος δὴ γεῖτο τῷ
φίλῳ· ἐπεὶ τὴν ἀρχὴν λέγω·
ὃ τάχα τοῦτον ἡμῖν καὶ

λύσεσθαι γενέσθαι τὸν χωρισμόν·
εἶδον γάρ φησι τὸν Χριστὸν ὃν σὺ
προσκυνεῖς· προσελθόντα
μοι· καὶ τὸ ῥυπαρὸν μὲν τοῦ-
το ἱμάτιον ὃ περιεβεβλή-
μην ἀποδύσαντα· ἕτερον
δέ τινα τιμίαν στολὴν· ὡ-
τις ἂν ἐκείνης ἐστί ποι τὸ
κάλλος καὶ τὴν φαιδρότητα·
χρυσῆν περόνην κατὰ τὸν ὦ-
μον συνεχομένην ἀμφιά-
σαντα· ἀλλὰ καὶ ἵππον μοι
πτερωτὸν ἐγχειρίσαντα·
καὶ τοιαύτη μὲν ἡ ὄψις ἣν ὁ θεῖ-
ος εἶδε Πολύευκτος· τὸ
μέλλον ἀκριβῶς εἰκονίζου-
σα· ἡ μὲν γὰρ ἀμφίεσις
καλλίστη ἐκείνη στολὴ ἐδήλου
τὴν ἀπὸ τοῦ χείρονος ἐπὶ
τὸ κρεῖττον ἐδήλου μεταβολήν·
Δικαίως μάρτυς· τοῖς μαρτυ-
ρικοῖς χοροῖς μέλλοι συντάτ-
τεσθαι· ὁ δὲ πτηνὸς ἵππος·
τὴν ταχεῖαν αὐτοῦ γενέσθαι
πρὸς Θεὸν ἀνάβασιν·
ταῦτα ἀκούσαντα Νέαρχον·

εὐφροσύνης πληρωθῆναι
καὶ εἰπεῖν· τὸν χριστὸν ἀρνῇς τὸν
χριστὸν πολύευκτε· τὸν ὄντως
ὄντα θεόν· τὸν δὲ φάναι
πρὸς ταῦτα· πότε δὲ τοῦ
τον ἠγνόησα; ἢ πότε σοῦ πε
ρὶ αὐτοῦ λέγοντος· τρόπον
οὐκ ἐσκλήθη μου τὴν ψυχήν·
ἢ ἀναμιμνήσκοντος οὐ τοῖς
λόγοις ἐθαύμαζον; μόνον
γὰρ ἐδεόμην ὀνόματος· ἐ
πεὶ τἆλλα· χριστιανὸς ὑ
πῆρχον· καὶ δοῦλος ἀπο
δον γενέσθαι τοῦ δεσπότου
χριστοῦ· πῶς οὖν μὴ φανερῶς ἐπι
δεικνύμενον ὦ νέαρχε· τὴν
εἰς αὐτὸν ἡμῶν ὁμολογίαν;
Ὁ δέ· ἐμοί ἔφη πολύευκτε·
οὐδὲν τῶν τοῦ κόσμου καλῶν·
τῆς ἐν χριστῷ ζωῆς προτιμό
τερον· καὶ ὁ νέαρχος πολύ
ευκτος· ὥσπερ ἀποπειρώ
μενος τοῦ φίλου τῆς γνώ
μης· τί δέ· οὐκ ὀργῆς ἔφη τοῦ
παρόντος τοῦ δέ σοι ἀξιώ
ματος; ὁ δὲ νέαρχος ἔφη·

ἄρνησιν μοι δοκεῖς φίλτατε·
τὸ ἀληθὲς ἐν χριστῷ ἀξίωμα·
καὶ τὴν παρ' ἐκείνου δόξαν
τὴν οὐδέποτε λήγουσαν·
Πολύευκτος δὲ ὁ καλὸς· καὶ
τι χαριέντως πρὸς τὸν φί
λον ἐθέλων εἰπεῖν· σὺ μὲν
ἔφη ἄρνησιν μὲν ὑποπτεύ
σας· τὴν ἐν χριστῷ δόξαν τε καὶ
μακαριότητα· ἐγὼ δὲ καὶ
προσυφαίνομαι προκό
ψας· καὶ βασιλικὴν χλα
μύδα καὶ οὐσίαν ὅσην οἶδας.
δι' ἀποκαλύψεως κομισά
μενος· πλήν· ἀλλὰ δέδοι
κα· μὴ ἄρα τελεσθῶ ἤτοι
καὶ μυστηρίων προσελθὼν
τῶν ἱερῶν· ἀπρόσδεκτος ὀφθῶ
ἡμᾶς αὐτῷ καὶ οὐκ ἄξιος στρα
τιώτης· καὶ ὁ νέαρχος·
μηδὲ τοῦτο φίλτατε λέγε· πε
ρὶ τούτου ἀγωνιᾶς· σοι διστάζμός·
γέγραπται γάρ· δύνασθαι τὸν
θεὸν καὶ ἐκ τῶν λίθων τούτων
ἐγεῖραι τέκνα τῷ ἀβραάμ·
ὅπερ καὶ πᾶσιν ἐν δήμοις ἀπλῶς.

112

ηόωιος ἴσως οἱ καὶ αἱ πύλαι· δι
ὃ καὶ ὁ πιστεύων· πολλῷ τὸν
μισθὸν κομιεῖται τῆς πί
στεως. ὅθεν καὶ τοῖς
πρώτην καὶ τρίτην· ἕκτη
τε καὶ ἐνάτην ὥραν προ
σελθοῦσι τῷ ἀμπελῶνι.
ἴσος ἀφορίζεται ὁ μισθός·
καὶ ὁ θεῖος Πολύευκτος. ἠ
κούσας οὗ ἔφη ποτὲ φίλ
τατε Νέαρχε· λαθραίως
περὶ τούτου ἀναγλμάσκομεν·
Ὁ δὲ· καὶ ἕτερον εἶπεν εἰκοῦ
λε θαυμάσιε. πολλῶν
τοιούτων ἀπορήσεις ὑ
ποδειγμάτων· αὐτίκα γὰρ
ὁ συσταυρωθεὶς τῷ σωτῆρι λῃστής·
μυρίοις ἐγκλήμασιν ἐνοχ
ὤν· ὀλίγου καὶ βραχέος ῥή
ματος· μεγίστην ἀρετῶν ἐπί
δοσιν τὸν παράδεισον· ἐ
πεὶ καὶ μικρὰ πίστις· ὄρη
μεγάλα μεθιστᾶν δύναται·
τούτων ἀκούσας ὁ θεῖος
Πολύευκτος. ἀθεωροῦ
ται τὴν ψυχὴν· κοσμηθῶμεν

θαι τῷ Νεάρχῳ φησὶ· ἱκανὸν
ὅτερον ταῖς δεδογμένοις φυ
λάξαι· ἐγὼ γὰρ τοῖς ἀμείνοσι
πράγμασι τὸ λοιπὸν ἀπο
τάττομαι· τί γὰρ δὲ ἡμῶν
ὑπεραθλῆσαι δεῖ τοῦ Χριστοῦ·
δῆλον ἤδη γέγονε· ἰδοὺ
γάρ μου ταῖς ἐμοῖς ὤτοις κάλλη
φαντάζεται ἡ διάνοια· οἱ
ἀνδρόμοι παρεστῶ ταί καὶ τὸ
Χριστὸν ὁρῶ· καὶ τὴν τῆς ὀφθείσης
αὐτοῦ μαρμαρυγῆ· τὸ πρό
σωπον καταλάμπομαι·
πλὴν· καιρὸς καὶ τὸ δεῖσθε
καὶ πρόσταγμα τῶν βασι
λέων ἀναγλμάσκειν· καὶ
λαιῶν· δηλῶν· ἀναγλ
μάσκων δὲ· δυνατὸν ἐ τοῦτο·
ἔτι καὶ διαρρήξας. αὐραις
ἐδίδου· καὶ γραφεῖσ· ὁρᾶ
διασκεδαζόμενα εἴδωλα·
ἃς προσκύνησιν τὲ τοῖς
ἀνοήτοις παρὰ τοῖς κα
μοῖς ἀναφερόμενα· ὧν φο
δρα καταβαλάσας· πρότε
ρον μὲν αὐτοῖς ἀποκρίνεται

q

προσκυνῶσα

προσκυνῆσαι· εἶτα· καὶ θεὸν
ταῦτα λαμβάνων· καὶ εἰς γῆν
προσαράσσων· πάντα συ-
νέτριψε· καὶ λεπτὴν κόνιν με-
θέτο· τούτων γενομένων·
Ὁ κηδεστὴς αὐτοῦ Φίληξ προ-
σελθών· ἤδη γὰρ ὑπὸ τῶν
βασιλέων· τῶν χριστιανῶν
διώκτης κατέστη· καὶ ἰδὼν
ἃ Πολύευκτος εἴργασται·
φεῦ ἔλεγεν· ἄτεκνος Φί-
ληξ καθίσταται· ὁ περιμένων
τέκνοις περιέ[...]ς· οὐ-
δεὶς γὰρ Πολυεύκτων· οὔτε
θεῶν οὔτε ἀνθρώπων ἐ[...]σαι δύ-
ναται· εἰς τοὺς θεοὺς τοι-
αῦτα τολμήσαντα· ὁ δὲ
ὡς περὶ τῶν γενομένων μᾶλ-
λον ἐπεὶ καυχώμενος· ἔφη·
μῶν μὲν γὰρ ὅπως εἰσὶν ἀν-
θρώπειοι οἱ θεοί σου· τοῖς ἔρ-
γοις αὐτοῖς ἔδειξαν· εἰ δὲ καὶ
ἕτεροί τινες εἰσί· προσαχθήτω-
σαν· καὶ ὁ Φίληξ· αἷμα
ἐς περιττῶν θεῶν φθεγγόμενος
πρὸς τοὺς ἄλλους· ἀλλὰ δὲ

λησον ἔφη· κἂν μικρόν τι-
θεὶς ζη[...]ται Πολύευκτε·
ἕως τῆς γυναικὸς θεάσῃ
τὴν σήν· ὁ δέ· ποίας δέ μοι
ἔτι φησὶ γυναικὸς καὶ τέκνων
φροντίς; ὃς πάντα τὰ
ἀνθρώπινα ἀποστρέφομαι· πε-
ρὶ τὰ ὅσια μόνα τὴν δι-
άνοιαν ἔχων· ἡ δὲ σὴ θυ-
γάτηρ· εἰ μὲν ἐμοὶ ἀκολου-
θήσει· μακαρία γενήσεται·
εἰ δ' οὔ· ἀλλὰ καὶ αὐτὴ σὺν
τοῖς θεοῖς ὑμῶν· κακὴ
κακῶς ἀπολεῖται· δά-
κρυα ἐπὶ τούτοις εἶχε τὸ
Φίληκι· καὶ οἴμοι λέγει Πο-
λύευκτε· ὅτι καὶ σὲ ἡ αὐτοῦ
Χριστοῦ μαγεία ἐξηπατήκασιν·
Ὁ μάρτυς δέ· ὁ Χριστὸς ἐπιμάλη-
θῶς ἔφη· ὃς ταῖς οἰκείαις
χάρισι τὴν ἐμὴν κατα-
θέλξας ψυχήν· ἀπὸ σκό-
τους εἰς φῶς ἐπανήγαγε·
ὑμῶν δὲ ταῦτα λεγόντων· οἱ
τῶν μαγίων διῶκται προ-
σελθόντες· καὶ συλλαβόν-

τῶν τὸν μάρτυρα· τὸ ἱερὸν
αὐτοῦ στόμα ἐπέσχον· μισοῦν-
των ὄντως τοὺς ἐν πύλαις ἐ-
λέγχοντας. πολλάκις
δὲ ὁ γενναῖος· τῶν μὲν
πλησίων οὐκ ἐφρόντιζε·
πρὸς ἄλλην δὲ διετέ-
λει τέχνην τοῦ πονηροῦ·
Παραστήσας γὰρ οὗτος αὐτῷ
μετὰ τοῦ κηδεστοῦ καὶ τὴν
γυναῖκα· δακρύοντας καὶ
παθαινομένους· ἐπέτρε-
πε δι' ἐκείνων τῆς ψυχῆς
αὐτοῦ τὸν τόνον ἐκλύειν·
ὁ δὲ τὸ γενναῖον τε καὶ θυ-
μοειδὲς τῆς ψυχῆς ἀντι-
στήσας· ταῖς ἐκ τῶν δα-
κρύων ἐπαγομέναις μα-
λακίαις τε καὶ θηλύτησι·
πρὸς μὲν τὸν κηδεστὴν·
ὦ μιαρὲ ἔφη· καὶ δυσκλεῶν
εἰδώλων θεραπευτά·
τί με τοιούτοις· καὶ τοῖς
τῆς θυγατρὸς δάκρυσιν
ἀποστῆσαι σπεύδεις χ(ριστο)ῦ·
τί δὲ δακρύεις πολύευκτε·
δέον θρηνεῖν σεαυτόν·
ὅτι διὰ προσκαίρων θε-
ραπείαν ἀρχόντων· αἰω-
νίως μέλλεις κολάζεσθαι·
Ἐπεὶ δὲ καὶ πάλιν τὴν
γυναῖκα ἑώρα περιπαθῶς
δακρύουσαν· καὶ ὢ τί πέ-
πονθας πολύευκτε λέ-
γουσαν· πῶς δὲ καὶ ἀπάτῃ
προήχθης τοὺς δώδεκα
ἡμῶν συντρίψαι θεούς·
ἡδὺ λίαν γελάσας ὁ ἅγιος·
εἰ μόνους εἶχον τοὺς δώδεκα
σου θεοὺς ἔφη· συνέτριψα
πάντας θεῶν γὰρ μας
ἔρημος· δεῦρο σὺ ὦ τά-
λαινα· καὶ γνωρίσω σοι θ(εὸ)ν
ἀληθῆ· ὃν αὐτὴ προσκυνήσα-
σα· τῆς φθαρτῆς ταύτης
ζωῆς ἀνταλλάξῃ τὴν αἰ-
ωνίαν· τούτοις τοῖς λό-
γοις πολλῶν ἀπίστων τῷ
χ(ριστ)ῷ πιστευόντων· καὶ τῶν
διωκτῶν· τοῦτο μὲν ἀγαθῶν
ὑποσχέσει· τοῦτο δὲ καὶ
ἀπειλαῖς μεταπεῖσαι πει-

δόντων τὸν ἄλλον· ὁ μὲν [illegible]
ἀμετάθετος ἦν· τὸν διὰ ξίφους
ἀποτμηθῆναι θάνατον κατα-
κρίνεσθαι· ὁ δὲ ὥσπερ ἐκ
σκότους καὶ θλίψεως πρὸς
χαρὰν μεταβαίνων καὶ φῶς·
φαιδρὸς ὡρᾶτο καὶ εὔθυμος·
οἷα τῆς ἐκεῖθεν μακαρι-
ότητος. ἀπολαύειν ἤδη
ἀρχόμενος. διὸ δὴ καὶ
οὗτος δὲ καὶ τοὺς παρόντας·
νεανίσκον τιμαὶ ἐλέγετο
αὐτῷ προσιόντων· καὶ παν-
τοίοις τρόποις παρασκευάζον-
ται· πάντων τῶν ἐπιγείων
καταφρονεῖν. μέλλων
δὲ τελειοῦσθαι· οὐδὲ οὕτως
τῆς νεάρχου φιλίας κα-
τεφρόνησεν· ἀλλ' ἐμμελέ-
στατα αὐτῷ· νέαρχε· ὑγίαινε
λέγει· καὶ μέμνησό μοι τῶν
συνθηκῶν. ταύτην ὁ γεν-
ναῖος τὴν φωνὴν οἷόν τι τε-
λευταῖον δῶρον τῷ φίλῳ
λιπών· τὴν κεφαλὴν ἀπο-
τέμνεται. οὕτως οὖν μα-

καρίως τελειωθέντος
τοῦ μάρτυρος· τὸ τίμιον
αὐτοῦ σῶμα· οἱ σπουδαιό-
τεροι τῶν ἀδελφῶν· ἐν
μελιτηνῇ κατατίθενται
πόλει τῆς ἀρμενίας· αἰω-
νίαν οὕτω κληρονομίαν
ἑαυτοῖς πορισάμενοι·
Νέαρχος δέ· τὸ τοῦ φίλου καὶ
μάρτυρος αἷμα λαβών·
καὶ λαμπρᾷ ὀθόνῃ ἐν-
θεὶς· εἰς τὴν καμανέων τῶν
ἐκόμισε πόλιν· τοῦ δὲ
μάρτυρος πολλαὶ πολλά-
κις καὶ μετὰ τέλος· αἱ ὑπὲρ
χριστιανῶν πρὸς θεὸν προ-
στασίαι· φανερῶς πᾶσι δει-
κνύμεναι· μία δὲ τούτων
καὶ ῥηθήσεσθαι μέλλουσα·
μάρκος τοῦ βασιλέως· βαρβά-
ροις τισὶν ἐπιστρατεύσαν-
τι· συνεστρατεύοντο καὶ οἱ
τοῦ αὐτοῦ γένους καὶ τῆς ἑ-
ταιρίας ὄντες τῷ μάρτυρι·
ἐν καύματι δὲ ὁ τῶν ῥωμαίων
στρατὸς. ὕδατος ἀπορίᾳ·

καὶ ὁ βασιλεὺς ἰάσατο· τῶν
μὲν πολεμίων ἐπικρατοῦν
των· τῆς δὲ δίψης δὲ μετὰ τῶν
ἄλλων· καταπονούσης τοὺς
ἡμετέρους· οἱ δὲ τοῦ χ(ριστο)ῦ οὗ
τοι ἀξιόμαχοι στρατιῶται·
οἱ τὴν αὐτὴν τῷ θείῳ μάρτυ
ρι πολυεύκτῳ λάτρευμα
πληροῦντες· μικρὸν ἐκχω
ρήσαντες τοῦ στρατοῦ· χεῖ
ρας ὁσίας αἴρουσι πρὸς θ(εὸ)ν·
δεόμενοι τῶν αὐτοῦ οἰκτιρ
μῶν· φιλανθρώποις ὄμ
μασιν ἐπιβλέπεται· καὶ τὴν
ποθοῦσαν ταύτην λῦσαι τὸ
πλῆθος ἀνάγκην· τῆς γοῦν
ἐλπίδος οὐ διήμαρτον· οὔπω
γὰρ πέρας εἶχεν αὐτοῖς· καὶ
νέφος ἀθρόον τὸν οὐρανὸν ὑ
πελθόν· ὑετὸν τῶν μὲν τὸ
ἀέρα ἐπλήρου· ἀστραπαὶ
δὲ διαφανῶς ἐξ ἑτέρων το·
ὄμβρος τε κατερράγη πολύς·
ὡς ἐν τῇ τοιαύτῃ τῶν κεραυ
νῶν φορᾷ καὶ τῶν ὑδάτων·
τοὺς μὲν χριστιανοὺς δίψαν

κτήσασθαι· τῶν βαρβάρων
δέ· πλείστους διαφθαρῆναι· καὶ
τὴν λεγεῶνα τήνδε· φερω
νύμως κληθῆναι κεραυνοβό
λον· εἰς δεῦρο γνωριζομένην·
ἀπὸ τῆς τοῦ μεγάλου τούτου
θαύματος ἐνεργείας· ὁ θ(εὸ)ς ἐ
ξετέλεσεν· εἰς τιμὴν τοῦ
σεπτοῦ αὐτοῦ μάρτυρος πο
λυεύκτου· ὃς καὶ αὐτὸν ἀεὶ ἐξευμε
νίζεται· τοῖς πιστοῖς ἡμῶν βασιλεῦσι·
Μακρὰν τούτοις ζωήν· παρασχεῖν
δυσωπῶν· Ἱλασμὸν καὶ λύτρον
τῶν ἐν βίῳ πλημμελειῶν·
Χαρὰν μετὰ τὴν τελευτήν· τὴν ἐν
οὐρανοῖς· Ἀδιάδοχον βασιλεί
αν· σὺν πᾶσι τοῖς ἐκλεκτοῖς·
Ἥτις ἐστὶν ἀληθῶς· τὸ θεῖον μό
νον ὁρᾶν· Λαμπροῖς στεφάνοις
τοῖς ἀξίοις παρέχοντες·
Πάντων τε τῶν ἐκεῖ ἀγαθῶν· τὴν
εἰς αἰῶνας ἀπόλαυσιν· ἧς καὶ ἡ
μεῖς ἐπιτύχοιμεν ἅπαντες· χάριτι
καὶ φιλανθρωπίᾳ τοῦ κ(υρίο)υ ἡμῶν Ἰ(ησο)ῦ Χ(ριστο)ῦ·
ᾧ ἡ δόξα καὶ τὸ κράτος· νῦν καὶ
ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν †



Βίος καὶ πολιτεία τοῦ ὁσίου
πατρὸς ἡμῶν Μαρκιανοῦ
πρεσβυτέρου καὶ οἰκονό-
μου τῆς μεγάλης ἐκκλησίας:

Πολλὰ μὲν καὶ ἄλλα ταύτην
βασιλίδα ταύτην σεμνύ-
νουσι τὴν πόλιν· θρόνοι τε βα-
σιλέων· καὶ πλοῦτος· καὶ
κάλλη παντοδαπά· θέ-
σις τε καὶ μέγεθος· καὶ τεί-
χη· πολεμίας χειρὸς κρατ-
τόνα· οὐδὲν δὲ οὕτως αὐ-
τὴν ὡς ἄνδρες φιλάρετοι
ὡς σεμνύνουσιν· οὗτοι γάρ·
πλέον μὲν ἐμποιοῦσι
τὸ τερπνόν· πλεῖον δὲ ταύ-
τῃ προσεδρεύουσι καὶ τρέφε-
σθαι· πολλοὺς μὲν οὖν ἤνεγ-
κεν ἡ πόλις οἵους ἄνδρας·
τῷ ποικίλῳ κόσμῳ τῶν ἀ-
ρετῶν αὐτὴν ὡραΐζοντας·
οἷς εἴ τις καὶ τὸν Μαρκια-
νοῦ ὅλον συναγάγῃ· ἢ καὶ
προστιθέναι θελήσει· οὐκ ἂν
ἐκπέσοι τοῦ δέοντος· ὅτι ἀ-
ληθὴς ὁ λόγος· αὐτόφασις δείξει.

Μαρκιανὸς τοίνυν οὗτος ἦν μὲν
σεμνὸς ἐν τοῖς χρόνοις τοῦ
ἀοιδίμου καὶ ὁμωνύμου τούτου
βασιλέως Μαρκιανοῦ· πρί-
ν δὲ τὴν πρεσβυτέραν Ῥώ-
μην ἐκ προγόνων ἔχων· ἐκ ταύτης



γὰρ προελθόντος ἐκ γάμοι·
τὴν κώμην ταύτην τιμοῦ ταύτῃ
καὶ μέγαν μετοικήσαν· ἀκολού-
θως· καὶ γονεῦσιν ὑπάρχει
πλουσίοις τε καὶ λαμπροῦ·
καὶ βασιλικοῦ· τυχὼν δὲ
γονέων εὐσεβῶν· καὶ αὐτὸς
εὐσεβῶς τρέφεται· καὶ παι-
δείαν καλῶς ἐκδιδάσκεται·
τὴν ἑλληνικήν τε καὶ ἡμετέραν·
Εἶτα· καὶ τῇ ὡς ἂν τις ἴδοι φοι-
ρήσας· πρὸς τὴν ποι-
κίλην ἐπιστήμης σοφίαν· ἐξ ἧς·
ὡς οὕτω λαμπρότης· καὶ
λόγου χάρις ἐκείνῳ προσ-
γενομένη· περίβλεπτον
ἐποίει τὸν ἄνδρα ἐν πᾶσι
τοῖς λαϊκοῖς· ὕστερον δὲ
καὶ εἰς τὸν τῶν ἱερέων ἀξίως
ἀναβαθμὸν· παρὰ τοῦ ἀρ-
χιερέως καθίσταται τῆς
πόλεως· διὰ τὸ τῆς ἀρετῆς
περιόν· τοῖς οὖν μεταξὺ
τῶν ἱερέων βαθμοῖς πάν-
τας ἐν ὑπεροχῇ διελθὼν· τῷ
καταλόγῳ τῶν πρεσβυτέρ-
ων ταύτῃ τάττεται· εἶτα· καὶ οἰκο-
νόμος τῶν ἐκκλησιῶν τῆς
μεγίστης· ἐκ τύφου κοινῆς·
οὐκ ἀναγκάσας· ἀλλ' ἀναγ-
κασθεὶς γίνεται· ἀλλὰ τοῦ-
το μὲν ὕστερον· ἄρτι δὲ
μέσος ὢν· καὶ τὴν ἱερατείαν
ἐγχειρισθεὶς· τῶν γονέων
αὐτοῦ ἤδη τὸν βίον ἀπολι-
πόντων· τὸν πλοῦτον ἐγ-
κείμενον παραλαβών· τὰ
μὲν τῆς νεότητος σωφρό-
νως· τὰ δὲ τῆς ἱερωσύνης
κοσμίως· τὰ δὲ τοῦ πλού-
του· φιλοθέως οἰκονομῶν
ἐγνωρίζετο· συγκληρονό-
μοις αὐτοῦ· τοῖς δεομένοις
ποιῶν· καὶ διὰ τῶν μικρῶν·
τὰ μεγάλα ἀντικτώμενος·
Τὰς μὲν οὖν ἄλλας ἐνίκα
τῶν ἡδονῶν· ἑνὸς δὲ μόνου
ἔρωτος ἡττᾶτο· τῆς ἀναγ-
νώσεως φημὶ τῶν θείων
γραφῶν· πρὸς γὰρ ἐκείνας
ἀεὶ· στρέφων τε καὶ τρέφων
τοὺς ὀφθαλμοὺς ἦν· ὅθεν·

οὐδὲν κρυπτὸν αὐτῷ μηδὲ
σόρετον ἦν· ὃ μὴ τούτῳ ἐγνώσ-
θη τῇ φιλοπόνῳ προσεδρεί-
ᾳ· γαστρὸς δὲ καὶ ὀφθαλ-
μῶν· ἰσχυρῶς ἐκράτει· εἰ-
δὼς δι᾽ αὐτῶν ὀλισθηρὰν γί-
νεσθαι τὴν νεότητα· ἀγχαῖς
δὲ καὶ ἀγρυπνίαις· πάντ-
ων ἐκράτει σχεδόν· τῶν δὲ
τῆς ψυχῆς φιλοκάλως· καὶ
τῶν ἱερῶν οἴκων τῶν τοῦ χριστοῦ
μαρτύρων· ἐραστὴς ἦν· τοὺς
μὲν γὰρ αὐτῶν πεπονηκό-
τας· ἰᾶτο· τοὺς δὲ· καὶ ἐκ
κρηπίδων ἀνίστη· ὁ δὲ τέ-
λος τῆς ἐπιθυμίας ἐνόμι-
ζε· τοῦτο ἦν· ὥστε τῇ με-
γαλοδόξῳ καὶ περικαλλεῖ
τῶν μαρτύρων ἀναστασίᾳ·
λαμπρὸν ἀναστῆσαι ναόν·
ἔκαμνε μὲν οὖν τόπον ζητῶν
προσήκοντα τῷ ναῷ· οὕτω
δὲ διαμεριμνῶντος· γυνή
τις· ἐκ τῆς σύρων ὁρμωμέ-
νη ἀντιοχείας· νικὼ τοὔ-
νομα· ἄρτι τὸν σύζυγον

ἀποβαλοῦσα· οἶκον ἔχου-
σα τῶν ἐπισήμων· κατὰ
τὴν μέσην τῆς ὡς ζαψτίδος
ἀγοράν· διαπιπράσκειν
ἐβούλετο· καὶ πρὸς τὴν
πατρίδα ἐπανελθεῖν· τοῦ-
το μαθὼν ὁ θεῖος μαρκι-
ανὸς· ὡς τὸν τόπον ἰδὼν ἁρ-
μόζοντα τῷ σκοπῷ· τῇ
γυναικὶ προσελθὼν· πε-
ρὶ τῆς τιμῆς διαλέγεται·
Καὶ χρυσοῦς δισχιλίους κα-
ταβαλὼν· ἀποδόσθαι πεί-
θει τὸν οἶκον· οὕτω ποι-
ήσας· καὶ ἔργου ἤδη ἔμελ-
λεν ἅπτεσθαι· ἀλλ᾽ ὁ πᾶ-
σι τοῖς ἀγαθοῖς ἀντικείμενος
δαίμων· ὑπελθὼν τὴν
γυναῖκα· μεταμέλον ἐ-
ποίει· σφόδρα τοῖς λογισμοῖς
διασείων· καὶ ὥς τι μηχά-
νημα· τὴν αἰσχύνην ἐπάγων
αὐτῇ· ὡς ἄρα κωμῳδοῖτο
ὑπὸ πολλῶν· τὰ κάλλιστα
τῶν κτημάτων ἀπεμ-
πολοῦσα· καὶ γὰρ ἦν ὁ οἶκος—

τῶν ἀρχαίων καὶ μεγαλο-
πρεπῶν· καὶ τῶν ὑπὸ τοῦ
μεγάλου κωνσταντίνου δο-
μηθέντων· τούτοις ἡγου-
μένη τὰς φρένας διαστραφεῖ-
σα· λύειν τὸ συνάλλαγμα
ἐπεχείρατο· καὶ ὁ μαρκιανὸς
μηδὲν ἐθέλων λυπεῖν·
τῶν οἰκείων ἐξ ἀδίκου ἢ δικαί-
ων· καὶ τοῦ κτήματος παρ-
εχώρει τῇ γυναικί· παρα-
ζεται ἱερὸς ἱερὰν εἶναι
καὶ τὴν κρηπῖδα ζητῶν·
Ὁ μὲν οὖν ἱερῶν πρὸς ἐνταῦθα
ἐπιδόκει μικρῶν· ἀλλ' ἦν τ' αὐ-
το περιφανῶς· θεὸς γὰρ ὁ
πάντα πρὸς τὸ συμφέ-
ρον οἰκονομῶν· οὗτος καὶ
τὴν περὶ τούτου ἀπόνοια-
σιν λαμπρότερον ποιεῖ·
οὗτος γὰρ ὁ μαρκιανὸς θάλ-
πων τὸν ἔρωτα· καὶ πο-
θῶν τοῖς λογίοις· τοῦ καὶ
λόγοις καὶ τρόποις καὶ
θεολογίᾳ διαλάμψαντος
ὁμιλῶν· γρηγορίου φημὶ

τοῦ σοφοῦ· καὶ γνούς τι περ-
ὶ τοῦ ναοῦ τῆς μάρτυρος
ταύτης ἐκεῖνος φησίν· ὅσ-
κατὰ μὲν ἐν τοῖς οὕτω κα-
λουμένοις δομνίνου ἐμβό-
λοις· ὁρμητήριον δὲ τό τε
τοῖς ὀρθοδόξοις κατὰ τῶν
ἀρειανῶν ἐτύγχανεν ὤν·
Περὶ τούτου τοίνυν τοῦ ναοῦ
γνοὺς οἷα προεῖπεν ὁ μέγας
γρηγόριος θείως κινούμε-
νος· ὡς αὐτὸς τε αὔξηθή-
σεται· καὶ ὁ περιούσιος λα-
ὸς τοῦ θεοῦ καὶ ὀρθόδοξος.
ἐπειδὰν γένηται τοῖς λόγοις
ἐξεναγεῖν· τὴν πᾶσαν
δύναμιν εἰσάγει θαρρήσας
καὶ τὸν μικρὸν μὲν καὶ παλαι-
ὸν ἐκεῖνον ναὸν· ἐπὶ τοῦ
περὶ σχήματος καταλιπὼν
ἵνα δι' αὐτοῦ γλώσσης τρα-
νότερον τὴν τοῦ θεολόγου
προφητείαν ἀνακηρύττῃ·
ἄλλον δὲ αὐτῷ ἐπεγείρει μέ-
γιστόν τε καὶ κάλλιστον· οὐ
τὴν ποικιλίαν καὶ τὴν

λαμπρότητα· καὶ τὴν τῆς
ὕλης πολυτέλειαν· ἥτις
ὀφθαλμοῖς κατιδεῖν· οὐκ ἔστιν
εἰπεῖν· ὅσον ἂν ἐκπλαγείη
τε καὶ θαυμάσειε· ὁ γὰρ λόγος
ταῦτα παραστῆσαι ὅλως ἀ-
δύνατος· τὸν γε μὴν τοῦ
σεβασμίου βαπτίσματος οἶκον·
καὶ αὐτὸν τὸν πρὸς ἀπόθεσιν
τῶν ἱερῶν σκευῶν καὶ ἀνα-
θημάτων· πῶς ἄν τις ἐπαινέσαι
ἀξίως ἐπαίνοι· καὶ ταῦτα μὲν γὰρ
οὐκ ἐνδεῶς· πάντων μὲν οὖν
συνελθόντων ὡς ὑπερεῖκος·
εἰς ταὐτὸ καὶ μία τοῦ νέου
τούτου ναοῦ· καθ' ἣν ἡμέραν
καὶ ἡ μάρτυς ἐτελείου τὴν
ἄθλησιν· κατ' αὐτὸν φημὶ
τὸν δεκέμβριον· καὶ βασι-
λέως αὐτοῦ καὶ τῆς συγκλήτου
βουλῆς· καὶ πάσης τῆς πό-
λεως ὡς ἐπεῖν· φανεροῦ-
ται ὑπὸ θεοῦ· λανθάνειν ἐθέ-
λων ὁ θεῖος μαρκιανός· οἷος
ὑπῆρχε τὴν ἀρετήν· τῶν
γὰρ ἄλλων πλήθει καὶ τῶν

δεομένων συντρεχόντων·
πένης τις προσελθὼν τῷ
γενναίῳ· ὑπελθὼν ἐβιάζετο πρὸς
τὴν αὐτοῦ δεξιάν· καὶ ἤτει
δέξασθαί τι τοῦ λιμοῦ φάρ-
μακον· ὁ δὲ μηδὲν τότε
φέρων εἰς κόλπον· τί ποι-
εῖ· εἰς τινα λανθάνοντα
τόπον ἀποχωρήσας· ἐπεὶ
χαμαὶ δὲ ἑνὶ χιτωνίσκῳ σκε-
πόμενος· ὅπερ καὶ σύνη-
θες αὐτῷ δι' αἰῶνος μὴ δύ-
σι χρήσασθαι ἱματίοις·
Οὕτως οὖν ἔχων ὁ θεῖος ἀ-
νήρ· τοῦτον ἀποδυσάμενος·
τῷ πένητι δίδωσι· καὶ
λοιπὸν· τὴν ἱερατικὴν μό-
νην ἔχει στολήν· καὶ τὸν φε-
λώνην· τὸ σῶμα κρύπτο-
ντα· ὃν καὶ πανταχόθεν
συνέλκων· ὡς δυνατὸν·
πάντας λαθεῖν ἐβούλετο·
ἔδει δὲ καὶ τὸ ἱερὸν αὐτὸν
ἔνδον μετέχειν· τούτῳ δὲ τὴν
θείαν τελεῖν μυσταγωγί-
αν ὁ ἱεράρχης ἐβούλετο·

ὁ μὲν ὁμοίως τὸν ὀφθαλμὸν
συνῆγε· λαθεῖν πειρώ-
μενος ἐφήμερον· οἱ δὲ παρε-
στῶτες· καὶ σὺν αὐτοῖς ὁ
ἀρχιερεύς· τοῖς ὀφθαλ-
μοῖς αὐτῶν προσερείσαν-
τες· ὁρῶσι θαῦμα τι και-
νὸν καὶ ἀπόρρητον· βα-
σιλικὴν τινὰ στολήν· ὡς
χρυσίῳ λαμπρῷ κατά-
στικτον· ἐν τοῖς περιβε-
βλημένον· ἢ καὶ τότε φα-
νότερον τῶν χειρῶν
διεφαίνετο· ὅτε τοῦ θεί-
ου σώματος μετεδίδου τοῖς
προσιοῦσι· ταῦτα ὁρῶν-
τες· οἱ μὲν καθ' ἑαυτοὺς
ἐθαύμαζον· οἱ δὲ καὶ ἀλ-
λοις ἀπήγγελλον· θαυ-
μάζοντες καὶ φθονοῦντες
πλέον· οἱ καὶ γενναδίῳ
τῷ ἀρχιερεῖ προσελθόν-
τες· ὡς ἀγνοοῦντι δῆθεν
τὸ πρᾶγμα ἐγνώριζον·
διαβολὰς κινοῦντες·
Κατὰ τῆς μακαρίας ψυχῆς·

καὶ ὃς ἰδεῖν μὲν καὶ αὐτὸς
ἔλεγε· τὸν τρόπον δὲ ἀγνοεῖ-
κἂν τούτῳ διαπορεῖν· τε-
λεσθείσης οὖν τῆς μυσταγω-
γίας· μετακαλεῖται τοῦ-
τον ὁ πατριάρχης· καὶ μό-
νος ἐντυχὼν· περὶ τῆς στο-
λῆς ἐνεκάλει· καὶ ὅτι βα-
σιλεῦσι μᾶλλον· ἀλλ' οὐχὶ
ἱερεῦσι ταῦτα προσήκει·
ὁ δὲ συσχεθεὶς ἀπορίᾳ· πί-
πτει πρὸς τοῖς ἐκείνου πο-
σί· καὶ σὺν δάκρυσιν ἀπηρ-
νεῖτο· ἀπάτην ὀφθαλμῶν·
τὸ πρᾶγμα καλῶν· τὸ γὰρ
ἐννοῆσαι μόνον τοιοῦτον
τι φησί· μανίας σαφής· ἀ-
θεὶς οὖν ὁ πατριάρχης αὐτά-
μενος ἰδίᾳ χειρί· ἀναστέλ-
λει τὸν φελώνην σὺν τῇ ἱ-
ερατικῇ στολῇ· αὐτόπτην γὰρ
ἐπελάμψαι μὲν εἶναι· ὀφθαλ-
μοῖς τοῖς ἰδίοις διαπιστεῖ·
ἐκεῖνος μὲν οὖν ὁ χρυσοῦς
χιτών· ὁ πρὶν [illegible]·
οὐδαμοῦ· γυμνὸς δὲ ὁ ἄλλος

ὥσπερ καὶ ἦν· δίχα τῆς ἱε-
ρατικῆς στολῆς καθωραϊσ-
μένος· ὁ χρυσοῖς ὄντως
τῆς ἀρετῆς χιτῶσι κοσμού-
μενος· τοῦτο ἐξίστησι μὲν
τὸν ἀρχιερέα· ἐξίστησι δὲ
τοὺς κρατοῦντας· τὸν λό-
γον ἀκούσαντας· ἵστησι
δὲ τρόπαιον ἐμφανὲς
κατὰ τοῦ ἐχθροῦ ἅμα καὶ τῶν
Ἀρειανῶν· τῶν γὰρ πιστῶν
τὸ πλῆθος ἀναθαρσῆσαν
τῷ θαύματι· τοῦ Ἀρείου
μὲν· ὑπὸ τιμωρὸν φθαρεὶς εἰς
ἐπιτιμωμένων· ὡς λήρους
διέπτυον· αὐτοὶ δὲ παν-
πληθεὶ πρὸς τὸν ναὸν ἔ-
τρεχον· τό τε κάλλος αὐτοῦ
θεασόμενοι· καὶ τῶν ὀρθῶν
λόγων ἐπακουσόμενοι· καὶ
ἑορτάζοντες ἦσαν χρό-
νον ἐπὶ συχνόν· καὶ θαύ-
ματα γὰρ ὑπὸ τοῦ μεγάλου·
ἐτελεῖτο συχνά· ὧν καὶ ὁ
λόγος· ἓν μὲν βούλεται παρι-
στᾶν· ἱκανὸν ὑπάρχον

δεῖξαι· τὴν μετὰ τοῦ με-
γάλου Μαρκιανοῦ χάριν·
καὶ τὸ κατὰ γνώμην θεοῦ γε-
νέσθαι τὸν ἱερὸν τοῦτον
σηκόν· ἐμπρησμὸς χα-
λεπὸς τοῖς Δομνίνου
ἐμβόλοις δ' ἐπελυμαίνετο·
τὸ γὰρ πῦρ· τὸ πᾶν πρὸς
τὴν ἀρκτῴαν θάλασσαν τό-
πον ἐπιλαμβανόμενον· καὶ
ἄχρι τῆς ἐν μεσημβρίᾳ
ἕρπον· πάντα τὰ μετα-
ξὺ διεβιβρώσκετο· ἀκόλου-
θος οὖν· καὶ τὸν ἱερὸν οἶ-
κον τοῦτον περιελάμ-
βανεν· ἕκαστος οὖν· τῶν
οἰκείων συμφορῶν ἀμε-
λήσαντες· ἐχώρουν πρὸ
τὸν ναόν· ὁ δὲ τοῦ θεοῦ
ἄνθρωπος· τῇ πρὸς αὐτὸν πί-
στει θαρρήσας· καὶ μηδὲ εἰ
κυκλόθεν αὐτῷ περιχα-
νοῖ τὸ πῦρ δειλιάσας τι
ὑπολογισάμενος· τὰ
ἱερὰ λαβὼν εὐαγγέλια·
ἐπὶ τὸ ἄκρον τῆς ὀροφῆς

ἔχουσι· καὶ μέσος τῆς φλο-
γὸς παρεστῶσι· ηὔχοντο λέγοντες·
Κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν·
ὁ τὴν θυσίαν ἀβραὰμ προσ-
δεξάμενος· καὶ τὸν ἰσαὰκ
σφαγῆς παρ᾽ ἐλπίδα ῥυ-
σάμενος· ὁ τῆς ἐν βαβυ-
λῶνι καμίνου τρεῖς αἰ-
χμαλώτους παῖδας δια-
σωσάμενος· αὐτὸς ἐν δυ-
νάμει σου τὸν οἶκον τοῦτον·
ὃν ἡμεῖς πόνῳ πολλῷ καὶ
πόθῳ τῷ σῷ κατηρτίσα-
μεν· ἀπαθῆ πυρὸς δια-
φύλαξον· ἵνα μὴ ταύτων
ἐπιζώντων ἡμῖν ἐμφραγῶσι
στόματα· ὧν γὰρ δι᾽ ὅσων ἡμῖν
μᾶς· ἀλλὰ δεῖξόν τι καὶ-
νὸν ἄξιον· τῆς σῆς μεγαλω-
σύνης· εἰς δόξαν τοῦ ὀνόμα-
τός σου· καὶ ἡμῶν τῶν ἐν ἀ-
ληθείᾳ σοι πιστευόντων
καύχημά τε καὶ ἀγαλλίαμα·
ταῦτα σὺν δάκρυσι λεγόντων
ἐκείνων· καὶ τὸ ἀμὴν εἰ-
πόντος· ἑώρων ἅπαντες

οἱ παρόντες· τὰ μὲν πρῶτα
τὸ πῦρ κύκλῳ τὸν οἶκον δια-
συρίζον· καὶ ὥσπερ δοκεῖ
νομὴν ὁρμῶν· εἶτα ὑπο-
χωροῦν καὶ ἀνακοπτόμενον·
ὥσπερ ὑπό τινος ἀμάχου
δυνάμεως· διὸ καὶ ὁ ἱερὸς
οὗτος οἶκος· ὅλος ἀπαθής
τε καὶ ἄψαυστος· ἐν πυρὶ
τοσούτῳ χρόνου ὑπερδιετηρήθη·
οὐ τοῦτο μόνον ὡς φέρεται·
ἀλλὰ καὶ ἄλλα πάμπολλα
θαύματα· ἐν τῷδε τῷ ναῷ
δείκνυται· πολλὰ μὲν ἤ-
δη τότε διὰ μαρκιανοῦ· πολ-
λὰ δὲ καὶ μετὰ τὴν τελευτὴν ἐ-
κείνου· τὰ μὲν τῆς μεγά-
λης ἐν μάρτυσιν ἀναστασίας·
τὰ δὲ καὶ αὐτῆς τῆς ἀχράντου
θεοτόκου δι᾽ ἐνεργούσης· ἢ καὶ
τοῖς ἀξίοις ὄναρ φαινομένη
ὄναρ τε καὶ ὕπαρ· μετὰ τοῦ
συνήθους σχήματος·
Παθῶν τε καὶ δαίμοσι καὶ νο-
σήμασι· φαρμακεύουσα τε καὶ
ἄλλοις κακοῖς· ψυχῆς αἰτία

καθίσταται· ἀλλὰ ταῦτα μὲν
καθεξῆς λέγειν ὁ λόγος ἀδυ-
νατεῖ· ὅτι δὲ οὐ ζώντων
μόνον τὸ εὖ ζῆν· ἀλλὰ καὶ
θανόντων τὸ ζῆν ἐν τῷ δὲ
τῷ ἱερῷ ἀνεστηλήφασιν· ὁ λό-
γος ἤδη δηλῶσαι βούλεται·
γυνή τις· τῆς ὑπερῴου στοᾶς
τῶν εὐωνύμων μερῶν ὑπερ-
κύπτουσα· καὶ πλέον αἰω-
ρηθεῖσα τοῦ ἀσφαλοῦς· κα-
ταπίπτει τοῦ ὕψους· καὶ νε-
κροῖ μὲν ἑαυτήν· νεκροῖ δὲ
καὶ τὸ ἐν γαστρὶ αὐτῆς ἔμβρυον·
ὁ περιιδόντες ὅ τε θεῖος Μαρ-
κιανὸς καὶ τὸ πλῆθος· φέ-
ρειν οὐκ εἶχον· ἀλλὰ τὰ τῆς
ἑορτῆς· εἰς κατήφειαν
μεταβάλλεται· πλὴν οὐ-
κ εἴασεν ὁ φύσει χρηστὸς ἐπὶ
πολὺ κρατῆσαι τὸ πάθος·
ἀλλὰ πρὶν ἢ τὸν ναὸν ἐξελ-
θεῖν τοὺς συνειλεγμένους
ὑ τοῦ τὰς χεῖρας Μαρκιανοῦ
ἄραντος· καὶ σὺν τῷ πλήθει
κοινῶς εὐχομένου· ἡ τε γυνὴ

παραδόξως ἀνίστατο· καὶ
τὸ βρέφος ἔνδον θαυμαστῶς
ἐκινεῖτο· ἀλλὰ τὰ μὲν
τῶν θαυμάτων οὕτως· δεῖ
δὲ τῷ λόγῳ διαλαβεῖν καὶ
περὶ τῶν ἄλλων ναῶν· ὧν
ἐκεῖνος φιλοθέως ᾠκο-
δομήσατο· εἰρήνης φημὶ
τῆς θαυμασίας ἐν μάρτυ-
σιν· ὃς πρὸς θάλασσαν
ἀνακείμενος· καὶ τοῦ σύ-
νεγγυς τούτου Ἰσιδώρου τοῦ
θείου· οὗτος γὰρ ὁ τῆς
μάρτυρος εἰρήνης ναὸς·
μικρὸς μὲν καὶ ἀκαλλὴς ἐ-
τύγχανε τὴν ἀρχήν· ἀλ-
λ' ἔμελλε τῷ θεῷ πάντως
εἰς οἷον νῦν ὁρᾶται μέγε-
θός τε καὶ κάλλος αὐτὸν ἀ-
ναστῆσαι· ὅθεν καὶ γέμμα
διὰ τῶν πρὶ ἀρχῇ· θέα-
τις ἐπιφαίνεται ὄψις· λύ-
σον τὸν ναὸν λέγουσα τοῦτον·
μέλλω γάρ φησιν ἐπὶ τοῦ-
το μεγαίος· πάλιν αὐτὸν ἀνι-
στᾶν· ὁ μὲν οὖν τὸ προ-

ταχθὲν ἅμα καὶ τὸν ὤνιον
ἐπλήρου· μαρκιανὸς δὲ
ὁ θαυμάσιος· πλὴν ὅτι τὴν
ταύτην ἀκήκοας· ἀλλὰ
καὶ τὴν οἰκονομίαν ἤδη τῆς
μεγάλης ἐκκλησίας ἐγ-
χειρισθεὶς· εἰς αὐτὸν
φέρειν τὸν ὄνειρον οἰηθεὶς·
διελογίζετο· πῶς ἂν καὶ
τοῦτο τελειώσῃ τὸ ἔργον
λάθρα τοῖν ὠν μετ' ὀλίγων
τιμῶν· ἐκεῖ γίνεται· ἀντὶ τα-
ὡς αὐτοῖς κελεύσας ὑπο-
χωρεῖν· οὕτως ηὔχετο
τοῦ θεοῦ· τὸ γόνυ κλίνας καὶ
τὴν τύχην· ἔνθα νῦν τὸ ἅ-
γιον θυσιαστήριον ἵδρυται·
Καὶ ὁ θεὸς· ὁ θελήματι μόνῳ
τὰ μιαρὰ τῶν εἰδώλων
τεμένη καταστρεψάμενος·
ναοὺς δὲ ἁγίοις ἀναστῆναι
κελεύσας· ἐν οἷς καὶ θαυ-
ματουργεῖς· αὐτὸς καὶ
νῦν κατὰ ταύτην ἀπεδίδου
ἐπαγγελίαν· ἐπιπλέον
ἐπὶ τὸν δὲ τὸν τόπον κα-
γίας ὃν αὐτόν· ἀνιστῶν δὴ
μῶν· τὸν ἤδη σοι προφανῶς
μένον οἶκον· εἰς δόξαν σήν·
εἰς ἐμὸν ἀγαλλίαμα· εἰς
σωτηρίαν τῶν ἐπικαλου-
μένων· οὕτως αὐτοῦ
ἀξιουμένου· ὕπνος ἐπῆλθε·
καὶ δι' ὀνείρου δείκνυσιν αὐ-
τῷ ὁ θεὸς· τὴν τε θέσιν τοῦ
ἱεροῦ· καὶ τὸ μέγεθος· καὶ
τὴν οἰκοδομίαν· εἶτα· καὶ
θείας ὡς ἐν ὀνείροις ἀ-
κούει φωνῆς· μαρκιανέ·
πάντα δυνατὰ τῷ πιστεύ-
οντι· ἀναστὰς οὖν φόβου
καὶ χαρᾶς ἐμπλέως· τῷ
ἀρχιεπισκόπῳ πρόσεισι·
καὶ τὸ ὅραμα ἐξηγεῖται·
κἀκείνου συνδοκοῦντος
τυχών· τοῦ ἔργου ἄρχεται·
Εὐθὺς οὖν τὴν ἐγγυτάτω θά-
λασσαν· πόνοις καὶ δαπά-
ναις πολλαῖς ἀναχώσας·
ἄχρι τότε τὰς θύρας τοῦ
ἱεροῦ ἐπικλύζουσαν· οὕ-
τως τοῖς θεμελίοις τοῦ να-

οὐ καταβάλλεται· μετ' αὐτὸς
δὲ καὶ τὰ λοιπὰ τῆς οἰκο
δομῆς ἐπεδίδου· κίονας
δὲ διαπρεπεστάτους στιχηδὸν
ἑκατέρωθεν στήσας· καὶ
τούτοις ἄλλους ἄνωθεν ἐ
πιθεὶς· τάς τε κάτω στο
ὰς καὶ τὰς ὑπερκειμέ
νας εἰργάσατο· εἶτα δὴ
ἀλλαχόθεν ὑπαίθροις τὸν
οἶκον· οὕτω τὴν ὀροφὴν ἐ
πιτίθησι· ξύλοις αὐτὴν
μεγίστοις περιλαβὼν καὶ
μολύβδῳ καλύψας· τί
ἄν τις εἴποι περὶ τῆς τῶν
τοίχων στερρότητος· περὶ
τῆς τοῦ ἐδάφους περ
πρότητος· περὶ τῆς τῶν
ἄλλων πάντων ἀκριβοῦς
εὐκοσμίας· οἷος δὲ καὶ ὁ
δαίμων ἐπῆλθε τῷ κα
λῷ τούτῳ ἔργῳ βασκαί
νων· τῶν γὰρ μεγάλων
δύο κιόνων· τῶν τοῦ σε
πτοῦ προεστώτων θυσια
στηρίου· ἀναστῆναι ἤδη

μελλόντων· ἅτερος
αὐτῶν ἐπὶ πολὺ ταῖς
χερσὶν ἡ παρατεθέντων τε
χνιτῶν· ὁ πέτρος ἄλλος
γνοὺς· ἐπὶ τὸν τόπον ἦλ
θεν· εὐξάμενος δὲ καὶ
τὸν τοῦ θείου σταυροῦ τύπον
ἐπισημήνας· τῷ ἐμπο
δίζοντι δαίμονι ἐπετί
μησεν· εἶτα καὶ αὐτὸς
τοῦ ἔργου τοῖς ἄλλοις συ
νεφαπτόμενος· χερσὶν
ἤδη γεγηρακυίαις· πολ
λὴν ἔδωκε τὴν ῥοπὴν·
ἐκ τοῦ πνεύματος· οὐ τοῦ σώ
ματος· καὶ ἡ στάσις εὐθέ
ως ἐνδόσιμος ἦν· τὸ δὲ
θαῦμα μέχρι καὶ νῦν· τῷ
κίονι ἐπιφαίνεται· διὰ
τῆς ὀλίγον τοῦ ὀρθοῦ πα
ρεκκλίσεως· κίονα δὲ
τοῦτον φαμὲν· τὸν ἐκ δε
ξιῶν ἱδρυμένον τοῦ θυ
σιαστηρίου· τῆς δὲ τοῦ
κατασκευασθέντος
αὐτῷ παρακάλου φωτι

στηρίου καλουμένη· ὃ δὴ
καὶ ἀποστηρίαν καλεῖν εἰ
ώθαμεν· αὐταῖς ὄψεσι
χρὴ καθορῶντας κατα
μανθάνειν· ἔστι καὶ
κρείττω λόγου· τοῦ ἐν αὐτῷ
νομίζω· διὸ καὶ ταῦτα
μὲν παραλείψω· τὸν δὲ
ἤδη μοι διὰ μνήμης γενό
μενον ἰσίδωρον τοῦ θείου
ναὸν· ἐν μνήμῃ καὶ ἐπὶ
διαρκεστέρᾳ ποιήσομαι·
Δριμύς τις ἔσχε πόθος
τὸν θεῖον μαρκιανὸν· τὰ
ἱερὰ λείψανα συγκομίσαι
τοῦ μάρτυρος· καὶ ἐν αὐ
τῷ τὸν οἶκον αὐτοῦ ἀναστῆ
σαι· κἀκεῖ ἀναμένειν ἤδη σὺν
μαρτύρων καὶ σορὸν κατα
θέσθαι· φυλάττων μὲν ἐν
τῷ καιρῷ τούτῳ τὸν ναὸν
τῆς μάρτυρος· αὐτὸς
δὲ πάντα τὸν πόνον ἀνα
θεωρῶν· ἐν κόπῳ· οὐ
δὲ τελέσας τοῦ ναοῦ τὴν
οἰκοδομήν· ἔτι δὲ

μετὰ μαρκιανοῦ ἐπεχείρει μετα
θεῖναι τὰ λείψανα· οὐκ ἐ
χέσμω ἐδόκουν τὸν
μάρτυρα· οὔτε γὰρ αὐτός·
οὔτε ἄλλη πολυχειρία
διασαλεύειν ἐπὶ τὴν θή
κην ἐδύνατο· διὸ τὸν πλη
σίον τοῦ τῆς μάρτυρος εἰ
ρημένης ναοῦ· κατασκευάσας ἐν
οἶκον· ἐν ᾧ πρότερον μάρας
ἰσίδωρος· τὰ μεγάλα τῶν
θαυμάτων ἐνεργάζεται· ταῦ
τα τελέσας ὁ θεῖος μαρκι
ανός· καὶ τούτοις ἑτέροις
χρυσοῖς τεχνίτοις κόσμου
καὶ ἀσφαλίσας ἐν ἐκ τῆ
πόλει ἐν εἰλαμπρύνας· κα
ταλύει τὸν βίον· ἐν γήρᾳ
καλῷ· πρὶν μέγα κανεῖσαι
τὸν μέλλοντα τῆς ἐρήμης μα
όν· τοῦτο καθάπερ τι ἐ
τήριον προσειπών·
Ἄμφω ταῦτα· εἰς χεῖρας
ταῖς σαῖς παρατίθημι
κε· ἣν τε ψυχὴν αὐτὸς
ἔκτισας· καὶ ὃν ναὸν

ὠκοδόμησα

ᾠκοδόμησαν· ταῦτα γὰρ ἀπὸ
ἐπιτελεῖται· Ἰαμμουαρίου τοῦ
τε δεκάτην ἐπέχοντος· συ
νερχομένων δὲ πάντων· τὴν
τοῦ λειψάνου πομπὴν ποι
ησάμενοι· αὐτός τε ὁ ἀρχι
ερεὺς σὺν τῷ κλήρῳ· καὶ
τῶν ἐν τέλει· ὅσον εὐσεβὲς
καὶ φιλόθεον· τὸν μὲν
οὖν ἱερὸν αὐτοῦ λείψανον·
ἡ τοῦ μακαριστοῦ Ἰσαάμμου μο
νὴ δέχεται· ἡ καὶ τοῦ Δανι
ὴλ λέγεται· ἔργον ἐκείνου
καὶ αὕτη οὖσα· τοῦ δὲ ἐδο
μηθέντος αὐτῷ οἴκου τῆς
μεγάλης Εἰρήνης· ἡ ἐστὶ
μετὰ τὴν κηρίμαν· γυμνὴ δὲ
αὕτη τοῦ μεγάλου Λέοντος
ἦν· τινῶν πρόνοιαν ἀναδέ
χεται· ἡ ταύτης πρὸς κόσ
μον ἐλλείπονται· σπουδαί
ως ἀποπληροῖ· καὶ τὴν
ὀροφὴν χρυσίῳ φιλοτίμως
κατακοσμεῖ· τὰ δὲ μὴν ἐγ
καίνια τοῦ ναοῦ· κατὰ τὴν
εἰκάδα τελεῖται τοῦ Ἰ

αμμουαρίου· ὅτε καὶ πολ
λοὶ συντρέχοντες· τὸν θεῖ
ον Μαρκιανὸν μεγαλύνου
σιν· ὡς ἔτι μᾶς· καὶ χαι
ριέντως πρὸς ἀλλήλους
λέγειν· ἰδοὺ καὶ ἄλλη θυ
γάτηρ αὕτη· τοῦ μεγάλου
Μαρκιανοῦ· τό τε κάλλος
καὶ τὴν πολυτέλειαν.
ἀδελφὴ τῆς μεγάλης Ἀ
ναστασίας· ὁ δὲ καὶ
κᾶμος ἔφη περὶ τοῦ να
οῦ τῆς θείας Ἀναστασίας.
πῶς ἄν τις παραλ(ίποι)· πῶς
ἀξιώσειε· τὸν γὰρ συ
νήθων αὐτοῦ τινός· τὸ
πολὺ τῆς δαπάνης θαυ
μάζοντος· ὁ ἅγιος· εἰ δὲ
πρὸς γάμον εἴ τινα θυγα
τέρα κατεγγυᾶν ἔμελλον·
οὐκ ἂν τὰ πρὸς ἐπάρκει
αν αὐτῇ καὶ κόσμον φιλο
τίμως παρέσχον; νυνὶ δὲ
πρὸς ναὸν Χριστοῦ νύμφης καὶ
μάρτυρος προθέμενοι
δαπανᾶν· οὐ πολλῷ μᾶλ

λον καὶ προθυμότερον
ἀναλίσκειν ἐμέλλομεν·
καὶ κόσμου παντὸς καὶ
χαρίτων ἄλλ᾽ ἔτι μηδέν;
Οὕτω φιλότιμος ἦν ἐν ἔρ-
γοις τοῖς θεοφιλέσι Μαρ-
κιανός· καὶ γὰρ οὐ τού-
των μόνον· ἀλλὰ καὶ πολ-
λῶν ἄλλων ἱερῶν οἴκων
νεουργὸς καὶ θεραπευ-
τὴς ἐχρημάτισεν· οἷα
δὴ καὶ τοῦ μεγάλου μάρ-
τυρος Θεοδώρου τοῦ
ἐν ταιμάρω· στρατομίκου
τὸ τοῦ μάρτυρος· τοῦ
ἐν τῷ ῥησίῳ· καὶ τὸ
δὴ θαυμαστόν· ὅτι περ
οὕτως ἐν τοῖς ἱεροῖς
οἴκοις τὴν χεῖρα πο-
λυαρκῆ σχών· πολλῷ
πλέον αὐτὴν ῥέουσαν
ἐν ταῖς τῶν πενήτων
παρεῖχεν ἐπιμελείαις·
διὸ καὶ μεγίστων ἠξιώθη
τῶν χαρισμάτων· ὡς
ὁ λόγος ἤδη γνωρίσει·

νύκτωρ ὁ θαυμάσιος τάς τε
πλατείας τῆς πόλεως καὶ
τοὺς στενωποὺς διερχόμενος·
ἐπιμελὲς ἐποιεῖτο· ποῦ πο-
τε ἂν εὕροι νεκρόν· ὑπὸ πολ-
λῆς πενίας παρερριμμέ-
νον· καὶ ὃν ἂν ἴδοι τοιοῦτον·
σπουδῇ λούσας καὶ ἀμφι-
έσας· καὶ πάντων τῶν
νενομισμένων ἀξιώσας
αὐτόν· τέλος· καὶ ὡς ζῶν-
τι προσεφθέγγετο· δεῦρο
λέγων· καὶ τῆς ἐν Χριστῷ ἀγά-
πης κοινώνησον ἡμῖν
ἀδελφέ· οὕτω λέγοντος· ὑ-
πακούοντα τὸν κείμε-
νον ἔχειν· ἀνίστατο γὰρ
ὢ θαύματος ἀπορρή-
του· καὶ Μαρκιανὸν ἀ-
σπαζόμενος τὸν χρηστόν·
πάλιν νεκρὸς ἦν· τοῦ-
το δὲ γνώριμον μὲν καὶ
ἄλλως γέγονεν· ἐκ τού-
του δέ· φανερώτερον·
Μέσων νυκτῶν πρός τινα
σωὴν θητραπεζίτην·

τὸ χρυσίον καταλλάξων
ἐφοίτα· καὶ κέρμα λαμ-
βάνων πλεῖον ὧν χαλ-
κῶν εἰς διάδοσιν τῶν
πενομένων· ὑπέρε-
φεν· ὁ γοῦν τραπεζίτης·
εἰς κέρδους πρόφασιν
τὴν νύκτα λαμβάνων·
ἀδίκως τοῖς χρυσοῖς ἐ-
σταθμᾶτο· ὡς δὲ πολ-
λάκις τούτου γινομένου·
ὁ ἅγιος τὸν μὴ συνιέντα
ὑποκρινόμενος· οὐδὲν
ἐνεκάλει τῷ τραπεζί-
τῃ· αὐτὸς δὲ ἐβούλετο·
καί τινα τῶν δούλων ἀ-
κολουθεῖν ἐκέλευσεν
αὐτῷ δεξιόν τι· ὥστε
μαθεῖν· ποῦ τὰ τοῦ κέρ-
ματος ἐκεῖνος χωροῦσιν·
Ἐπιδεξίως γὰρ ὁ μάκαρ τὴν
ὁ τίμιος ἐπικρυπτόμενος.
ὅστις ἦν τὸν τραπεζί-
την ἐλάνθανεν· ὁ μέν-
τοι παῖς ἠκολούθει· ἐ-
πεὶ δὲ μακρὰν πένητι

ἐντυχὼν ὁ θεῖος ἀνὴρ
ἐπὶ κλίνης κειμένῳ·
λαιῷ ἐν ἐκτίμοσ οἰκίσκου
καπηλικοῦ· ἔλουσέ τε
καὶ ἠμφίασε· καὶ ἀνα-
στάντα ἠσπάσατο· εἶτα
κατακλίνας ἀπῆλθε.
ὁ παῖς ταῦτα ἰδών· φρί-
κῃ κατεσχέθη· καὶ στρα-
φεὶς· τῷ πέμψαντι πάν-
τα διεσάφει· ὁ δὲ με-
τακλαίων ἦν· ἐφ᾽ οἷς
πρὸς τὸν ὅσιον ἀδίκως
ταῦτα διενοήθη· διὸ καὶ
παραγενόμενος πάλιν
ἐπὶ τῷ πρᾶξαι τὰ ὅμοι-
α· προσπεσὼν· διω-
μολόγει τὰ πραχθέντα
κακῶς· καὶ πᾶν τὸ πλέ-
ον ἐκτιθεὶς ἀπεκρίθη·
Ὁ μέντοι θεῖος Μαρκια-
νὸς· μηδὲν ἠδικῆσθαι
φήσας· τοῦτο διδομέ-
νου καὶ αὐτοῦ τοῦ διδόν-
τος· τὸ λοιπὸν ἀπεσχέ-
το· οἱ χρῶς τιμᾶν το

132

νηρὸν ἐκτρεπόμενος·
πῶς γὰρ ὁ καὶ συγγνώ
μην δοὺς· καὶ φίλτατον
ἔχειν ὁμολογήσας· ἀλ
λ' οὐδὲ μὴ θέλων ἂμ πωμ τὰ
ἑαυτοῦ δηλαγήμεσθαι· ἀλ
λ' οὗτος γοῦν ὁ τῆς εὐποι
ίας λόγος· καὶ ἑτέρου
ἤδη ἀναμιμνήσκει κα
λοῦ· τοσοῦτο γὰρ περὶ
ταύτην ἐσπούδαζεν· ὡς
τὸ χάριν αὐτῆς· καὶ τὰς
πορνικὰς οἰκίας φοι
τᾶν· καὶ γυναιξὶ φαύλαις
τὰ σωτήρια παραινεῖν
αἷς ἡ ἀπορία· ὑπόθε
σις ἀπωλείας ἐτύγχα
νεν· ἀπὸ τοῦ ἰδίου φα
σώματος· πορίζεσθαι
βουλομέναις· πρὸς
ταύτας οὖν ὁ χρηστὸς τὰ
πάντα Μαρκιανὸς· πλέ
ομ αὐτὴν φιλανθρωπί
αν ἐπεδείκνυτο· καὶ μᾶλ
λον εἰ τύχῃ τὴν δεσποτικὴν ἑ
ορτὴν ἄγεσθαι· τότε γὰρ

πλείους παρέχων· λου
τρὸν τὸ χρήσασθαι· καὶ
ἀμμαύτοις φυλαχθῆ
ναι τὴν αὔριον ἕως ἐθέ·
εἶτα· τῇ ἐκκλησίᾳ
προσελθεῖν· καὶ τῶν
προλαμβανόντων ἐπιμνη
σθεῖσας· δάκρυσι τὸν θεὸν
ἐξιλεώσασθαι· τοῦτο
πολλάκις ποιῶν· πολ
λὰς αὐτῶν παρεσκεύα
σεν ὁ μακάριος· οὐ πόρ
ναις μόνον· ἀλλὰ καὶ
κόσμον πάντα ἀποτα
ξαμένας· εἰς μονα
στήρια φοιτᾶν· τινὰς δὲ
τούτων· καὶ εἰς Ἱεροσό
λυμα παρέπεμπον τοῖς
ἐφοδίοις ἀπὸ τοῦ μεγά
λου δαπάνας λαμβάνου
σαι· αἳ καὶ βίον καθαρὸν
ἀσπασάμεναι· οὐδὲ τοῦ
τοῦ ἀγαθοῦ τῶν χαρισμά
των ἀπέτυχον· ἀλλὰ αἱ
μὲν αὐτῶν· προσευχῇ μό
νοις ἔλυσαν· αἱ δὲ καὶ δαί

μόνας δὲ ἀνθρώπων ῥα-
δίως ἀπήλλαξαν. ταῦ-
τα ἐκεῖνος ἐποίει. οὐχ ὡς
ἄν τις τῶν σφόδρα πλου-
σίων τὸ περιττὸν ἀ-
ποκενῶν. ἀλλὰ διὰ τὴν
πολλὴν περὶ τοὺς δεομέ-
νους ῥοπήν. μηδὲ αὐτῶν
τῶν ἀναγκαίων φειδόμε-
νος. ὥστε μετὰ τῶν
ἄλλων ὧν εἶχε καλῶν.
καὶ ἀκτήμων σύμπασι μη-
δενὶ τῶν προτείνων πα-
ραχωρεῖν. σημεῖον δὲ
τοῦ λόγου. λέγεται γάρ.
ὡς δεξιὸν τῆς ἀγίων ὑπο-
στρέφων ποτέ. ἐπ' αὐτὸν
ὑετὸν καταρραγῆναι συμβῆ-
ναι. διάβροχος γὰρ ὤν.
εἰσελθὼν τὴν οἰκίαν καὶ
ἐγκλεισάμενος. εἶτα
τὸ ἱμάτιον ἀποδύς. ἐ-
πὶ μετρίοις ἄνθραξιν
ἀνεξήραινε. κατὰ συγ-
κυρίαν δέ. ὁ τότε θεο-
φιλέστατος ἀρχιερεύς. Τοῦ-
τον μετακαλεῖται. οἱ
δὲ σταλέντες. κεκλεισ-
μένην εὑρόντες τὴν θύ-
ραν. κρούοντες. ἐκέ-
λευον ἀνοῖξαι. τὸν δὲ.
ἢ τοῦ φανῆναι γυμνὸν
αἰσχύνη. ἐν τοσούτῳ μένειν
ἐποίει. τῷ μὴ ἕτερον
ἔχειν ἱμάτιον. ὥστε
περιβαλλόμενον προ-
ελθεῖν. διό. ἐπεὶ ἀνεβάλλε-
το μὲν τὴν ἔλευσιν. ἔ-
μελλε δὲ ἔτι. εἷς τῶν
παρόντων εἴσω περι-
εργότερος. διὰ τῆς
ὀπῆς τὸ γινόμενον θε-
ασάμενος. αὐτός τε ἐ-
θαύμαζε. καὶ τοῖς ἄλ-
λοις τοῦτο ἰδεῖν παρε-
σκεύασεν. ὡς οὖν ἐξε-
πλήχθη πάντας τὸ θέ-
αμα. ἐπανῄεσαν. καὶ
τῷ πατριάρχῃ πάντα
μετὰ θαύματος διηγοῦντο.
Ὁ δὲ μικροῦ καὶ τοῖς ἀν-
δράσιν ἐνεμέμφετο. εἰ

ἐκ μικρῶν οὗτος μαρκι-
ανὸν θαυμάζουσιν· ἔ-
ργον ἐκ πολλῶν ἑτέρων
καὶ μέγιστον. θαυμαστὸν
τοῦτον λογίζεσθαι καὶ
μακάριον· ὅσης δὲ
τῆς αἰδοῦς ὁ μέγας οὗτος
ἀπέλαυε παρὰ πάντων
ὁμοίως· δήμου· βουλῆς·
βασιλέως αὐτοῦ· μαρ-
τυρεῖ μὲν καὶ ἡ φήμη·
μαρτυροῦσι δὲ καὶ οἱ δυ-
νατώτατοι τῶν τότε.
ἄσπαρ καὶ ἀρδαβούριος.
οἳ καίτοι τοῖς ὀρθοδό-
ξοις ἐχθραίνοντες ὡς
ἀρειανίζοντες· ὅμως
μαρκιανὸν τὸν θεῖον.
οὐδὲ προσιλέως [illegible]
δύναντο διὰ τὴν αὐτοῦ
ἀρετήν· ὅθεν· πολλά-
κις τούτῳ τιμὴν ἀπο-
νέμων· καὶ τὸν ὑπ' αὐτοῦ
κτισθέντα ναὸν τῆς
μεγάλης ἀναστασίας.
σκεύεσι χρυσοῦ καὶ ἀργύρου

πολυτελέσιν [illegible] ἐφαίδρυναν·
Καὶ ὅτι τῆς δωρεᾶς αὐτοὺς
διαμειβόμενος· διετυ-
πώσατο· ταῖς ἐπισή-
μοις ἡμέραις· τῆς πα-
τρίου αὐτῶν γλώττης· γό-
τθοι γὰρ ἦσαν· τὰς θεο-
πνεύστους γραφὰς ἐν τῷ
ἱερῷ τῷδε ἀναγινώσ-
κεσθαι. ἀλλ' [illegible]
πίοις μὲν οὕτως αἰδέσι-
μος ἦν ὁ ἀνήρ· ἐκάλει δὲ
ἡ φήμη καὶ τοὺς ἁπαν-
ταχοῦ· καὶ συνέρρεον·
οἱ μὲν· ἁμαρτημάτων·
οἱ δὲ καὶ νοσημάτων τὴν
θεραπείαν τρυγήσοντες·
ϛ οὐδὲ οἱ τῆς [illegible]
ρας ἀπεβίλιμ[illegible]
ρώμης· ἀλλὰ καὶ αὐτοὶ προ-
σῄεσαν· ἐν οἷς· καὶ μνή-
μης ἄξιόν τι γενόμενον
διηγήσομαι· γυνὴ γάρ τις·
αἱμορροίᾳ πιεζομένη
χρονίᾳ· τὴν ῥώμην κα-
ταλιποῦσα· καὶ γὰρ ἐκα-

λουν αὐτὴν αἱ Μαρκιανοῦ
θαυματουργίαι παρ' αὐτῶν
τῶν μαθουμένων· τὴν
κοσμικὴν τιμίου καταλαμ
βάνει· καὶ οὐκ ἐμέμφετο
ἑαυτὴν τῆς ὁδοιπορίας·
ὡς μὴ ἀξίων τυχοῦσα
κακοπαθείας τοσαύτης·
Ἅμα γὰρ προσῆλθε τοῦ
δικαίου· καὶ τὴν νόσον ἐ
γνώρισεν· ἤτοι τὴν πηγὴν τοῦ
αἵματος ἐδήλωσε· καὶ εὐ
θὺς ἡ τῆς θεραπείας αὐ
γὴ ἐπέλαμψε· τοιοῦτος γὰρ
ὁ θεῖος ἀνήρ· ὡς μὴ δὲ ἅπαξ
πολλάκις· ἀλλ' ἀεὶ χειμῶνι
καὶ τῷ λοιπῷ ἐλέμματι· τοὺς
προσιόντας ἀπαλλάττειν
τῶν ἐνοχλούντων· τό
σοῦτος μὲν ὁ Μαρκιανὸς
τοῖς θαύμασι· τοσοῦτος
δὲ καὶ τοῖς ἐν ἀρετῇ κα
τορθώμασι· κατὰ τὴν
τοὺς δοξάζοντάς με
δοξάσω θεολόγον ἐπαγ
γελίαν· οὕτως

πρὸς θεὸν παρακλήσε
σιν· ὁ εὐσεβὴς ἡμῶν καὶ
πιστὸς βασιλεὺς ἔργοις·
ὅσα ἐλπίζει καὶ εὔχεται·
Μακρὰν ζωὴν καὶ ἀνώδυνον· εἰ
ρηναίαν τε καὶ ἀτάραχον·
Ἰσχὺν κατὰ τῶν ὑπεναντιουμέ
νων· καὶ σθένος ἀήττητον·
Χαρὰν μετὰ τελευτὴν οὐρά
νιον καὶ ἀνώλεθρον·
Ἀγαθῶν τῶν διαιωνιζόντων
τρυφὴν τὴν ἀκήρατον·
Ἧς ἀγγέλων πάντων χοροὶ
ἐν μεθέξει γενήσονται·
Λάμψοντες ἐν τῇ ἀναστάσει
καὶ αὐτοῦ ἡλίου φαιδρότερον·
Περὶ ἧς καὶ ἡμεῖς καταν
τήσαιμεν· χάριτι καὶ
φιλανθρωπίᾳ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ
πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι
δόξα· κράτος· τιμή· με
γαλωσύνη τε καὶ μεγαλο
πρέπεια· νῦν καὶ ἀεὶ
καὶ εἰς τοὺς σύμπαντας
αἰῶνας τῶν αἰώνων· ἀμήν ✝



† Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ κοινοβιάρχου †

Ἡδὺ στόμα μὲν ἔαρ· ἐν ὥραις·
κάλλιστος δὲ ἐν ἄστρασιν
ἥλιος· ἄριστος δὲ καὶ ἐν
ὁσίοις ὁ τοῦ μεγάλου θε-
οδοσίου βίος· Θεοδοσί-
ου φημὶ· τοῦ τὴν κλῆσιν
ἐκ τῶν πραγμάτων ἐξενηνοχό-
τος ἀληθῶς· Θεοῦ γὰρ δό-
σις ἐχρημάτισεν ὄντως·
καὶ ψυχῶν πάντη φιλαρέτων·
κοινὸν ἀρχεῖον ὤν· διὸ
καὶ ἄλλον ἢ δι' αὐτὸ κοινοβίου
ἄρξαι· κοινοβιάρχης ἅμα τε
καὶ ἀγαθοῦ δίκαιος· τοῦ-
τον τοιγαροῦν τὸν μακάριον
Θεοδόσιον· κώμη τις ἐπι-
λεγομένη Μογαριασσός· κατὰ
τὴν τῶν Καππαδοκῶν
χώραν διακειμένη· ἥ τό-
τε μὲν τοῖς πολλοῖς ἄ-
γνωστος ἦν· νῦν δὲ καὶ
πᾶσι σχεδὸν δι' αὐτὸν γνώ-
ριμος· γενέτορες δὲ
τούτῳ· καὶ τὸ σέβας εὐ-
σεβεῖς· καὶ τὸν τρόπον
θεοφιλεῖς· ἀπ' αὐτῶν τε
τῶν ὀνομάτων· τὸ ἀγα-
θὸν καὶ ἄριστον συμβαλεῖν

γόμενοι· ἐκαλεῖτο γὰρ
ὁ μέν· προαιρέσεως ἀλο
γίᾳ δέ· ἡ γεννησαμένη·
ἢ καὶ ὕστερον τὸν μοναδικὸν
βίον ἀσπασαμένη· τὸν μὲν
οὖν εἶχε παρὰ τῶν πατρικόν· ἀν
τιλαμβάνουσα καλῶς· γεν
νήσεως σαρκικῆς· πατρι
κὴν ἀναγέννησιν· ἐκ
τοιούτων μοιῶν προελθὼν
ἐκεῖνος· τὸ ἅγιον ἐκεῖνο φυτὸν
καὶ μακάριον· τρέφεται
τε φιλοσοφικῶς καὶ αὔξε
ται· τὴν σωματικὴν ἀκμὴν
καὶ τὴν πατρικὴν ἡλικίαν·
Ἤδη δὲ φρονούσης ἀπτόμε
νος ἡλικίας· ἔργοις ἐπεδείξα-
ως οὐδένος εἶχε πόθον·
τῶν περιγείων καὶ κοσ
μικῶν· ἐρᾶται γὰρ φιλο
σόφου ζωῆς ἐπιδημήσας·
τόπους ἐπεθύμησεν ἐ
κείνους ἰδεῖν· ἐν οἷς ὁ
πάντων δημιουργὸς καὶ
θεός· τὰ πάσαν τοῦ κόσμου
σωτήρια ὑπέμεινε πά

θη· πόθον δὲ τῆς ἀ
ποδημίας ταύτης εἶχε
τὰς ἀφορμάς· ὁ λόγος ἤ
δη διελθεῖν βούλεται· δέ
ξιος πρὸς ἀνάγνωσιν τῶν
θείων γραφῶν ἐπεί τις
ἕτερος· ὁ καλὸς ἐπεδείκνυ
το θεοδόσιος· διὸ καὶ τὰς
ἱερὰς ἀναγνώσεις κειμη
λίοις τοῦ λαοῦ διατέτα
κτο· ὡς καὶ μετὰ τῶν ἐν
μέλλουσι· καὶ γνοὺς ὅτι αὐτ(οῖς)·
ὡς ὁ μὲν κόσμος καὶ τὰ ἐν
κόσμῳ πάντα καταλι
πών· καὶ ἀκολουθήσας
θεῷ ἀνάξιος ἐκείνου ἐστί·
διεθερμαίνετο τὴν ψυχὴν·
καὶ πολλῷ ἔρωτι εἶχε·
ἀκολουθῆσαι χριστῷ· ἀρχὴν
οὖν ποιεῖται τῆς καλ
λίστης ὁδοῦ προοίμιον·
Ὁδήγησόν με κύριε ἐν
τῇ ὁδῷ σου· καὶ πορεύσομαι
ἐν τῇ ἀληθείᾳ σου· ἔστι
τῆς πρὸς τὰ ἱεροσόλυμα
φερούσης ἀπεβόσι· ὁ γὰρ

138

μαρκιανὸς μὲν ὁ βασιλεύς·
ἤδη περὶ τὰς τοῦ βίου δυσ-
μὰς ἦν· ἡ ἐν χαλκηδό-
νι δὲ σύνοδος· τετάρτην
δὲ αὐτὴν καὶ ἄλλην εἶναι
γινώσκομεν· κατὰ τῶν διοσ-
κόρου καὶ τῶν ἄλλως αἱρε-
τιζόντων συνεκροτεῖ-
το· κατὰ δὲ τὴν ἀντι-
όχου γενόμενος· πρὸς
συμεὼν ᾔει τὸν πάνυ φοι-
τᾶν· θεάσασθαί τε αὐτὸν·
καὶ τῶν ἐκείνου λόγων
ἀκοῦσαι· ἀρχῆς τε τοῦ τ-
ῆς εὐλογίας γλιχόμενος
μετασχεῖν· πρὸς τοῦτον
ἀπιὼν· σύμβολον μὲν θεῖον
μέγιστον τῆς πρὸς θεὸν ἐ-
κείνου δέχεται παρρησί-
ας καὶ οἰκειότητος· περὶ
γὰρ τοῦ ἱεροῦ στύλου προ-
σελθεῖν καὶ δεδιὼς ἀφω-
νήν· αὐτὸς ἤκουσεν ἄνω-
θεν ἐκείνου καλοῦντος
αὐτὸν ἐξ ὀνόματος· κα-
λῶς ἦλθες ἄνθρωπε τοῦ θεοῦ

θεοδόσιε· ἐκπλαγεὶς
οὖν ἐκεῖνος· εἰς γῆν ἐ-
θεὶς ἑαυτὸν καταβάλλει·
φιλοτιμοτέραν κλῆσιν
ταύτης ὁ τότε σχήματι
ἀμειβόμενος· εἶτα καὶ
πρὸς αὐτὸν ἀνιέναι ἐκείνου
κελεύσαντος· καὶ ἀσπαζό-
μενον κατησπάσατο· ὡς
θείαν τινὰ σφραγῖδα τὸν
τούτου δεχόμενος ἀσπασμόν·
μεγαλοῦσαν αὐτοῦ τὰς πε-
ρὶ ἀρετὴν διανοήματα· πάν-
τα γὰρ ἐκεῖνος αὐτοῦ τοῖς
συμβησομένοις θεοπτικῶς
προηγόρευσεν· ἃ καὶ κα-
τὰ καιρὸν προϊὼν ὁ λόγος
δηλώσει· τούτοις οὖν
πλέον ἐπιρρωσθεὶς τὴν
διάνοιαν· ἅμα τε τοῦ
θαυμασίου συμεὼν ὡς τι-
μας ὁδηγὸς καὶ φρουροὺς
δεξάμενος· εὐθυμότερον
ἢ τὸ πρόσθεν· εἴχετο τῆς
ὁδοῦ· καὶ τὴν ἄλλην καὶ
τὴν ἔλαβε πόλιν· ἰουδα-

ναλίου τότε· τὴν ἀρχι-
ερωσύνην Ἱεροσολύμων ἐπι-
τεταγμένου· πάντας
δὲ τοὺς θείους τόπους πε-
ριελθών· καὶ ἄλλως τοὺ
ἅγια προσκυνήσας· ἐσκό-
πει καθ' ἑαυτόν· πότερον ἄ-
ρα τοῦ φιλοσοφεῖν ἄρξαι-
το· καὶ ποίαν τῶν ἀγωγῶν
ἕλοιτο· τὸ μὲν γὰρ κατα-
μόνας ἡσυχάσαι ὑψηλότερον
ὄν τι· σφαλερὸν κατεφαί-
νετο· τὸ δὲ ἄλλοις πρότε-
ρον μαθητευθέντα τὴν πα-
τράσιν· εἶτα καὶ τοῖς
ἀπὸ τῆς ἡσυχίας φυομέ-
νοις καρποῖς κατὰ και-
ρὸν δρέπεσθαι· τοῦτο ὡς ὠφε-
λιμώτερον ἅμα καὶ κάλλιστον
ἔκρινεν· οὕτω διανο-
ηθείς· Λογγίνῳ τῷ μακα-
ρίῳ γέροντι· ὃς καὶ δια-
φορώτατος τῶν καθ' ἑ-
αυτὸν πρώην ἐτύγχανεν
ὤν· φέρων ἑαυτὸν δίδω-
σιν· ὁ μαθητευθεὶς τότε αὐτῷ

ς σύνοικος γίνεται· ἦν δὲ
ὁ θαυμάσιος οὗτος Λογ-
γῖνος· ἐν οἰκίσκῳ τινὶ
τοῦ πύργου τοῦ θεσπεσίου
Δαυίδ· ἑαυτὸν ἐγκλεισά-
μενος· κἀκεῖ φιλοπό-
νως τὸ ἡδὺ μέλι τῆς ἀ-
ρετῆς ἐργαζόμενος·
παρ' οὗ καὶ τὰ αἰσθητήρι-
α πάντα ὁ θεοφιλὴς
Θεοδόσιος ὥσπερ ἔδει
ἐγγυμνασάμενος· καὶ τὴν
περὶ τὰ ἀρετὰ καὶ φα-
κτὰ διάκρισιν ἄκρως
ἐκπονηθείς· μετανίστα-
ται ἐπὶ τὸ παλαιὸν κάθισ-
μα· τοῦτο γὰρ καλοῦσι
τὸν τόπον· ἐπειδὴ κα-
τὰ τὴν ὁδὸν τὴν ἐπὶ Βη-
θλεὲμ φέρουσαν· τίς
δὲ καὶ ἡ αἰτία τῆς μετα-
στάσεως· γυνή τις·
λίαν ἐσθῆτι καὶ κοσμί-
α· τοὔνομα Ἱκελία·
πλουσία τὸν νοῦν τε καὶ
τὴν ἀρετήν· αὕτη· συ

νεωκόρος μὲν ἀνδρὶ προ-
τέρῳ· ὕστερον δὲ καὶ
Χριστοῦ διάκονος κατα[illegible]
[illegible] γίνεται· καὶ τὸν
ἐκεῖ γὰρ ναὸν τῇ δεσποί-
νῃ πάντων καὶ θεοτό-
κῳ ἱδρῦσαι λέγεται·
Ταύτης οὖν δεηθείσης
τοῦ γέροντος· ὥστε
τῷ παρ' αὐτῆς ἱδρυθέ-
ντι τῷδε ναῷ ἐγκατοική-
σαι τὸν Θεοδόσιον· πεί-
θεται μὲν ἄκων ἐκείνῃ·
πεισθεὶς δὲ πολλῷ μᾶλ-
λον οὐκ ἔχοντα τὸν μα-
θητὴν· παραδέξασθαι
τὴν μετάθεσιν· πεισθεὶς
οὖν καὶ μετατεθεὶς· καὶ
τὸν θεῖον ναὸν ἐκεῖνον
οἰκήσας· ὡς ἡ φήμη
τοῦτον μέγαν τοῖς πα-
τράσιν ἐκήρυττεν· οὐ-
κὲν ᾐκόων τὰς ἐκείνου
διατριβάς· εἰς τὸ δὲ
τὸ ὄρος καὶ τὸ ἱερὸν σπή-
λαιον μεταναίει· ὃ κ(αὶ)

εἰς δεῦρο τὸ τίμιον αὐτοῦ
πλουτεῖ λείψανον·
Λόγος δέ τις εἰς ἡμᾶς ἐκ
πατέρων ἄνωθεν ἀ-
φιγμένος· τοὺς πιστοὺς
ἐκείνους μάγους φησί·
οἳ ἐξ ἀνατολῶν εἰς Βη-
θλεὲμ ἐληλύθασι δῶ-
ρα φέροντες· τῷ δι' ἡμᾶς
σαρκὶ τεχθέντι Χριστῷ· ἐν
τῷ ὑποστρέφειν δι' ἀλ-
λης ὁδοῦ εἰς τὴν χώραν
αὐτῶν· ἐν τῷδε κατα-
λῦσαι τῷ σπηλαίῳ· ὁ
μέντοι σοφὸς Θεοδόσιος
ἐνταῦθα γενόμενος·
ζηλωτὴς τοῦ θείου ἀ-
ποστόλου Παύλου καθί-
στατο· πασῶν μὲν ὁμοί-
ως τῶν ἱερῶν ἔργων ἐν-
τολῶν· πλέον δὲ τῆς
θείας ἀγάπης· ταῖς γὰρ
νοεραῖς τῆς ψυχῆς ἐ-
νεργείαις· οἷα μουσικὸς
ἔμπειρος· ὁ θεοφιλὴς
οὗτος ἐρρύθμως κινῶν

εἰς ἃ δεῖ· καὶ ὅτε· καὶ ὅ-
φθόσον δεῖ· καὶ συναρμότ-
των ἑκάστῳ καιρῷ πρόσωπον
ἀεί· πᾶσαν ἁρμονίαν·
ἐμμελεστάτην τιμῶν καὶ ἡ-
δίστην· τοῦ καθ' ἑαυτὸν μ-
ουσαν ἀποτελεῖ κρᾶσιν· πρὸς
ἓν τοῦτο μόνον βλέπουσα·
ὅπως ἂν ἀξίως τῆς τοῦ
θεοῦ ἀγάπης ᾖ πολιτευομένη·

Τίς γὰρ οὕτως πρὸς τοὺς ὑ-
πὲρ αὐτοῦ κινδύνους γεν-
ναίως ὤφθη καὶ ἀνδρικὸς
ὡς μετ' οὐ πολὺ δηλωθήσε-
ται; τίς δὲ οὕτω κρίνειν
λογισμοὺς καρδίας· καὶ
τεχνάσματα εἰδέναι τοῦ πονη-
ροῦ· διὰ τῶν δεξιῶν κλε-
πτοντος ὡς ἐκείνη ἠπί-
στατο; τίς οὕτω συνεστάλη
μὲν τύχην· συνετρίβη δὲ
καρδίαν· καθεῖλε δὲ πᾶν
νόημά τε καὶ ὕψωμα· κα-
τὰ τῆς τοῦ θεοῦ γνώσεως
ἐπαιρόμενον· καὶ συνε-
λόντα φάναι· πῶς ἄν τις

τὰ ἐκείνου μιμήσαιτο·
ἃ μηδὲ ἀξίως ἐπαινεῖν
δύναιτο; τὸ τῆς νηστείας
ἄτονον· τὸ τῆς ἀγρυπνί-
ας ἑτοίμονον· τὸ τῆς προ-
σευχῆς ἀνυβρίαστον· τῆς
ψαλμῳδίας τὸ ἄτακτον·
τὸ τῶν ὀφθαλμῶν πρὸς
δάκρυα γονιμώτατον· τὰς
παννύχους στάσεις· τοὺς
κρυφῆ κρεμαστῆρας· οἷς
διὰ τὸ χαμοῖ ἵσθαι τῶν ὕπνων·
καὶ τὰς τῶν γονυκλισιῶν
ὀδύνας· ὑπεστηρίζετο·
τὸ δὲ ταπεινὸν τοῦ σχήματος·
τὸ δὲ σύμμονον καὶ προσε-
κτικόν· τὸ δὲ τῆς διανοί-
ας ὀξὺ καὶ πρὸς θεὸν ἀνα-
πτάμενον· ταῦτα ἀξι-
ασθαι μὲν δυνατὰ καὶ ἄλ-
λοις· μιμήσασθαι δὲ χαλεπά·

Γαστρὸς δὲ τίς οὕτως ἐκρά-
τησεν. ὅς; οἱ ἀδούλωτοι ταύτῃ ἐ-
χρῆτο· ὅπως τε αὐτὸς κε-
λεύοι· τροφῆς κοινωνοῦσα·
μετέχουσα δέ· οὐχ ὅσον αὐτῇ

κωλύοιτο· ἀλλ' ὅσον μὴ ἐκστῆναι τὸ
σῶμα διακρατεῖν. ἢ προ-
φημένοι· φοινίκων καρ-
ποί· ἢ τῶν κερατίων ὀλί-
γα· ἢ ὄσπριόν τι· βραχὺ ὕ-
δατι· ἢ καὶ τῶν ἀγρίων βο-
τανῶν· αἱ ἐδώδιμοι· ἔστι δὲ
μή τι τούτων παρῆν· ὅσα
φοινίκων διαβραχέντα· φι-
λότιμος ἦν ἐν τούτῳ τροφή·
Ἄρτου δὲ καὶ ἐς τριάκοντα
παρέτεινε χρόνοις· μηδὲ
βραχὺ γευσάμενος. οὕτω
δὲ περὶ τὴν χρείαν τοῦ σώ-
ματος ἐνδεῶς ἔχων· οὐχ ὁ-
μοίως καὶ περὶ τὴν τῆς
ψυχῆς διέκειτο. ἀλλ' ἐκτενὴς
καὶ περὶ τὰς εὐχὰς ἐτρέφετο· ἡμέ-
ρας τε καὶ νυκτός· τὴν με-
λέτην δηλαδή· τῶν θείων λο-
γίων· τὸν δὲ ῥηθέντα
νόμον τῆς ἐγκρατείας. καὶ
μέχρι βαθυτάτου διέσωσε
γήρως· ὥσπερ τινὰ σύμ-
πλουν ἐν χειμῶνι καὶ ζά-
λῃ τὴν μετριότητι διαφυλά-
σαντα· κἂν τῷ λιμένι γε-
νόμενος ἤδη τῷ γήρᾳ· αἰ-
δεσθεὶς ἀποθέσθαι· ὁ θεῖ-
ος οἷά τις ἀστὴρ χαριέστατος·
πάνυ λαμπρόν τε καὶ κάλ-
λιστον ταῖς ἀκτῖσι βάλλων
ἐφαίνετο· εἰ καὶ λανθά-
νειν πάντως ἐσπούδαζεν·
Εἵλκετο γὰρ οὖν πρὸς ἑαυτὸν
ὥσπερ τις ἡρακλεία λίθος
τὸν σίδηρον· τῶν φιλαρέτων
πολλούς· ἐπόθουν γὰρ οὖν
αὐτοῦ μᾶλλον τὴν ἐρημίαν·
ἢ τὰς λαμπρὰς πόλεις με-
τὰ βασιλέων οἰκεῖν· οἷς καὶ
μασάμενοι· μόλις μὲν·
πείθουσι δὲ ὅμως· μὴ τὰ ἑ-
αυτοῦ μόνον. ἀλλὰ καὶ τὰ
τῶν πλησίον σκοπεῖν· καὶ
διδάσκαλον τοῦτον ἄριστον.
τοῦ κατὰ θεὸν βίου παρα-
λαμβάνουσι· καὶ τέως
μέν. ἕξ που καὶ ἑκατὸν τὸν ἀ-
ριθμόν. ὁ περὶ αὐτὸν χορὸς
ἦν. ἔφασκε δὲ ὁ μέγας· ὅ-
τι τοῖς κατὰ θεὸν ζῆν ἐθέλο-

μένοις· οὐδὲν μόνον συνερ
γῆν δύναται· πρὸς τὸ καὶ
κτήσασθαι ἀρετήν· καὶ φυ
λάξαι κτηθεῖσαν ὡς μὴ μέλ
λειν θανάτου. τί ποιεῖ· τά
φον κατασκευάσαι τοῖς οἰ
κείοις μαθηταῖς ἐπιτρέ
πει· ἵνα ζῶντας μὲν ἐ
ναγωνίους ποιῇ· προορω
μένους τὸν θάνατον· θνή
σκοντας δὲ αὐτοῖς· ὑποδέ
χοιτο· πλήν· ἀλλ' ὡς
προειλέσθων τί τῶν μελ
λόντων· ἅτε καὶ προφη
τικοῦ χαρίσματος ἤδη ἀπολαυ
μένος. ἐκέλευσε τὸ μνῆμα
γενέσθαι· τούτου δὲ τελε
σθέντος· παρίστατο μὲν
αὐτοῖς ἄνωθεν· οἱ μαθηταὶ
δὲ αὐτὸν περιίσταντο·
Καὶ ὅς· ὀξυτέρω τῆς διανοίας
ὄμματι τὸ ἐκκινούμενον
καθορῶν· χαρίεντας φη
σὶ πρὸς αὐτοῖς· ὁ μὲν τά
φος ἤδη ἕτοιμος· τίς δ' ἂν
εἴη ὁ τοῦτον ἐνδυσόμενος ὑμῶν ἐκεῖ
νίσων· μασίλειος δ' ἔπιε·
τὸ μὲν ἀξίωμα ἱερεύς· τῶν
δὲ περὶ τὰ καλὰ ζηλωτῶν
ἀφανεῖς ὤν· ζῶν μὲν ἑαυτοῦ
τοῖς χαρακτῆρας τοῦ διδασ
κάλου· ἔτι δὲ τό· μὴ μάτην
εἰρῆσθαι τῷ μεγάλῳ τὸ
προείλημμα· προσθεὶς τὸν
λόγον ἀπαντήσας· ἕτοιμος
περὶ τὸν θάνατον ἡμῶν· ἀ
θεὸς οὖν εἰς γόνυ κλιθείς·
καὶ προσευξάμενος τὸ
πρόσταγμα· ἐλόγκισον δή
με περιφησίν· ἕως δέ οἱ
τοῦ δὲ τοῦ τάφου· προσ
τάξαι μικρὸν ἔσομαι·
Ὁ μὲν οὖν ἤτει· ὁ δὲ ἐδίδου·
καὶ ὁ μὲν τάφος εἶχεν αὐ
τόν· ἐκέλευε δὲ ὁ πατὴρ
πάντα τὰ ἐπ' αὐτῷ ποιεῖν· τὰ
ἐν τοῖς τεθνεῶσι γινόμενα·
τρίτα φημὶ καὶ ἔνατα
καὶ τεσσαρακοστά· ἤδη δὲ
τῶν τεσσαράκοντα τε
λεσθεισῶν ἡμερῶν· ὡσ
πὼς ἀπὸ λόγου δηλώσει·

τὸ λίαν μεγάλη ἦν· λίαν
δὲ πιστευθῆναι διὰ τὴν ὑπερ
βολὴν δυσχερές· ὁ βασιλεὺς
μὴ τὸ πῦρ ἐπιλήψεσθαι·
μὴ τὴν κεφαλὴν· ἢ ἄλλο τι
τῶν τοῦ σώματος μελῶν
ἢ μερῶν ἀλγήσας μηδέν·
ὥσπερ ὕπνον τινὰ μα
λακὸν καὶ ἥδιστον ἀφυπνώ
σας· πρὸς κύριον ἐκδημεῖ·
ἆθλον τῆς ἀρετῆς καὶ τῆς
ὑπακοῆς· τὸ πρῶτος ἐμ
φανισθῆναι θεῷ· καὶ στε
φθῆναι πρῶτος ἀπὸ
μ(ετὰ) κάμνος· οὕτως οὖν
τῶν τεσσαράκοντα τελει
ωθέντων· τῷ θαύματι
θαῦμα συνῆπτο· τεσ
σαράκοντα γὰρ ἐφεξῆς ἡ
μέρας κατὰ τὰς ἐπιβρί
ους ᾠδάς· μετὰ καὶ τοῦ ἱ
εροῦ τῶν μαθητῶν χοροῦ
ὁ θεῖος οὗτος βασιλεὺς
ἐπαοῦς καὶ συνᾴδων· τῷ
μεγάλῳ θεοδοσίῳ μόνῳ.
ἐπὶ λόγου ἐπιτελοῦ κοινοῦ ἔργου·

αὐτίκα δὲ ἐπισάμενος· τὴν τοῦ
διδασκάλου ἀρετὴν παρε
στάμενος· ὁρᾶν μὲν οὐκ εἶ
χεν αὐτόν· τῆς δὲ φωνῆς
ἤκουεν· ἠρώτα οὖν τὸν
διδάσκαλον· εἰ καὶ αὐτὸς
τῆς τοῦ τελευτήσαντος ἀ
κούοι φωνῆς· ὁ δὲ καὶ ἀκού
ειν ἔφησε καὶ ὁρᾶν· καὶ εἰ
βούλοιτο· καὶ αὐτῷ δεῖξαι
καθ' ὃν ἂν φανείη καιρόν·
Ἦν μὲν οὖν νὺξ ἐπιβλάμμα
νε· καὶ ἡσυχία ξυνεστέλ
λετο· καὶ ὁ τοῦ θεοῦ ἄνθρωπος·
ἐθεώρα πάλιν ἀκριβῶς
τὸν βασίλειον· τοῖς ἀδελ
φοῖς συνεστῶτα καὶ συνᾴ
δοντα· καὶ τῷ δακτύλῳ
τοῦτον τῷ ἀξίῳ δεικνύς·
εἶτα καὶ ἀχλὴν συνῆπτεν·
ἀνοίξων κελεύων καὶ τοὺς
δὲ τοὺς ὀφθαλμούς· καὶ
ἰδέσθαι τὸ μέγα τοῦτο
τεράστιον· τοῦ δὲ αὐτίκα
θεασαμένου καὶ ἐπιγνόν
τος· πρὸς δὲ καὶ ἐπὶ δρα

αὐτομάτη

αὐτὸν ἐπὶ τὸν θρόνον ἀνάγειν· καὶ χρό-
νον συνδιατρίψας συχνόν·
μάλιστα δὲ τῆς ἐκείνου
γλώττης τοῦ καθαρωτά-
του ποιῶν· οἷα τινα μόσσην
τὴν αἵρεσιν διέσμει· καὶ πρὸ
τῆς ἁγίας πίστιν ἐπανάγειν·
Ἀλλὰ καὶ πολλοὶ τῶν ἁμα-
χωρικτῶν ἕτεροι· τῆς θε-
οδοσίου τούτων τῶν τρόπων
κλαυθμῶν ἀπέστησαν κοι-
νωνίας· δύο δὲ παρελ-
θόντων μὲν ἰαυτῶν· οἳ χέε-
ται μὲν δεξιὰν ὡς μόνον θεοδόσι-
κάτεισι δὲ πρὸς τὴν λαύ-
ραν ὁ μέγας· καὶ τότε μετὰ
τῶν σωμάτων· ὁ μὲν τὴν
ἀναίμακτον θυσίαν προ-
σήνεγκε θεῷ· διακονίας δὲ
πρὸς τὰ δεξιὰ μετὰ τῆς
μυστικῆς ῥιπίδος παρί-
στατο· τὸ λῆγον δὲ μέλ-
λοντος ἤδη τοῦ τρισαγίου·
τὸν ἐπινίκιον ὁ σαρακηνὸς ς
ὁ προφήτης γαμρικλιος·
ὁ μὲν πλησίον· ὁ δὲ τοῦ

θυσιαστηρίου ἔνδον ἑστώς.
τῆς πολλῆς οὔσης περὶ τὸν ἄν-
θρωπον Χριστοῦ χάριτος· ὁρᾷ σι-
πῦρ ἐξαίφνης ἄνωθεν κα-
τιόν· ὥσπερ ἐπί τινος δι-
ακεχυμένον ὀθόνης· καὶ
τὸν μέγαν ἀνθύμιον μετὰ δὲ
μεγαλύνοντα ἔνδον περιλαμπ.
καὶ ἀπὸ τοῦ τρισαγίου μεῖ-
ναν περὶ αὐτούς· ἄχρι τοῦ
τέλους τῆς ἁγίας λειτουρ-
γίας· φοινιχθεὶς δὲ ὁ τερέ-
μων· ὑποχωρεῖ τοῦ θυσια-
στηρίου· καὶ τοῦ λοιποῦ κα-
τὰ τὴν σύναξιν· ἐν τοῖς τοῦ
ναοῦ προπυλαίοις· μετὰ
πολλῆς ἑστὼς ἦν τῆς ἀγα-
νακτήσεως· καὶ τοῦτο δὲ τὸ χά-
ρισμα πρὸς θεοῦ ἐδόθη τῷ
εὐθυμίῳ· ὥστε τὰς ἐν-
δον τῆς ψυχῆς κινήσεις· αὐ-
τὸ τῆς ἐκτὸς ὄψεως ὡς
διαυγῆ μὲν ἔσοπτρου κατα-
νοεῖν· καὶ ἀκριβῶς γινώσκειν·
Τίσι λογισμοῖς ἕκαστος πα-
λαίων ἐστί· κ(αὶ) οἷων μὲν π(άθ)ων

ριγίνεται· οἷον δὲ ἦν τῶν
δείκνυται· φασὶ δὲ αὐτόν·
Καί ποτε πρός τινας τῶν
ἀδελφῶν κατὰ μόνας εἰ
πεῖν· ὡς φοβερὰν ἴδοι πολ
λάκις ὅτι μὲν ἀγγέλων συλλει
τουργοῦσαν αὐτῷ· καὶ ὡς
ἐν τῇ τοῦ διακονικοῦ σώμα
τος μεγαλειότητι· τινὰς μὲν
τῶν προσιόντων φωτι
ζομένους ὑπ' αὐτῆς ὁρᾶν·
τινὰς δὲ οἷον ἀμαυρουμέ
νους καὶ νεκρουμένους· ὅ
σοι δηλονότι· ἀναξίως μετέ
χον τοῦ φωτὸς ἐκείνου
καὶ τῆς λαμπρότητος· δι
ὃ καὶ τοῖς ἀδελφοῖς οὐκ ἔ
ληγε διαμαρτυρόμενος·
καὶ τὸ τοῦ ἀποστόλου κα
λῶς παραινῶν· προσέ
χειν ἕκαστον καὶ ἑαυτὸν δο
κιμάζειν· καὶ οὕτω τῶν
ἁγιασμάτων μεταλαμβά
νειν· εὖ εἰδότα τὸν προ
σερχόμενον· ὅτι κρίμα
ἑαυτῷ ἐσθίει καὶ πίνει· τοῦ

των ἀναξίως μετέχων·
ἀλλὰ ταῦτα μὲν καὶ πλεί
ω τούτων διεμαρτύρετο
τοῖς ἀδελφοῖς ὁ μέγας Εὐθύ
μιος· ἡμῖν δὲ ἀναγκαῖον·
ἐπὶ τὴν ἀκολουθίαν τῶν
προλαβόντων τρέψαι τὸν
λόγον· ἥλω μὲν οὖν ὡς ἤ
δη δεδήλωται ταῖς Θεο
δοσίου τοῦ μοχθηροῦ πα
γαῖς ἡ μακαρῖτις Εὐδοκί(α)·
καὶ τῆς εὐσεβείας διέπεσε· ἐ
πηγάγετο δὲ καὶ πάντας·
τούς τε κατὰ τὴν ἔρημον
καὶ τὴν ἄλλην πόλιν μονα
χούς· πρὸς τὸ αὐτῆς φρό
νημα· ἐπεὶ δὲ Θεοδόσιος
μὲν ἐξ ἀνθρώπων ἠφάνιστο· Ἰου
βενάλιος δὲ τὸν αὐτοῦ θρό
νον ἀπολαμβάνει· καὶ ταῖς
ἐκκλησίαις τὰ λυπηρὰ
διαλύονται· γράμματα
πολλάκις τῇ βασιλίδι· Οὐα
λερίου τοῦ ἀδελφοῦ καὶ
Ὀλυβρίου τοῦ γαμβροῦ πέμ
πονται· παραινοῦντα·

τῆς εὐτυχοῦς ἀφεμένη κακο-
δοξίας· συμφωνῆσαι τῇ
καθολικῇ ἐκκλησίᾳ· ἡ
δέ· πρῶτα μὲν τὴν μετὰ
ιολημῶν κμει καὶ ἀνεψιάλ-
λεω· ἐπεὶ δὲ μάθοι· τὸ
γαμικὸν μὲν αὐτῆς ἐν Θρά-
κῃ ἀναιρεθῆναι· τὴν θυγα-
τέρα δὲ καὶ τοὺς παῖδας
αἰχμαλώτους ὑπὸ τῶν
πολεμίων εἰς Καρχηδόνα
ἀπάγεσθαι· σφόδρα πληγεῖ-
σα τὴν καρδίαν· διδάσκα-
λον εὑρίσκει τὴν συμφο-
ρὰν τοῦ καλοῦ· καὶ πρὸς τὴν
ἀληθῆ πίστιν δι' ἐκείνης ὁ-
δηγηθεῖσα· σχολάσαι τὸ
λοιπὸν ἐν τοῖς θείοις ἀνδρά-
σι χειραγωγοῖς χρωμένη
πρὸς σωτηρίαν· ὅθεν καὶ
τὸν χωρεπίσκοπον Ἀνα-
στάσιον· μέγα τίμιον ὑπη-
ρετούμενον αὐτῇ· παρὰ
τὸ θαῦμα τῆς οἰκουμένης
τὸν Συμεὼν· [illegible]
ἐκπέμψασα· σημάνασα

διὰ γραμμάτων αὐτῷ· τὸ
τῆς καρδίας σκότος· ἀ-
ξιοῦσα τὸ παρ' ἐκείνου πάλι
γνώμην λαβεῖν· ἀκούει
τοίνυν παρ' αὐτοῦ· γίνωσ-
κε λαβὼν τὸ ὡς τὸν πλοῦ-
τον τῶν σῶν ὀρῶν ἅπαντων
ἀρετῶν· ἐξῃτήσατο σινιά-
σαι ὡς τὸν σῖτον· καὶ
πολλάς σε διὰ τοῦ λυμεῶνος
ἐκείνου Θεοδοσίου· τὴν
θεοφιλῆ σου ψυχὴν ἐλυμή-
νατο· ἀλλὰ θάρσει· οὐ γὰρ
ἐξέλιπέ σου ἡ πίστις· ἄγαν
δὲ θαυμάζω· ὅτι περὶ
γῆς ἔχουσα τὴν πηγὴν·
πόρρωθεν ζητεῖς τοῦ
αὐτοῦ ἀρύσασθαι ὕδατος·
ἔχεις τοίνυν τὸν θεοφόρον
Εὐθύμιον· οὗ ταῖς διδασκα-
λίαις ἑπομένη· οὐχ ἁμαρ-
τήσεις τοῦ σώζεσθαι· πρὸ
πάντων οὖν κἂν ἐλεήσῃς τὴν ἀ-
δοκίαν· ἀλλ' ἐκείνῳ διερευ-
νήσαμεν ᾗ περὶ τοῦ ἀνδρὸς·
μαθοῦσα ὡς οὐ πόλει

τημὴ προσφοιτᾶν· πύργον
ἐφ' ὑψηλοτάτης ἀκρωρεί-
ας ἐν τῇ ἐρήμῳ οἰκοδομεῖ·
τριάκοντα σταδίοις τῆς
λαύρας ἀπέχοντα· καὶ κα-
τὰ μὲν ἀνεισιν ἐπ' αὐτόν· ὥσ-
τε ἀκωλύτως ὑπὸ τοῦ Εὐ-
θυμίου διδάσκεσθαι· πέμ-
πει δὲ κατὰ ζήτησιν αὐτοῦ
Κοσμᾶν τε τὸν σταυροφύ-
λακα· καὶ τὸν εἰρημένον
χωρεπίσκοπον Ἀναστάσιον·
Οἱ δὲ καὶ πρὸς τὴν λαύραν
ἐλθόντες· ὡς ἐπύθοντο
μεταναστῆναι τὸν μέγαν ἐκ
πολλοῦ ἤδη πρὸς τὸν Ῥου-
βᾶν· ἅμα τῷ μακαρίτῃ Θε-
οκτίστῳ ἀπίασι πρὸς αὐ-
τόν· καὶ πείθουσι πολ-
λὰ δεηθέντες παρὰ τὸν
πύργον ἐλθεῖν, ἔνθα νῦν
ἡ Σχολαρίου μονὴ ᾠκοδό-
μηται· ὃν καὶ εἶδεν ἡ βα-
σίλισσα Εὐδοκία· ὡς ἐν θέ-
ρει ἐδίψων ὕδωρ· καὶ προ-
σπεσοῦσα τοῖς ἐκείνου

ποσί· μὴ ὡς ἀγνωμονήσασιν· ὅτι
ἐπεσκέψατο ὁ μέγας ὁ κ(ύριο)ς· ὁ δὲ
συνήθως αὐτὴν εὐλογήσας·
ἀλλὰ προσέχειν αὐτῇ τὸ λοι-
πὸν τὸ ἔκνομον ἔφη· ὅτι γὰρ καὶ
μικρὸν συναπήχθης Θεο-
δοσίῳ· διὰ τοῦτό σοι καὶ τὰ λυ-
πηρὰ συνέβη περὶ τὰ φίλτατα·
Δεῖ οὖν σε πρὸς τὸ δέξασθαι
τὰς τέσσαρας ἁγίας καὶ οἰ-
κουμενικὰς συνόδους· καὶ
τῆς Διοσκόρου κοινωνίας
ἀπορρήξασαν, Ἰουβεναλίῳ
τῷ ἀρχιεπισκόπῳ Ἱεροσο-
λύμων πρὸς ἅπαντα συμ-
φρονεῖν· ταῦτα ὁ μὲν εἰ-
πὼν καὶ τῆς βασιλίδος
ὑπεραγασάμενος· εἶτα καὶ
συνταξάμενος αὐτῇ· ἐκ-
χωρεῖ· ἡ δὲ παρευθὺ τὴν
ἁγίαν εἰσελθοῦσα πόλιν·
Ἰουβεναλίῳ καὶ τῇ καθο-
λικῇ ἐκκλησίᾳ κοινωνεῖ·
πολλοὺς τῶν μοναχῶν τε
καὶ λαϊκῶν ἐπαγομένη· ὧν
ἦν· ὁ ἀρχιμανδρίτης Ἐλ-

πεδίοις ἦν. γερόντιος γὰρ
τοῦ κακοῦ μᾶλλον ἐπιγηρά-
σαι θελήσας· οὐχ ἑαυτοῦ
μόνον· ἀλλὰ καὶ πολλοῖς
ἑτέροις αἴτιος ἀπωλείας
κατέστη. ἡ μέν τοι μακα-
ρῖτις εὐδοκία· τοῖς τοῦ
σταυροφύλακος ἀδελφοῖς·
χρυσίππῳ μέν τε καὶ γαβριη-
λίῳ· ὧν ὁ τῆς λαύρας μέ-
τα καλεῖται· καὶ πρεσβυ-
τέροις χειροτονηθῆναι πα-
ρασκευάζει· καὶ χρύσιπ-
πος μὲν τοῦ πρεσβυτερίου
διαπρέψας. συγγράμματα
μνήμης ἄξια καταλέλοι-
πε· γαβριηλίῳ δὲ τὴν τοῦ
φροντιστηρίου ἐπιστασίαν
ἐπιστασίαν στεφάνου τοῦ
ἀληθῶς παρ' αὐτὴν ὡρᾶ-
το τὴν ὁδὸν τοῦ τόπου ἐμ-
πιος. ἄδηλον μέν τοι
τίς ὁ τὸν χρυσὸν ἐκεῖ κα-
ταθεῖναι θελήσας. ἀλλὰ τὸ
θεῖα δύναμις. τὴν πρὸ
αὐτὸν καταφρόνησιν τοῦ
μεγάλου δεικνῦσα τῷ
πονηρῷ κοσμοκράτορι. ἀλ-
λ' οὗτος αὐτός. ὁ καὶ πρὸ
τούτου τῷ φαντασιώδει
δίσκῳ ἐκείνῳ σαίνειν

δολιώτερος ἐστι χειρῶν· τὸ
πολλάκις αὐτὸν ἀνατρέ-
ψαντα· κἀκεῖνον γὰρ τὸ
χρυσοῦν· ὡς πῦρ διελθὸν
τὴν ψυχὴν φλέγει ἡδονῶν ἀμέτρων·
ὁ πῦρ καταναλίσκον τὴν
μοχθηρίαν ἐν καρδίᾳ δὲ
ζάμενος· παρ' αὐτοῦ πῦρ
ἐλθόντος καλεῖν ἐπὶ τὴν
γῆν· καὶ τὴν ἄνω τιμὴν
ποι ἀποδόντος· καταλα-
βὼν δὲ τὸ ὄρος· μόνος
κὴν μόνῳ θεῷ προσλαλῶν·
ταῖς πρὸς αὐτὸν τε ἀνα-
βάσεσιν ἐντρυφῶν· καὶ
νίον ζῶν μετὰ σώματος
ὄντος ἀσώματον· τρο-
φὴ δὲ αὐτῷ ἄρτος μόνος·
καὶ οὗτος βραχύτατος·
ποτὸν δὲ· ὃ μηδὲν πονοῦ-
σιν ἡμῖν γεωργοῦσι πη-
γαί· πυρὸς δὲ χρῆσιν ἢ
ἐλαίου· καὶ πρὸ τῆς τοῦ
κόσμου φυγῆς ἀπετρέ-
φετο· περὶ δὲ ἱερῶς ἄστος
τῶν θυσίμων· τί δεῖ καὶ

λέγειν· ὁ που γε· καὶ αὐτὴ
τὴν περὶ δὴ ἔνδειαν αὐτὸς μετρῶν·
ἀχθρῶς αὐτῆς καταφρό-
νησεν· τοῖς δὲ πρὸς τὴν
ἄσκησιν πόνοις τὸ σῶ-
μα τρύχων· καὶ ὥσπερ τι νέ-
φος ἀπολεπτύνων· τοὺς
μοὺς παρεῖχεν ἐλευθερί-
αν· πρὸς τὴν τοῦ ὄντος
ἐφετοῦ κατανόησιν· τὴν
γὰρ ἐγκράτειαν τὴν σάρκα
ὑποπιάζων· καὶ μάχαι-
ραν οἷα στομῶν· πρὸς τὸ
συγκόπτειν τοὺς ἐχθροὺς
ἐνεργὸν ταύτην ἐργάζεται·
Τὰ δὲ κατὰ τὴν ἔρημον
πρὸς τοὺς ἀποστάτας θεοῦ
καὶ ἡμῶν πολεμήτορας
παλαίσματα τούτου καὶ
τρόπαια· μᾶλλον δὲ καὶ
τὰ ἐν κόσμῳ κατ' αὐτῶν
ἀριστεύματα· ποία γλῶσ-
σα ἱκανὴ διηγήσασθαι·
λόγος δὲ ποῖος περιλα-
βεῖν ἐξισχύσειεν· ἢ πάν-
τας ἐκείνου μόνου· ὅς

ἀγωνίαν τε τὴν ἐκ παίδων
αὐτοῦ· καὶ τοῖς ὑπὲρ ἀρε-
τῆς πόνοις· τό τε πλῆθος
τῶν θαυμάτων· καὶ τοῖς
ἄχρι δὴ τοῦ τέλους τῆς το-
του μακρᾶς καὶ θείας ζω-
ῆς καμάτοις, ἀνεν[illegible]·
Ἀθανάσιον φημὶ τὸν στερρὸν
τῆς ἐκκλησίας πρόμαχον·
Καὶ σοφὸν μόνον μαθητὴν τοῖς
ἀσκηταῖς χρηματίσαντα·
αὐτὸς γὰρ σοφὸς ὄντως·
ὡς τὰ θεῖα σοφός· τοῖς
κατὰ τὴν ξένην μονάχοις.
ἐν γῇ δὲ ἐπιστολῆς τὰ κα-
τ᾽ αὐτὸν ἀνατάξας ἐξέπεμ-
ψε· θείας ἐκείνης ἐπι-
στολῆς· καὶ ψυχὴν διδά-
ξαι τε δυναμένης τὰ κάλ-
λιστα· καὶ πεῖσαι παροπτέ-
α κρίνειν τὰ γεηρὰ καὶ ἐ-
πίκηρα· καλὸν δὲ καὶ ἡμῖν.
ὀλίγα ἐκείνων τῷ παρόν-
τι λόγῳ διαλαβεῖν· καὶ
ὡς ἡδύσματα τούτῳ ἐπεμ-
βαλεῖν· τὰ καρδίας οὐχ ἧττον·

τον· ἢ ἀκοὰς ἐπιστῶν κα-
θηδύνοντα· ἔστι γὰρ ταῦ-
τα· τοῖς μὲν εἰδόσιν· ὑπ-
όμνησις· τοῖς δὲ ἀγνο-
οῦσι· διδασκαλία· οὔτε
γὰρ πάντα τὰ τῶ[illegible]
τοῦ μεγάλου ἐμφερόμε-
να διελθεῖν δεδοκίμα-
σται· οὔτε πάντα πα-
ρελθεῖν ἐκεῖνον κέκριται·
τὸ μὲν γάρ· ἀπειρόκαλον·
τὸ δὲ, πρότερον· τοῖς
καθ᾽ ἡμᾶς ὅλως ἀδιώλα-
τον· ἀλλ᾽ οἷα λεχθέντα
μὲν εὐφρᾶναι τοὺς ἀκοῦ-
σαι θελήσαντας· πα-
ρεθέντα δὲ ζημιῶσαι
τὰ μέγιστα· ταῦτα δὴ δι-
ηγήσομαι· μετὰ τὴν
εἰς ἔρημον τοῦ παμμά-
καρος Ἀντωνίου ἀποδη-
μίαν· καὶ τὴν κατὰ δαι-
μόνων ἀριστείαν αὐτοῦ στρα-
τηγίαν· πολλάκις γὰρ αὐ-
τῷ προσ[illegible]λόντες οἱ
δαίμονες ἀν[illegible]·

καὶ πάντα τὰ προσόντα ἐν αὐ-
τῷ ἐξεκαθέρησαν. ἡ τοῦ
θ(εο)ῦ χάρις· ἡ πάντα τὸν νοῦν
ὑπερέχουσα· μυσταγωγὸν
αὐτὸν τῶν σώζεσθαι βου-
λομένων εἰργάσατο· καὶ
λόγων τυχὼν φθεγγομένων χορη-
γὸν· λόγων. οὐ κομπείαις
καλλωπιζομένων· σωτηρί-
αν δὲ παρέχειν δυναμέ-
νων· καὶ πρὸς τὸ μέλ-
τιον ἐσομένων· ἐκεί-
νοις· οἷς ἀγαθῶν ἀκρότα-
τον τὸ σωθῆναι καὶ μέ-
νομεν καὶ πιστεύεται·
καὶ μή τις καθ' ἑαυτὸν μὲν
ἐνδιάσῃ· τὸν λόγον κοσ-
μικῶν μὴ γευσάμενον· δι-
δάσκαλον ἀκούων γενό-
μενον· ἡ γὰρ τοῦ θείου
πν(εύματο)ς χάρις καὶ δύναμις·
ὅ τε μὲν ὑλεῖται ἀόρατος
ἐπιφοιτῶσα τοῖς πρὸς
ὑποδοχὴν αὐτῆς ἑτοίμα-
σθεῖσι· τῇ τοῦ νοῦ δηλα-
δὴ καθαρότητι· οὐκ ἐ-

ξ ἀμαθῶν μόνον διδασκά-
λοις· ἀλλὰ καὶ προφήτας
τὸ μεῖζον· ἀποκαθίστησι·
ἐξ ὧν δι' ἃ τὸ ὁ θεὸς πάντας·
καὶ ἀμώμως ὁ θεσπέσιος· ὧν
ὁ μὲν ἐκ ποιμένος· ὁ δὲ
ἐξ αἰπόλου προφῆται θαυ-
μαστοὶ ἀπεφάνθησαν·
οὐ ξένον οἶμαι· οὐδὲ θαύ-
ματος ἀνάξιον. τὸ δεῖ-
ξαι καὶ τὸν μέγαν τοῦτον ἀν-
τάξιον τῆς ἐκείνων χάρι-
τος μέτοχον· οἵας δὲ καὶ
τὰς παραινέσεις πρὸς
τοὺς αὐτοῦ παραβάλλοντας
ἀδελφοὺς χάριν τυχεῖν
ἐποιεῖτο. ἐν τῷ ἐνθένδε ἐρῶ·
Ε ψεύδη ποτέ· τοῦτον μὲν
ἔχει τῇ πρὸς θ(εὸ)ν ἑαυτὸν
ἐπιδοῦναι· τοὺς δὲ πα-
ρόντας· ταῦ τῆς ἀρχῆς γὰρ
αὐτοῦ παραγενομένου· θαυμά-
ζειν καθ' ἑαυτοὺς τὴν ἐπὶ
πολὺ προσεδρείαν τοῦ
μακαρίου. ζ τὸν, ὁ δὲ πρὸς
ἑαυτὸν ἐλθόντα· ἐξ ὧν γὰρ

ἣν τῆς σαρκός· καὶ τὴν αἰτίαν τοῦ παρατείνειν τὰ τῆς ἀρχῆς πρὸς τῶν ἀδελφῶν ἐρωτώμενον· ἐπεὶ πρὸς αὐτοὺς· πολλῆς οὖν τὸ κἂν μὴ τέως χρεία· τοῖς σωτηρίας ἐπιθυμοῦσι τυχεῖν· καὶ δὴ πάντως ἡμᾶς προσέχειν· παρ' ὅλην τὴν ἐνταῦθα διατριβὴν ἑαυτοῖς· ὅσα γὰρ καὶ οἷα λογοθετοῦνται μετὰ τὸν χωρισμὸν τοῦ σώματος αἱ ψυχαὶ παρὰ τῶν πνευμάτων τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. ὑπὸ τοῦ φιλανθρώπου μοι δεσπότου δεδήλωται νῦν καὶ πρότερον· φυλάττωμεν οὖν ἑαυτοὺς ἀμιγεῖς ῥυπαρῶν λογισμῶν· μηδὲ τοῖς ἀποτελέσμασι τούτων προσέχωμεν· ἀλλ' ὅταν ὄρεξις πάθους ἐν τῷ φανταστικῷ τοῦ νοὸς ἀναφανῇ, σπουδάζωμεν ταύτην μηδὲ τὴν ἀρχὴν παραδέξασθαι· εἰ δὲ καὶ συγκατάθεσις ἀπροσεξίᾳ πάντως ἡμετέρα προσγένηται· φυλαξώμεθα τὴν πρᾶξιν ὡς δύναμις· μεγάλη γὰρ ἀντικρυς ἁμαρτία καὶ δυσεξάλειπτος· τὸ ἀποτέλεσμα τοῦ πάθους καθέστηκε· προσῆκον οὖν· μὴ θύραν ἀνοίγειν ὡς κλέπταις τοῖς πονηροῖς ἐνθυμήμασι· μηδὲ ὡς λύκοις ἐν μάνδρᾳ· τῇ ψυχῇ ἡμῶν αὐτοὺς παραδέξασθαι· εἰ δὲ τοῦτο συμβῇ· τὸ παραδέξασθαι δηλαδὴ τοῦ πάθους τὴν ἔφεσιν· τὴν ἠπειλημένην τοῖς ἁμαρτάνουσι γέενναν ἑαυτοῖς ἡμᾶς ἐπισύροντας· καὶ φοβερὰς μάστιγας συνεχῶς ἐπιφέροντας· προσήκει φυγαδεύειν τῆς διανοίας

αὐτήν. μόνας γὰρ οὕτως
τὰς τῶν ἁμαρτιῶν
ἐργασίας φραζόμεθα·
καὶ τῶν ἐντεταλμένων
τοῖς ἀπᾶσιν ὡμωμάλλοις
δωρημάτων ἐπιταζό-
μεθα. ὡς ἄρα γε τούτων
μὴ τύχωμεν. βέλτιον
ἦν ἡμῖν μηδὲ τὴν ἀρχὴν γεν-
νηθῆναι. μήτε μὴν ἐν
κόσμῳ ἀναστραφῆναι.
Τί γὰρ ζῶμεν καὶ ἀναπνέ-
ομεν. τί δὲ ἐσμέν. ἂν
τῆς δόξης ἐκείνης τῆς
ἀϊδίου καὶ ἀφθάρτου
ἐκπέσωμεν. οὐδὲ γὰρ
ἐπὶ τούτῳ ἐστὸν δὲ τὸν κόσ-
μον παρήχθημεν. ὥσ-
τε ποιεῖσθαι τῆς σαρκὸς
μόνης τὴν πρόνοιαν. ψυ-
χῆς δὲ μᾶλλον ἐπιμε-
λεῖσθαι. τῆς ἀθανάτου.
ἢ καὶ αὐτὴν ἀπαθανα-
τίσαι τὴν σάρκα. κατὰ
τὸ ἀρέσκον μοῦσαι τῷ
πάντων θεῷ. ψυχῆς δὲ

δήπου τροφὴ καὶ ζωή.
ἡ ἐπίπονος ἐργασία τῶν
ἀρετῶν. οὐδὲ γὰρ ἡμῖν ὅ-
λως εἰς σωτηρίαν ἀρκεῖ
τὸ χρόνον ὀλίγον μὴ
μόνον τε καὶ ἡμερῶν παρολ-
κῆ ταῖς ἀρεταῖς μετέρχεσθαι.
ἔσται παλιμορτον ἐστὶ τὰ ἔρ-
γα τῆς αἰσχύνης τὰ ἀτι-
μότατα. τότε γὰρ μᾶλ-
λον μακροτέρας ἀξιούμε-
θα τῆς κολάσεως. ὅτε
τῆς γλυκείας τῶν ἁμαρτιῶν
ἁπτόμενοι πράξεως. τὸν
τῶν ἐκόντες ἑαυτοὺς μα-
κρύνειν ἐθέλομεν. ὥσ-
δε. καὶ θεοῦ τοῦ ἡμῖν ἐνοι-
κεῖν καὶ ἐμπεριπατεῖν
καὶ υἱοθετεῖν ἑαυτῷ φι-
λανθρώπως ἐθέλοντος.
Ὥσπερ οὐδὲ διὰ τοῦ προφήτου
ἐπέσχετο. ἀμέλει. καὶ
προσηκόντως ἀπολλύ-
μεθα. ἰδοὺ γὰρ ἔφη ὁ
ψαλμῳδός. οἱ μακρύνον-
τες ἑαυτούς. ἀπολοῦνται

λ πόσου ἀπολαύουσι· ἡμῖν
δὲ καὶ ἐκεῖνον αὐτὸν· τὸ
προσκολλᾶσθαι τῷ θεῷ ἀ-
γαθόν ἐστιν· οὐκ ἄλλως δὲ
θεῷ κολληθῆναι μὲν ἢ ἀλή-
κτως ἄσκησις τῶν ἀρετῶν·
πόνοις τε καὶ ἱδρῶσιν.
ὅτι πολλοῖς· στενὴν γὰρ
εἶναι τὴν ἀποφέρουσαν εἰς
τὸ πλάτος τῆς αἰωνίου
ζωῆς ὁδὸν διδασκόμεθα καὶ
πεπείσμεθα· ὁδεύσωμεν
τοίνυν αὐτὴν ἀκλινῶς
τὸν ὅλον χρόνον τῆς ἐπι-
κήρου ζωῆς· ἵν᾽ ἐκείνην
τὴν ἀθάνατον κληρου-
χίαν πλουτήσωμεν·
Ὀλίγα πονήσωμεν· ἵνα
πολλῶν ἀπολαύσωμεν·
τὸν πλάνον κόσμον καὶ
κοσμοκράτορα φύγωμεν.
ἵνα θεῷ πλησιάσωμεν·
τί δὲ ταύτης τῆς πραγμα-
τείας γένοιτ᾽ ἂν σωτηριωδέστε-
ρον ἢ κερδαλεώτερον·
μικρὰ πονοῦντας· με-
γάλα λαμβάνειν· καὶ ἀλή-
κτου καὶ αἰωνίου χαρᾶς· πό-
νοις βραχυτάτοις ἀξιω-
θῆναι· ταῦτα καὶ πλεί-
ονα τούτων τὸ μακάριον
ἐκεῖνο στόμα τοῖς ἅπαν-
τας προσάγον αὐτὸν ἀποτιθέ-
μενον· τῶν αὐτῶν τοῖς
προτέροις καὶ αὖθις ἔ-
χετο· ταῦτα δὲ ἦν, ὡς
ἂν ἀνεπίληπτος· τρόπος
ἀκατάστατος· λόγος ἀ-
μεταπλαστος· ἐν τάξει
εὔρυθμος· προαίρεσις
ἀκόμψευτος· διάθεσις ἀ-
νεπίχρωστος· σῶμα ἄ-
ογκον· ἦθος ἀγαλήνευτον·
στόμα ἀχάριστον· καὶ ἀ-
πλῶς λόγου θεοῦ ἀνοιγόμενον·
ὃς δὴ καὶ τοῦτον ἐδόξα-
σε· θαυμάτων δείξας
φρικτῶν αὐτουργόν· καὶ
ξένων τεραστίων δημι-
ουργόν· ἐρχόμενος οὖν ὁ
περιεχόμενος ἔφθην
τοῦ λόγου· πάντοτε δ᾽ αὖ

γίνομαι· καὶ τῇ δὲ κακίᾳ
μεταφέρομαι· τῶν τοῦ
πρὸς κατορθωμάτων καὶ
χαρισμάτων· πάντη
παρακαλούντων με
τρέπεσθαι· καὶ ἑκάστου
αὐτῶν· τοῦτο πρῶτον
ἐστὶν κατεπείγοντος·
Οἶδα δὲ ὑμᾶς· τῶν αὐ-
τοῦ θαυμάτων γλιχο-
μένους ἀκούσεσθαι· προ-
σῆκον οὖν· τὰ κατ' αὐτὸν
ἅπαντα ἐκείνων· λέγειν
ἀφέντας· τὰ πάντα
καλῶς ἔδοξέ τι καὶ σοφῶς
διαγράφοντι· τῶν αὐτοῦ
θαυμάτων ταῖς ὑμε-
τέραις ἀκοαῖς ὀλίγα
χαρίσασθαι· ὡς ἐξ ἀέν-
νάου καὶ ἀθολώτου πη-
γῆς τῶν τοῦ μεγάλου λό-
γων ἀθαυμασίου ἀρυο-
μένοις αὐτά· τί γὰρ
παρ' ἐκείνου ἡμεῖς ἐν-
μονήσομεν· μᾶλλον δὲ
πῶς τὸν παρόντα λό-
γον καλῶς διαθήσομεν·
εἰ μὴ πρὸς αὐτὸν μελετῶ-
μεν· καὶ ὡς πρὸς σταθμὴν
ἀκριβῆ ταύτην μετέραν δι-
ϊθύνομεν· Ἐπεκώμα-
ζέ ποτε τὰ τῶν θηρίων
ἀτίθασα· τοῖς λαχά-
νοις τοῦ μάκαρος· αὐτὸς
δὲ· τούτων μὲν ἱλαρῶς
κατασχὼν· δι' αὐτοῦ πα-
ρηγγύησε πᾶσι τῶν αὐ-
τοῦ πόνων ἀπέχεσθαι·
τοῦ ἀπ' ἐκείνου δὲ· μέχρι
τέλους οἱ θῆρες τὸ τοῦ
μεγάλου πληροῦντες ἐ-
πίταγμα· τῆς τῶν λα-
χάνων λύμης τελέως
ἀπείχοντο· οὐχ ὁρωμέ-
νοις δὲ μόνον θηρίοις·
ἀλλὰ καὶ νοουμένοις ἐ-
πιτιμῶν· ἃ δὴ καὶ θη-
ρία καλάμου παρὰ τῆς
γραφῆς ὀνομάζονται·
δραπετεύειν ἐποίει· δι' αὐ-
τὴν πρὸς θηρῶν μένειν τὸ
κοίτασιν· ὥσπερ πυρὶ

γὰρ τῇ φοβερᾷ ἐπικλήσει
Χριστοῦ καὶ ταῖς αὐτοῦ προσευ-
χαῖς οἱ πολεμήτορες ἀνθρώπων
καταφλεγόμενοι δαίμονες·
ἂν ἀκράτως ἐνδείκνυται φα-
νόντες· καὶ τί δεῖ λέγειν·
τὰ πᾶσι τυγχάνοντα γνώ-
ριμα· τὸ γὰρ περὶ τὴν
Μαρτινιανοῦ θυγατέρα τοῦ
μεγάλου τούτου γενόμενον·
καὶ ὅτι δαιμονίας ταύτην
ἠλευθέρωσε μάστιγος·
πᾶσιν ἐγνωσμένον καθέστη-
κε· τὰ κατὰ Φρόντωνά
τε τὸν συγκλητικόν· καὶ
τὸ πάθος ἐκείνου τὸ χα-
λεπὸν ἢ καὶ δυσίατον· ἴστε
πάντες καὶ μέμνησθε·
τὴν γλῶσσαν οὗτος κατή-
σθιε· καὶ αὐτοῖς ὀλίγου τοῖς
ὀφθαλμοῖς ἐστέρητο·
ἀλλ' ἀμφοτέρων τούτων
ἀπήλλακτο· ἐπεὶ πρὸς Ἀν-
τώνιον τὸν μέγαν ἤγετο·
Τὸ δὲ παράδοξον· ὅτι κατὰ
τὴν Αἴγυπτον ὑποστρέ-
ψας· ὡς ἡ τοῦ μεγάλου ἐ-
βούλετο πρόρρησις· τῆς
θεραπείας ἠξίωτο· ἐ-
ῶ τἆλλα· τὴν ἐκ Βουσί-
ρεως τῆς κατὰ Τρίπο-
λιν ὁρμωμένην παρθέ-
νον· καὶ τὸ περὶ αὐτὴν
παράδοξον γενόμενον·
τὴν ἐν Λαοδικείᾳ τε ἀ-
σκουμένην· πονηρῶς
τοῦ σώματος ἔχουσαν· καὶ
πρὸς αὐτοῦ τὴν θεραπεί-
αν τρυγήσασαν· ἧς τὸ
μεῖζον· ὅτι δι' ἄλλου ταύ-
την ἐφέρετο· ὃς καὶ προ-
σταξαμένου τοῦ παμμά-
καρος· τὴν τῆς προσευ-
χῆς ὥραν ἐσημειώσατο·
Καὶ εἰς Λαοδίκειαν φθάσας·
ἵνα καὶ τὴν παρθένον
ἀσκεῖσθαι συνεβούλευε· κα-
τὰ τὴν ὥραν τῆς προσευ-
χῆς καὶ τὴν θεραπείαν
αὐτῇ προσγενέσθαι ἐπύ-
θετο· οἷον δὲ καὶ τὸ ἐν
πορείᾳ τούτῳ πραχθέν· ὡς

μένα τε καὶ θαυμάσιον· ἐπεὶ
ὡς ἐπὶ γὰρ ὁ μέγας πρὸς ἐπί
σκεψιν τῶν ἀδελφῶν τοῦ
ἀσκητηρίου ἐξέρχεσθαι·
πλοίον ὅμοιον ἦγε μετὰ καὶ
ἄλλων αὐτὸν· τὸν ποτα
μὸν διαπεραιούμενον· χα
λεπῆς δὲ δυσωδίας πε
ριαγούσης αὐτῶν· τοῖς συμ
πλέουσι τοῦτο ἐγνώριζε·
ὅτε κακεμφῶν ἰχθύων τῆς
δυσωδίας λεγόντων εἶναι
τὸν αἴτιον· ἀλλ' ἧς αὐτὸς
δυσωδίας· ὀσφραίνεσθαι
διετέλεσεν· καὶ παρθέ
νε ανίας τις· πονηρῷ
πνεύματι κάτοχος· ἐπὶ
παραμείζων τῆς ὁλκάδος
κρυπτόμενος· τῷ δαιμο
νικῷ κινηθεὶς ἀθρόον ἐπὶ
πάντων ἀνέκραγε· πα
ραυτὰ δὲ τούτου τὴν ἀ
πολύτρωσιν ἀχθεὶς τοῦ
θεοφόρου πρὸς· ὁ ἐνεργού
μενος ἐλαύνε· καὶ ἄλλος
μέντοι· τὸ γένος ἐπιφα

νῆς· τῆς συμφορᾶς δὲ δι
ηγήσεως· τῶν περιττῶν γὰρ
τοῦ ἰδίου κατεσθίων ἐφαί
νετο σώματος· δαίμονος
ἐπηρεία πρὸς τοῦτο ἀγό
μενος. τῆς βαρείας ἐκείνης
ἠλευθέρωτο μάστιγος· ὁ
τε δὴ καὶ τὸν ὅσιον ὁ δαί
μων μαθήσας· ἐμαρτύρη
τον τοῦτο σημεῖον τῆς ἰδί
ας φυγῆς ἀνταιτούμενος
ὁ θεῖος ἐφ' ἧ παρέδειξε·
Τὴν δὲ περὶ τὸ ὕδωρ θαυ
ματουργίαν αὐτοῦ· καὶ ὅπως
τούτῳ καὶ τῶν ἀδελφῶν
τοῖς συνοῦσι ταῖς αὐτοῦ
πρὸς τὸν δεσπότην ἐντεύ
ξεσι μὴ ξηρὰ γῆ καὶ ἀφικοῦ
διεδέχετο οἷον καὶ ποτιμώ
τατον ἐπέλυσεν· οὐ χρὴ κα
ταλιπεῖν ἀμνήμονας· ἀλλὰ τὸ
περὶ τοὺς δύο τῶν ἀδελ
φῶν φρικτῶς αὐτῷ θαυ
ματουργηθὲν καὶ προ
γνωσθέν· ὧν πρὸς ἐκείνων
μελλόντων φοιτᾶν· ἀπὸ

ἐπὶ διττοῖς ἐξαιρέτοις· τοῦ
λοιποῦ δι' αὐτοῦ τῇ ζωῇ πα-
ραμείναντος. πῶς καὶ με-
τὰ τῆς προφητείας καὶ
τῆς φιλανθρωπίας πε-
πλήρωται· ἀποστολὴ γὰρ
ἀδελφῶν τε καὶ ὕδατος·
τὸν μὲν παρ' ὀλίγον θανόν-
τα. δι' αὐτῶν ἀνεκτήσατο·
τὸν δὲ ἤδη θανόντα. τα-
φῇ παραδέδωκεν· οἷ-
ον δὲ καὶ τὸ πρόσταγμα αὐ-
τὸν ἀμείνω τοῦ μεγάλου·
τὴν ἐκ τοῦ υἱοῦ μετάστασιν
τοῖς προστυχοῦσι τῶν
ἀδελφῶν· πολλῶν ἑκά-
μου ἡμερῶν ὁδὸν διειργόμε-
νον· ὡς μέγα τε καὶ θαυ-
μαστόν· καὶ προφήταις μό-
νοις προσῆκον τοῖς θεο-
λήπτοις καὶ θεοφάντορσιν·
Ἀλλ' αὐτῶν τοιούτων θαυ-
μάτων καὶ χαρισμάτων
οὐχ ἧττον θαυμάζειν
μοι ἔπεισι. καὶ τὸ περὶ τὴν
πίστιν εἰλικρινὲς τοῦ

μεγάλου καὶ καθαρὸν ταυ-
τονί· ἐξ οὗ δογμάτων ὀρθῶν
καὶ λόγων θεοσόφων ἐ-
πλούτησε θάλασσαν· ἢ
ποταμηροῖς χειμάρροις αἱ-
ρέσεων ἀπεξήρανε· καὶ
τῶν σχηματικῶν τὰς κε-
νοφωνίας. ἄρδην κατέ-
κλυσεν· ἀρείου τε τὸ
βλάσφημον στόμα ἐνέ-
φραξε· καὶ μελετίου
τοῦ δυσσεβοῦς· τὴν κα-
τὰ τῆς εὐσεβείας τὸρ θρά-
σαν ἀπέπαυσεν· ὁ γὰρ
δοξάζων τοὺς αὐτὸν δο-
ξάζοντας κύριος· καὶ τοὺς
ἐξουθενοῦντας ἐξουθε-
νῶν ὡς κριτὴς μόνος
δίκαιος· καὶ τοῦ μεγάλου
τούτου περιπρὸ καιροῦ
τὴν δυσσεβῆ τῶν ἀρεια-
νῶν αἵρεσιν· καὶ τὴν κα-
τὰ τῆς εὐσεβείας λύσσαν·
ἀριδήλως παρέδειξε·
ὅτε δὴ καὶ κτημῶν λαυ-
κτίσματα αὐτὰ καὶ τὰ.

τῆς ἱερᾶς φωνῆς καὶ θεάσας
τραπέζης τοῦ θυσιαστη-
ρίου καθυλακτοῦντα
τοῦτον ἀφαιρούμενον· ἔφη
καὶ δακρύων τοὺς ὀφθαλ-
μοὺς χρηματίσας ὑπὸ
πλήθους. μέλλω μὲν ἀλγεῖ
τοῖς παροῦσι μᾶλλον τέκνα
ἀποθανεῖν. ταύτης
μὲν οὖν προειρημένης θεωρίας·
Ἀλλ' οὐ μέχρι πολλοῦ ταῦ-
της λύπης ἔφη παρα-
ταθήσεται· θᾶττον δὲ
μέσον πάντως καταλυ-
θήσεται· καὶ εἰς τὸ μη-
δὲν ἐκεῖνα προβήσε-
ται· ἃ δὴ χρόνοις ὕ-
στερον· ὡς αὐτὸς προ-
εἶπε καὶ γέγονεν· ἥ τε
γὰρ τῶν αἱρετικῶν ἐφθά-
ρη δυσσέβεια· καὶ
αὖθις κατελύθη δυ-
νάμει θεοῦ λόγου καὶ
πνς· ἀλλὰ τὰ κατὰ
τὸν μέγαν τοῦτον ἀντώ-
νιον· εἴ τις διεξιέ-

ναι πρὸς μέρος ἐπιχει-
ρήσειεν· οὐκ ἀγνοεῖ οἶμαι
τοῦ σκοποῦ ἀπόδεκτος
λογισθήσεται· διὸ δὴ καὶ
ἡμῖν· οὐ τοῦτο σπουδάσαι.
τῶν τοῦ μεγάλου ἀντω-
νίου ἕκαστα διαγρά-
φειν· πιστεύσας δὲ τῆς πρὸ
αὐτὸν· τὸν παρόντα λό-
γον τὸ ἐγκώμιον ἐκθεῖναι
διηγήσασθαι· ὃς οὐκ οἶδε πῶς
εἰσέτι τοῖς αὐτοῦ προτε-
ρήμασιν· ἐντρυφᾶν
προτεθύμηται· εἰ καὶ
πῶς ὑπὲρ τὰ ἐσκαμμένα
πηδῶν καταφαίνεται· τὰ
γὰρ ἤδη ῥηθέντα τοῖς μὴ
πολλαχθεῖσι παρεντιθέ-
μενα· εἰ καὶ μάλιστα πέ-
φυκεν· ἀλλὰ παρὰ πο-
λύ γε τούτων φανεῖται
λειπόμενα· τὸ γὰρ ὡ-
ομῶς ἄϋλον ἐν ὑλικῷ
σώματι ζῆν· πονηροῖς
τε πνεύμασιν ἐνίκα
τούτου καιρὸς ἐπιτιμᾶν·

τῆς εὐσεβείας ἐστί· τὸ πάντα
πρόσωπον προΐστασθαι· ταῦ
τα πάντα καὶ ἄλλοις τῶν
ἀνθρώπων πάντη δῆλον κα
τορθοῦται· τὸ σῶμα δὲ
περικείμενον· ἐκτὸς τοῦ
σώματος γίνεσθαι· καὶ
τὰ ἐν οὐρανῷ ἐπιτελούμενα
μόνος ὄμμασι καθορᾶν σὺν
οὐδενὶ τῷ κωλύοντι· ἀλ
λὰ τοῦτό γε μόνῳ δηλα
δὴ ἀνθρώπων ἑνὶ παρὰ τῆς
προνοίας κεχάρισται· καὶ
τῶν ἁπάντων οὐδεὶς
μετὰ παῦλον τὸν θεοκή
ρυκα· τῆς τοιαύτης ἠ
ξίωται χάριτος· τὰ γὰρ
ἐπὶ τέλει πᾶσι συμβαί
νοντα· πρὸ τέλους οὗτος
μεμυσταγώγηται· καὶ πολ
λάκις ἠρμένος ἀέριος
δέδεικται· τὸ δὲ πάν
των παραδοξότατον· ὅ
τι τὸ σῶμα μὲν εἶχεν κάτω·
τὸ ὕψος δὲ τοῦ ἀέρος· τὸν
νοῦν μετέωρον ἔφερεν·

ὅτε δὲ καὶ τοὺς κοσμοκρά
τορας δαίμονας ὑπ' ἀνδρα
μανίας ἐχθρούς· λύκους
τε τοῦ λόγου μαστίγων χα
νόντας τῶν ἀμπέλων τοῦ
υἱοῦ εἰργάσατο· ἔστι γὰρ
ἂν καὶ ἐπιβλάψιμον τῆς
ἁγίας ἐκείνης καὶ μακα
ρίας τυχεῖν; ὅπου γε καὶ
μικρά τις πονῶν· τὴν
θείαν ἔχων φιλανθρω
πίαν συναιρομένην· ὑ
πὲρ τέρας αὐτῶν γίνεται·
καὶ δικαίων χοροῖς ἐνα
ριθμεῖται καὶ συναγά
λεται· ἀλλ' ἐκεῖνος· αὐτὸς
μὲν ἔσχε θεοφιλῶς· ἀ
ληθῶς ἀφθῆ τοῖς λα
μπρὸν λόγον ἐθέλουσιν· ἡ
μῖν δὲ τοῖς ἁμαρτωλοῖς·
ἐν σκότει πορευομένοις·
οἷς καὶ σάρκας ἐστὶν ἂν
ὁ θεὸς τῆς αὐτοῦ δούλους
σαρκὸς χρηματίζοντας
τὰς αὐτοῦ ὑποθήκας καὶ
παραινέσεις ὡς λαμπὰς

Τελ

κατὰ τῶν μαρτύρων παλαιῶν
ἀποστολικῶς· ταύταις δὲ
πειθαρχοῦντες φαιμοί-
μεθαι τῆς αὐτῶν τυραν-
νίδος ἀμφότεροι κατὰ τὸ
κεῖμον δειχθείημεν·
Καὶ τοῦτο δὲ τοῦ μεγάλου
τοῦ δὲ πρὸς ἀντικρὺς
χάρισμα· ἐνόρει γὰρ δι-
αιτώμενος· εἴ που πέ-
τρων ὑψηλῶν καὶ θεί-
ων μαθεῖν ἐπόθει τινός.
τὴν πρόνοιαν εὐθὺς
ἐναργῶς εἶχεν ὑπὸ δὲ
κρύσαν αὐτῷ τοῦ πο-
θουμένου τὴν δήλωσιν·
ὥστε καὶ θεοδίδακτον
εἶναι· καὶ μηδενὸς τῶν
θεϊκῶν χαρισμάτων
ἀμέτοχος· ταῦτα δὲ
παρὰ ἄκοντος αὐτοῦ· οἱ
τούτῳ φοιτῶντες τῶν
ἀδελφῶν· κατέμαν-
θανον πυνθανόμενοι·
ἐκεῖνος γὰρ πολλοῦ δὲ
δεῖ τοῖς τοιούτοις ἐγ-
καλλωπίζεσθαι· διὰ
μετριοφροσύνης ὑπερ-
βολήν· ἀλλὰ καὶ ἀπαντα-
χῶν ἐκφαίνειν αὐτὰ
τοῖς μανθάνειν σπεύ-
δουσιν. οὐδαμῶς πα-
ρῃτεῖτο· μὴ κἂν τούτῳ
δοξάζεσθαι παρ' ἀνθρώπων
βουλόμενος· οἷον δὲ
Καὶ τὸ ἦθος αὐτοῦ γαληνόν
τε καὶ μέτριον καὶ τα-
πεινοφροσύνῃ κοσμού-
μενον· ἔξον τοῦτο μα-
θεῖν· εἴποτε γάρ τις
αὐτῶν τῶν ἱερωμένων
παρέβαλεν· ἐπισκόπω
μὲν ὄντι καὶ πρεσβυτέ-
ρῳ· τὴν κεφαλὴν ἑτοί-
μως ὑπεῖχεν· εὐλογίας
ἀξιῶν μετέχειν τῆς πα-
ρ' αὐτῶν· διακόνοις δὲ
πρὸς αὐτὸν ἀπαντῶσι·
τὰ πρὸς ὡς ἀδελφοὺς ἀμε-
διελέγετο· τοῖς δὲ τῆς
ἀρχῆς· αὐτοῖς ἐπιτρέπειν
ἐβούλετο· ἀλλ' οὐδὲ

μανθάνειν ἐστὶν ἠδεῖτο· καὶ ὁ
φθέγγεσθαι πολὺ διεστήμε
το· εἴτιμος τῶν θείων
ἐπακροᾶσθαι τούτων συ
νέωμεν· τὸ δὲ τοῦ προ
σώπου ἐπίχαρι· καὶ πλή
θεσμὸν χρόνων συνωμόνται·
πολλοῖς οὐκ εἰδοῦσι πρό
τερον· γνώριμον καθί
στη καὶ ἀξιάγαστον· τὸ τῆς
τύχης γὰρ κατάστημα·
πρὸς τὴν μορφὴν αὐτὴν δι
ϊκνούμενον· ἱλαρὰν αὐ
τὴν ἐπιθεὶς καὶ οὕτως χα
ρίεσσαν· καὶ τοῦτον αὐτὸ
εἶναι τοῖς μήπω τεθε
αμένοις· ἐδήλου παρα
δοξότατον· τὴν δὲ ποιεῖ·
τί χρὴ λέγειν· ὅσον ἐκόσ
μει τοῖς ἀσυνέτοις δό
γμασι καὶ τοῖς ῥήμασι·
Τὸ πάντων δὲ τούτων και
νότερον· ὅτι γράμμασι
οὐδὲ ὀλίγα προσχών.
τοῖς ἐπιμαρτύρεσθαι του
τοις ἐθέλοντας ἐπετρό
μιζεν· ὅτε δὴ καὶ τὸν
μόνων αἴτιον τῶν γραμ
μάτων ἐστερῶν· τοῖς ἀσο
φοις ἐκείνοις φιλοσό
φοις θαυμάζοντας ἐ
ξαποστέλλειν· ἅμα καὶ
τὴν μυστηρίαν ἑλλήνων
θρησκείαν· τῇ παραθέσει
τῆς καθαρᾶς τῶν χρι
στιανῶν πίστεως. μυκτη
ρισμὸν καὶ χλεύην ἐπιθέσθαι·
Καὶ τῷ σταυρῷ τοῦ χριστοῦ ἐγκαυ
χώμενος. κατὰ τὸν παῦ
λον τὸν μέγαν ἐνδείκνυ
το· καὶ τοῖς αὐτοῦ λόγοις.
τοῖς θαύμασι πιστού
μενος ἐθαυμάζετο·
χρήζουσι γὰρ ὡς ἐπὶ πᾶν
τῶν θαυμάτων οἱ ἄνθρω
ποι· καὶ τούτοις αὐτο
μολοῦσι πρὸς θεοσέ
βειαν· ἤδη καὶ προσ
τιθεὶς ὁ μέγας ἀντώνιος.
ἑαυτῷ προσεξένιζε τὸν
πρὸς θεὸν μαθὼν πολλα
πλάσιον· τοῖς γὰρ δόξα

ζοντας μέν φησιν ἐκεῖ-
νος δοξάζεσθαι· δόξα δὲ πά(ν)-
τως θεοῦ· τὸ πάντας ἐπι-
θεῖν ἀμοίρους μόνον τοῦτον
ἡγεῖσθαι θεόν· καὶ κατὰ τὸ
αὐτῶν ἀρεσκόμενον· ὃ καὶ
ποιοῦμεν δὴ ἐπιτελεῖ· καὶ τοὺς
ὑπὸ τῆς ἀληθείας ὁδοὺς χω-
λαίνοντας· πρὸς αὐτὴν
ἐποδηγεῖ· καὶ πάντα τρό-
πον· πρὸς τὸ τῷ θεῷ ἀρεσκό-
του· παρακαλοῦμεν δὴ ἐπιτελεῖ·
Ἐκ δὴ τούτων καὶ τῶν τοι-
ούτων· τί γὰρ δεῖ πολλὰ
λέγοντα διατρίβειν· οὐδὲ
τὸ τὸ κράτος ἐπὶ τῆς ῥω-
μαίων ἀρχῆς· ἀνήκοος
ἦν· σάλπιγγος γὰρ ὁμοίως
ἡ αὐτοῦ ἐπὶ μεγαλοφωνότε-
ρον ἀνακηρύττει μοι δέ· τὰς
αὐτῆς ἀρετάς· ὅσαι περὶ
ἐρῶ χρωμένη· τῶν μεγαρ-
σίων καὶ ὑψηλῶν τῆς αὐτοῦ
πολιτείας· ἀπ' ἄκρων
τῆς γῆς ἕως ἄκρων τὸ σέ-
βας αὐτοῖς ἐξαπλοῦσα·

καὶ τὴν ἐκ πάντων προξε-
νοῦσα τιμήν· καὶ μᾶλλον·
εἰ θέλεις ἀκοῦσαι ἐντυχεῖς·
οἵας ἔλαχε καὶ Κωνσταντῖ-
νος ὁ μέγας καὶ πρῶτος χρι-
στιανῶν βασιλέων· οὗτος
γὰρ τὴν καὶ τὰ Ῥωμαίων
κράτη· οὐκ ἔφει μόνον
βασιλικῶν· ἀλλὰ καὶ τῶν
πολλῶν λαμπροτέρων τοῦ-
του τοῦ κύκλου λέγω τῶν μαρ-
τύρων· ἐτύγχανε λαμπρυνό-
μενος· τοίνυν· φίλος ὢν
ἀρετῶν· τοῖς ἐργάταις αὐτῶν
διὰ πολλῆς ἦγε τιμῆς· καὶ
τῶν μεγάλων τούτων περὶ· γράμ-
μασιν ἀτύχοις· ἀσκίμου
μένοις χείλεσι προσεφθέγ-
γετο· πατέρων καὶ τοῖς υἱοῖς·
ταὐτὸν τοῦτο ποιεῖν· μικρὸν
γὰρ ὄντως ἡγεῖτο τὴν βασι-
λείαν· καὶ οὐδὲ λόγου τοῦ
τυχόντος ἐπάξιον ἢ πρὸς
κτῆσιν ἀρετῆς καὶ τῆς περὶ
αὐτῶν μνήμης τὸν μεγάλων τιμῆς·
ἀλλ' ἐκεῖνος ταῖς βασιλεῖ-

οἷς ὅτι σχολαῖς ἄχθεσθαι μᾶλ-
λον ἢ οὐκ ἀγάλλεσθαι τῷ
περιόντι τῆς ταπεινώσε-
ως· ὅπερ δὴ καὶ τοῖς εἰσ-
μοῖς βεβαμμένοις λόγοις
τούτοις· προσφωνεῖ τοῖς
ἀδελφοῖς· μὴ θαυμάζετε
λέγων· ἐὰν ὡς ἀσιλεὸς ἡμῶν ἐν-
τυγχάνει γραφαῖς· ἀλλ' ἐπὶ
τούτῳ μᾶλλον θαυμάζετε·
τὸ ὑμῖν λαλῆσαι τοῖς ἀ-
μοῖς θεοῦ· καὶ μόνον αὐτοῖς
δοῦναι· καὶ τρόποις ὑπο-
θεῖναι· σωτηρίοις δι' ὧν ζω-
ῆς· ἀντιβάλλετε δὲ τοῖς
κρατοῦσιν· ἐκκλη παρου-
των τῶν ἀδελφῶν· οὐχ ὡς
ἄν τις ὑπολάβοι τοῦ τι-
μᾶν ἑαυτόν· τῶν πενήτων
δὲ παραινῶν προνοεῖν·
ἐς τῆς τῶν ὑπηκόων προ-
μηθείας· ὑποτιθέμενος μὴ κα-
ταφρονεῖν· βασιλικῶς τε
διδάσκων ζῆν· καὶ ὅλως
θεοφιλῶς· οὐ βασιλεῦσι
δὲ μόνον· ἀλλὰ καὶ τοῖς κα-

τ' αἴγυπτον ἄρχουσι τοῦ δι-
καίου παραινεῖ ποιεῖσθαι
λόγον· καὶ μὴ τὰς κρίσεις
δεκάζειν· ἢ πρόσωπα
λαμβάνειν· διδάσκων· ὡς
ὧν κρίνουσι· κριθήσονται
κρίματι· τὴν δὲ πρὸς
τοὺς ὁμολογητὰς χριστοῦ καὶ μάρ-
τυρας αἰδοῖ συγκρατοῦν θε-
ραπείαν· ὡς δὲ τῆς ὑπηρεσίας
αὐτοῦ· τίς δ' ἰσχύσει διαλα-
βεῖν· ὅτε γὰρ μαξιμῖνος
ὁ δυσσεβής· τὸν καὶ τὰ τῶν
ἐθνικῶν ἀνερρίπιζε δό-
γμαν· αὐτὸς τὸ ὄρος καὶ τὴν
ἡσυχίαν ἐκλελοιπώς· πρὸς
τὰς κωμοπόλεις ἀγόμενος·
τοῖς καθειργμένοις τῶν ἀ-
θλητῶν ὑπηρέτει· προθυ-
μοτέροις τε τούτοις ἐτέλει·
πρὸς τὸν περιτυχῆσαν ἀγῶνα
καὶ κίνδυνον· ὑπερευλογουμέ-
νοις μὲν καὶ μαστιγουμέ-
νοις· θείοις λόγοις ἀμφοῖν
καὶ ἀμαχητώτατος· τέλει-
ουμένοις δέ· τοῖς προσπεμ-

πηρίοις λόγοις ἀφθόνως
ταῦτα χαριζόμενος· εἰ δὲ
μὴ χάριν πολλῶν· ὁ θέλων
πάντας σωθῆναι· τοῦτον
διεφύλαττε κύριος· καὶ πό-
νοις ἀναθλητικοῖς· ἀ-
σκητικοῖς ἱδρῶσιν ἀνέμι-
ξεν· οὐδὲ γὰρ κεκρυμμέ-
νος ἰῦ χῦ μαθητής· ἀλ-
λὰ καὶ αὐτοῖς δήπου τοῖς
τῶν εἰδώλων θεραπευταῖς
ἐγνωρίζετο· παρὼν καὶ
ἀπαλειφόμενος ἤδη δὲ
δηλοῦται· τοῖς τὸν δρόμον
τοῦ μαρτυρίου ἀνύονται·
Τάχα πέρα τοῦ καθήκον-
τος ἡμῖν ὁ λόγος προέβη·
Καὶ δεῖ πάντως αὐτῷ τέ-
λος ἐπιθεῖναι· τὸ τῆς ζω-
ῆς τέλος τοῦ θεοφόρου
τούτου προσ· τὸ κατὰ
τὸν ἀστρατήγητον τὸ φρό-
νημα στρατηλάτην πρό-
τερον εἰπόντας ιαλά-
κιον· ὁ δὲ γὰρ τοῖς ἐσε-
βοῦσιν ἐπιφορώτατος

ἦν· τοῖς δ᾽ ἴσως εὐμενέσι μάρ-
αμοῖς χαριζόμενος· ὡς
τῆς αὐτῆς ὁ φασὶ κεραμεύσας·
ἄνδρας οἵους ἁγίους· καὶ τῶν
θεῶν καθιερωμένοις γυ-
μνῶν· ποικίλαις κολάσε-
σι καθυπέβαλε· καὶ οὐδὲ
παρθένον αἰδῶ καθυβρί-
ζειν ὁ ἀναιδὴς κατῃσχύνε-
το· ἀποδύων γὰρ τῆς ἐσθῆ-
τος τὰς τὸν χν̄ ἐν-
δεδυμένας· ἀπάνθρω-
πος ᾔκιζέ τε καὶ λίαν κα-
κῶς ὁ κακὸς διετίθει· ὅτε
δὴ καὶ πρὸς τοῦ μεγάλου
πρσ̄ τὴν καταληψομένην
ὀργὴν ἐπιστολῇ διδαχθεὶς
καὶ τῆς κατὰ τῶν ὀρθο-
δόξων παροινίας λῆξαι
ἐπιτραπείς· αὐτὴν τὸ-
τὴν ἐπιστολὴν διασύρων ὁ
κατάπτυστος· καὶ εἰς ἔ-
δαφος ἀφανῶς ἀτίμως· τὴν
κόμην δὴ τιμίαν ἀποῤῥί-
ψεν· ἀποστείλας· ἡμῶν
αὐτὸν τὸν μέγαν ἀντώνιον.

ὡς τῶν μοναχῶν προμηθού-
μενον μετελεύσεσθαι· ἀλ-
λ' ἡ θεία δίκη· οὐ μέμου ὢ· οὐ
κ' εὐρᾳδίως· δι' ὀλίγου τοῦ
τον ἱπποθυτομως προσή-
κον ἦν· ἀποδείξασα· ὡς
ἂν μὴ κατὰ τῆς ἀρετῆς ἡ κα-
κία ὁπλίζηται· μηδ' ἄπρε-
πτος οὖσα καὶ ἀτιμώρητος·
ἐπὶ τὸ χεῖρον προκόπτοι·
ἀλλ' ὁ μαλάκιος μέν· ὁ καὶ
τὴν ψυχὴν νεκρὸς χαλε-
ποῖς ἱππουδήγμασιν· ἀ-
θλιώτατα τὸν βίον κατέ-
στρεψεν· ὡς ἂν τῶ μιος ὁ μέ-
γας αὐτῷ προηγόρευσεν·

Ὁ δὲ Χριστὸν ζηλώσας οὗτος μᾶλ-
λον δὲ ζῶν τῷ Χριστῷ· ἐν αὐ-
τῷ κατὰ Παῦλον δείξας
τὸν θεῖον ἀπόστολον· οὐ
δὲ τὴν οἰκείαν ἠγνόησε τε-
λευτήν· πῶς γὰρ ὁ τὴν ἑ-
τέρων πολλάκις καὶ προϊδὼν
καὶ προειπών· δι' ὑπερβολὴν ἁ-
γνότητός τε καὶ καθαρότη-
τος· ἦς γὰρ τὸ ὄρος τὸ ἐξ...

πρὸς ἐπίσκεψιν ποτὲ τῶν
ἀδελφῶν ἀφικόμενος·
παρὰ τὸ εἰθισμένον· τὴν
πρὸς τὴν ἔρημον ἐπιστροφὴν
ἐπετάχυνεν· ἐπισχόντων
δὲ τοῦτον αὐτῶν· καὶ τὴν
αἰτίαν πυνθανομένων
τῆς ταχινῆς αὐτοῦ δια-
τάξεως· καὶ τὴν τελευ-
ταίαν αὐτοῖς ἀριδηλότα-
τα προεμήνυσεν· ὁ καὶ-
ρὸς ὢν τὸ κμαει ποὸν τῆς
ἐμῆς ἐφέστηκε πρὸς θεὸν
ἐξαναλύσεως· ἀλλ' οἵας
καὶ πρὸς τῷ τέλει γενόμε-
νος ἀρετῆς ὑποθήκας
τοῖς μοναχοῖς ἐπετίθετο·

Καὶ οἵας διατιθεὶς ἀγαθὰς
διαθήκας ἐφαίνετο· προ-
σήκει διαλαβεῖν· ἐκεῖνοι
μὲν· ἐν κοπετῷ καὶ κλαυ-
θμῷ· τὸν τελευταῖον ἠσπά-
ζοντο· οὗτος δὲ ὡς εἰς
πατρίδα ἐξ ἀλλοδαπῆς ἀ-
παίρων· χαίρειν ὑμᾶς αὐτὸς·
χαίρων αὐτοῖς διελέγετο·

καὶ παρήνει τὰ δέοντα·
μὴ ὀλιγωρεῖν παραγγέλλων
τὸν νόμον· μηδὲ μαλα-
κίζεσθαι πρὸς τὴν ἄ-
σκησιν· ἀλλὰ μελέτην
θανάτου ὅλον τὸν βίον
τίθεσθαι· τοῦτο γὰρ ἔλε-
γεν ἀληθοῦς εἶναι φιλο-
σοφίας· καὶ τῆς πρὸς θεὸν
νεύοντος γνώρισμα· δι'
οὗ καὶ ἁμαρτιῶν πάντων
ἀπέχεσθαι δύνανται· οὐ-
δὲ γὰρ τῶν ἐσχάτων τις μι-
μνησκόμενος· ἁμαρτῆσαι
δυνήσεταί ποτε· κἀ-
κεῖνα δὲ προσετίθει τὰ
μείζω καὶ τελεώτερα·
τοῖς ἀγαθοῖς ὁμόνοιαν ἀλλήλοις ζη-
λοῦν· καὶ τὴν αὐτῶν ἀνδρεί-
αν· πρὸς τοὺς ἀντικαθι-
σταμένους ἡμῖν δαίμονας
ἐνθερμίζεσθαι· αἱρετι-
κῶν τε πάντων ἀποσχοι-
νίζεσθαι· καὶ τῆς πρὸς
αὐτοὺς κοινωνίας μα-
κρύνεσθαι· φυλάττειν

τε τὴν τῶν θείων πατέρων
διδασκαλίαν· καὶ πρὸ πάν-
των τὴν ὀρθὴν πίστιν καλ-
λωπίζεσθαι· ἣν πολλά-
κις φησὶ παρ' ἐμοῦ ἐδιδά-
χθητε· καὶ ἐκ τῶν θείων
γραφῶν πρὸ ἐμοῦ μεμαθή-
κατε· ταῦτα καὶ πολ-
λὰ ἕτερα τῆς αὐτῆς ἐχόμε-
να διανοίας ὁ καλὸς τοῦ
συμφέροντος τῶν ψυχῶν
οἰκονόμος τελευταῖον ἐ-
πισκήψας τοῖς ἀδελφοῖς·

Πρὸς δὲ καὶ συνταξάμενος·
τὸ ἐνδότερον κατέλαβεν
ὄρος· καὶ μετ' οὐ πολὺ· νό-
σος σωματικὴ· περιέσχεν
αὐτόν· ἔχων δὲ παροῦσαν
ὅσον οὔπω ἐγγὺς τὴν
τελευτήν· τοῖς διακονουμέ-
νοις αὐτῷ διὰ τὸ γῆρας ἀ-
δελφοῖς· ἱκανὸν ἤδη χρόνον
δύο τυγχάνουσιν μετακα-
λεσάμενος· ἐκεῖνα ἐπι-
τίθησι ποιεῖν· ἅπερ καὶ τοῖς
ἐν ὄρει τῷ ἔξω παρηγγύη

τοῖς ἀδελφοῖς· ἐπέσκηψε δὲ
μηδενὶ συγχωρῆσαι τὸ ἅγιον
αὐτοῦ σῶμα λαμβάνειν εἰς Αἴ-
γυπτον· ἀλλὰ καταθέντας
αὐτόθι καὶ κρύψαντας ὑπὸ
γῆν· φυλάττειν μηδενὶ τὸν
τόπον γνωρίσαντας· καὶ
γὰρ Αἰγυπτίοις ἔθος τὰ τῶν
ἁγίων ἁπάντων σώματα
μὴ κρύπτοντας ὑπὸ γῆν
μετὰ θάνατον· ἀλλὰ τοῖς
εἰωθόσι σκευάζοντας εἰς
τὸ διαρκεῖν· παρ' ἑαυτοῖς
κατέχοντας· οὗ χάριν· πολ-
λὰ τούτοις ἐπιτιμῶν οὐκ ἀ-
νῆκε· μαχόμενος ἄντικρυς
τῇ δεσποτικῇ ἀποφάσει· τῇ
δ' εἰληφούσῃ· καὶ εἰς ἡμᾶς
ἀποβολάς· οὕτως εἰπών·
Καὶ ταῦτα τοῖς ἀδελφοῖς
ἐπιτρέψας· τοῦ τῆς διαφα-
άστως μετάδοξως κεμάσσασμοῦ·
Καὶ πόδας ἐκείνους ὁ ζάραξ·
τοὺς ἐκ πρώτης ἡλικίας
τὰ κατὰ ψυχὴν ἀνύσαντας
διαυλήματα· οἷς καὶ ὡραίους

ἔστιν εἰπεῖν κατὰ τὸν προφή-
την καλόν· ὡς πολλοῖς εἰ-
ρήνην εὐαγγελισαμένοις
καὶ ἀγαθά· ὥσπερ συνή-
θεις καὶ φίλους τοὺς ἐπ' αὐ-
τὸν ἐλθόντας ὁρῶν ἀγγέλους·
χερσὶν αὐτῶν ἁγίαις· ἁγίως
παρέθετο· τὴν ἁγίαν αὐτοῦ
καὶ μακαρίαν ψυχήν· ἤδη
δὲ πρὸ τοῦ διαζευχθῆναι
τοῦ σώματος· τοῖς οὐρανί-
οις ἐντρυφᾶν θεάμασί
τε καὶ κάλλεσι· τὸ δὲ τούτου
σῶμα τὸ καθαρόν τε καὶ
τίμιον· χερσὶ περισταλὲν
ὁσίαις τῶν ἀδελφῶν· πα-
ρεδόθη ταφῇ· ὅλον ἄρτι-
ον· ὅλον σωστικός· ἄσι-
μες ὅλον· καὶ μόνην τὴν ταφὴν
θάψειν ἐπιστάμενον· ὃς καὶ
τῇ ζωῇ τοῦ μεγάλου περι-
όντος πρός· οὐδέποτε τοῦ
περὶ τὴν ἄσκησιν μήτι τῇ θη-
σαυτὸ μονιοῦ θόλοσάπο
μονήσαμε· καίτοι τοσαύτῃ
χρωμένου σκληραγωγίᾳ

τοῦ μάκαρος· ὅσῳ μηδὲ καὶ
τοὺς πόδας ὕδατι ἀπονί-
ψασθαι· ἡμεῖς μὲν οὖν·
τοῖς εἰρημένοις ἤδη
περιγράψαι τὸν λόγον
προθυμούμεθά τε ὁμοῦ
καὶ βουλόμεθα· κατὰ
τὸ μικρὸν πρόσθεν ὑπο-
σχόμενοι ὑμῖν· ὁ δὲ
τῶν ἀκουόντων θερμὸς
βιάζεται τοῦτον συγκρί-
ναι τε καὶ παράλληλα
θεῖναι· τοῖς ἀρετῆς ἐ-
ρασταῖς· καὶ τὸν ἔπαινον
εἰς δύναμιν ἐξυφᾶναι·
ὃ δὴ καὶ ποιοῦσι μὴ μι-
κρὸν ἐπὶ τὰς ἀκοὰς
χαρίσασθαι προθυμη-
θῆτε· οὐδὲ γὰρ βλάβην
οἶδα τὴν περὶ τὴν ἀκρό-
ασιν ἡ ἀσχολία φέρει·
ἀλλὰ δὲ μᾶλλον ἀνερήσετε·
Οὗτος τοίνυν ὁ μέγας καὶ
ἀκριβὴς διδάσκαλος τῆς
ἀσκήσεως· τοῖς μεγάλοις
ἐκείνοις· ἠλιοῦ τε

τοῦ θεσβίτου· καὶ τοῦ χ(ριστο)ῦ προ-
δρόμου καὶ βαπτιστοῦ ἰωάν-
νου· κατ' ἴχνος ἐβάδιζεν·
καὶ ὅπως· ὁ λόγος σαφῶς
γνωριεῖ· ἡλίας πυρὶ τρε-
φόμενός τε καὶ πυργα-
μούμενος κατ' αὐτὸν ἐφά-
νη τὸν καιρὸν ὃν τῆς μητρι-
κῆς νηδύος προῆλθεν
εἰς φῶς· καὶ ἡλικίας τε-
λείας ἀντάμενος· τιμωρὸς
ὑπῆρχε τῶν ἀσεβῶν· ζη-
λωτὴς τοῦ θ(εο)ῦ καὶ καλούμενος·
Ὁ δὲ μέγας ἀντώνιος· πυρὶ
μὲν οὐδαμῶς· ὕδατι δὲ καὶ
πν(εύματ)ι ἁγίῳ ἐξ ἁπαλῶν ὥσπερ
τῶν ὀνύχων θαυμαστῶς ἀ-
ναγεννηθείς· οὐ πυραγωγηθείς·
τροφὴν ἔσχεν ἀδάπανον
τὸν θεῖον ἔρωτα μόνον· ἡλίας
ἐν πυρὸς σχήματι εἰς τὸν οὐ-
ρανὸν ἀνήχθη φρικτῶς ἅρ-
ματι πυρίνῳ καὶ ἵπποις αἰ-
ρόμενος· καὶ οὗτος· ἄχρις
αὐτῶν τῶν οὐρανίων ἀψίδων·
μόνῳ ἔρωτι δὲ ἀναβέβηκεν· ὅτε

καὶ τὰς τῶν ψυχῶν ἀναιδεί-
ας κατεῖδε σαφῶς· καὶ
τὸ φρικτὸν ἐκεῖνο κατέ-
μαθε λόγον θεῖον· Ἠλίας.
ζῆν μὲν ὅς ἔτι πιστεύεται· ἀλλ' οὐ
δὲ οὗτος νεκρὸς ὑπάρχει
παντάπασι· θεῷ γὰρ ζῆν
πάντας τοὺς κατὰ θεὸν ζή-
σαντας· ὁ τῆς θεολογίας
ἔφη ἐπώνυμος· καὶ ἵνα
μὴ τὰ καθ' ἕκαστον λέγω· Ἠ-
λίας· ἄνδρας ἀνομοῦντας
ἀπέκτεινεν ἐνδικώτατα·
ὁ δὲ· τοὺς ἀνόμων ἀσπόνδους
ἐχθροὺς· τὰ τῆς πονηρίας
δηλαδὴ πνεύματα· παντε-
λῶς ἐξ ἐμβρύου· καὶ τὴν
αὐτῶν καθεῖλε τελέως
ἰσχύν· οὐδ' ἑαυτοῦ μόνον·
ἀλλὰ καὶ διὰ πάντων τῶν
κατὰ ζῆλον τούτου καὶ
μίμησιν· τὸν ἀσκητικὸν
βίον ζῆσαι προελομένων·
ὥστε· οὐ πρὸς καιρὸν τοὺς
κακοὺς ὀλίγον κατὰ τὸν μέ-
γαν Ἠλίαν· εἰς πολλὰς δὲ·

καὶ μέχρι τῆς συντελείας
αὐτῆς· τοὺς ἐργάτας τῆς κα-
κίας τιμωρούμενος δείκνυ-
ται· διὸ δὴ καὶ συνώνυμος
τοῦ προφήτῃ, εἰκότως
ἂν ὑπάρχοι καὶ λέγοιτο· ὁ
δὲ γὰρ τῆς προφητικῆς ἀ-
μοιρῶν ὤφθη χάριτος· ὡς
ὁ λόγος μικρῷ πρόσθεν ἐγνώ-
ρισεν· τῷ δὲ μακαριστῇ
Ἰωάννῃ· καὶ στολῇ καὶ τρο-
φῇ καὶ διαίτῃ καὶ πᾶσι τοῖς
ἄλλοις οὐ παρόμοιος ἐστὶν
ὁ μακάριος; πάνυ μὲν οὖν·
Ὡς εἰς κανόνα γὰρ καὶ στάθ-
μην ἀκριβῆ· τὸν ἐκείνου
βίον ἀεὶ καθορῶν· πρὸς
αὐτὸν ἀποβλέπων ταῖς ἰ-
δίαις τρίβοις ἐφαίνετο·
καὶ τὴν ἔρημον ἣν αὐτὸς
ᾤκησε παρ' ὅλον τὸν βίον·
πόλιν οὗτος τῷ πλήθει
τῶν ἀσκητῶν ἀπειργάσα-
το· τὸν ζήσαντα τοῖ-
μῶ κατ' αὐτοὺς δὴ τοὺς
μεγάλους· καὶ πρὸς τοὺς

252

τρόπους αὐτῶν· τοῖς ἰδί-
οις ἐξακριβῶσαι θελήσα-
ντα· ὅτι μὴ τῶν ἄλλων ἀσκη-
τῶν παρατίθεμαι καὶ συγ-
κρίνειν βουλόμενος· οὐ
κἀγὼ γε οἶμαι κρίσεως ὀρ-
θῆς ἔχων φανεῖται· κἀκεί-
νοις γὰρ οὗτος διδάσκαλος
χρηματίσας τῆς ἀσκήσε-
ως· Παύλου μόνου χω-
ρίς· ὃς θηριῶν ὁρμητοτῶν
καταγώγιον· ὡς καὶ ὑπο-
πλακίοις ἡ ποίησις ἡμῖν
παραδίδωσιν· οὗτος
γὰρ χρόνοις μὲν ὅλοις ἑ-
ξήκοντα κατὰ τὴν ἐσω-
τέραν ἔρημον ἤσκησε· καὶ
πρῶτος ἐφευρεῖν τὸν μο-
κοινων ἢ τὸν βίον πεπίστευ-
ται· αὐτόν τε τὸν θεῖ-
ον Ἀντώνιον θείᾳ προ-
νοίᾳ τεθέαται· καὶ τού-
τῳ λόγων μεταδοῦναι καὶ
λαβεῖν ὡμολόγηται· ἀλ-
λὰ καὶ οὗτος ἐμοὶ δοκεῖ·
αὐτῶν τῶν πρωτείων ἐ-

δέ ὡς ἂν παραχωρήσειε·
ἐπιτρέχομεν· ἑξήκοντα ἔτεσι·
ὁ δὲ μέγας Ἀντώνιος πολ-
λῷ πλείοσι τὴν ἄσκησιν πα-
ρατάγμασι γνωρίζεται· ἐπὶ δὲ
τι κόρακα τῆς τροφῆς ὁ μα-
κάριος Παῦλος κατὰ τὸν
ἐν προφήταις ἐπίσημον Ἠ-
λίαν ἐπλούτησεν· ἀμφὶ
συντεταγμένων Ἀντωνίῳ τῶν πρώ-
των πολλοῖς νομισθήσεται·
τοῦτο δὴ ἐννοεῖν· ὡς καὶ
Ἀντωνίῳ· τοιούτους ἡ πρό-
νοια τῆς τροφῆς ὑπηρέτας
ἀνέδειξεν· οἷς ἄνω ὥρος
μὲν ὁ σκοπός· ὁ δὲ τρόπος·
ὅμως· καὶ τὸ ἦθος αὐτοῦ· ἀρ-
παγὴ καὶ λῃστεία· τὸν ὅλον
βίον συνῶν· ἢ γὰρ οὐ τοιούτοις
οἱ τῆς ἀρετῆς ἐπὶ χρήμασι χαί-
ρουσιν; οὗτοι γοῦν· οὐ κάρ-
πον μόνον Ἀντωνίῳ φέρον-
τες ἐγνωρίζοντο· ἀλλὰ καὶ
τύχης μᾶλλον βελτίωσιν·
παρ᾽ αὐτοῦ λαμβάνοντες
ἀνηλλάττοντο· τὸ δὲ μέγ-

τὸν καὶ πάντων ἀνθρώπων πρῶτον·
ὅτι καὶ Παῦλον αὐτὸν δι' Ἀν-
τωνίου τοῦ θείου ῥήμασιν
ἀθεάτοις ἡ πρόνοια πᾶσι
ἀνθρώποις γνώριμον ἔθετο· καὶ
τοῦτον καὶ ἐκεῖνον· διὰ τοῦ
κόρακος θρέψασα· πάντ-
των τοιγαροῦν τῶν μετ' αὐτὸν ἀσκη-
σάντων ὁ μέγας Ἀντώνιος.
καθηγητής ἐστιν ὁμοῦ καὶ
διδάσκαλος· λάμπων μὲν
ὑπὲρ αὐτοὺς ὥσπερ ὑπὲρ πάν-
τας ἀστέρας ὁ λαμπρότα-
τος ἥλιος· ἀλλ' ὦ πρῶτον
ἀπερίτρεπτε στάθμη καὶ
πολιτείας θεοῦ συναγούσης
ἀρχηγὲ καὶ διδάσκαλε· ὦ
ἀγγέλων συνόμιλε καὶ δαιμό-
νων ἀντίπαλε· ὦ Αἰγύπτου
γέννημα καὶ καλλώπισμα·
καὶ ἐκκλησίας ἔρεισμα καὶ
ἑδραίωμα· ὦ πᾶσι πάν-
τα γενόμενος κατὰ Παῦ-
λον τὸν μέγαν· ἵνα πάντας
σώσῃς θεῷ· μὴ τῶν παρόν-
των δέησιν τῇ πίστει δὲ προσευχῶν.

ἀσμενέστατα τοῦτον δ' ἔ-
χοιο· θερμῶς ἐν πᾶσι· κἂν
τούτῳ μιμούμενος· ὃς δὲ
τὴν ἀξίαν τοῦ διδομένου·
τῇ διαθέσει δὲ τοῦ καρπο-
φοροῦντος· μετρεῖ ὡς ἀγα-
θὸς τὴν ἐπίδοσιν· καὶ δε-
χόμενος τοῦτον· τὴν συμμέ-
τροις χάριν ἡμῖν· καὶ ἀνα-
λήψῃ ἡμῶν τῶν πιστῶν· πάντα
τὰ κατὰ γνώμην καὶ θέλησιν·
Μακαρισμὸν τὸν ἄνω· καὶ δόξαν
αἰώνιον· Ἱλασμὸν ἁμαρ-
τημάτων καὶ ἀπολύτρωσιν·
Χαρὰν ἐκείνην τὴν πάντα νοῦν
ὑπερέχουσαν· Ἀγήρω τε ζωὴν
καὶ τρυφῆς θείας ἀπόλαυσιν·
Ἣν τοῖς αὐτοῦ φίλοις ὁ δεσπότης
ἡτοίμασε· Λαμπάδας ὥσ-
περ κοσμήσασι ταῖς ψυχαῖς·
Πάσαις ταῖς ἀρεταῖς· ἃς ἐν-
δυναμοῦσι· τοῦ ἐν νυμφῶσι
γάμου ἐπάξιον· οὗ καὶ ἡμᾶς
ἀπολαύσαιμεν· χάριτι καὶ φι-
λανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ
δόξα καὶ τὸ κράτος· εἰς τοὺς αἰῶνας·
ἀμήν +

254



+ Βίος καὶ πολιτεία τοῦ
ὁσίου π(ατ)ρ(ὸ)ς ἡμῶν καὶ ὁμο-
λογητοῦ Ἀθανασίου ἀρ-
χιεπισκ(ό)π(ου) Ἀλεξανδρείας:-

Ἄλλοι μὲν ἄλλα τῶν μακα-
ρίων ἀνδρῶν ἐπισημήνων-
ται· πρὸς ἀρετῆς ὑπόδειγ-
μα καὶ ζῆλον· τοῖς φι-
λοθέοις διηγείσθωσαν· ἀ-
πὸ γὰρ τοῦ σωφρόνως μὲν μιμεῖ-
σθαι τῶν φιλαρέτων· ἀ-
ρετὴν προσγίνεσθαι πέφυ-
κεν· ἐγὼ δὲ ἣν πασῶν
ἀρίστην κατὰ θεὸν πολι-
τείαν οἶδα· ἀνέφικτον
μὲν οὖσαν πρὸς μίμησιν·
κἂν ἐκ τῶν ὀλίγων δὲ ὅμως κα-
τορθωθῇ· οὐκ ἐλάχιστον ἡ-
μῖν κέρδος παρεχομένην·
Ἀθανασίου φημὶ τοῦ με-
γάλου· ταύτην ὥσπερ τι-
να στήλην ἀρετῆς ἔμψυχον
καὶ ἀθάνατον· γνώριμον
πᾶσι καταστῆσαι πειράσομαι·

Ἀνδρὸς γὰρ τοιούτου ὡς ὃς
τοσαύταις μὲν διὰ τὴν πλη-
γέντος ταῖς συμφοραῖς· το-
σαύτας δὲ μετὰ πολλὰς ὑπο-
στάντος· καὶ οὕτως αὐτὰς
ἀλλεπαλλήλοις καὶ ἀγχιστρό-
φοις· οὐ μόνον ἱκανὸς ἔτι
ὃς ἐπολλῶς ἀκουόμενος·

θαῦμα μεθ᾽ ἡδονῆς ἐνθεῖναι
ταῖς φιλαγάθοις ψυχαῖς·
ἀλλὰ καὶ φιλοσοφίαν αὐτὰς
παιδεῦσαι· μετὰ τῆς ἄλλης
ἀρετῆς· ἐπιτηδειότατος·
Πάντα μὲν οὖν οὐ ῥᾴδιον τὰ
ἐκείνου διεξιέναι· ἐστὶ γὰρ
οὐ μιμήσασθαι μόνον διὰ
τὸ μέγεθος χαλεπά· ἀλλὰ
καὶ τῷ πλήθει διελθεῖν δυ-
σχερῆ· ὅσα δὲ καὶ ἀκοῦσαι
ὠφελιμώτερα· καὶ τοῖς
πολλοῖς τῶν ἄλλων ἐπιγνω-
ριμώτερα· Ἀθανασίῳ
τοίνυν· πατρὶς μὲν ἦν· ἡ καὶ
τὰ ἄλλα ὀνομαστοτάτη
πόλεων Ἀλεξάνδρεια· πα-
τέρες δὲ· τῶν μὲν ἄλλων
διενεγκόντες τῇ ἀρετῇ·
μόνου δὲ τοῦ παιδὸς λειπό-
μενοι· ὡς ἐκ τοῦ καρποῦ
μᾶλλον τὸ φυτὸν· καὶ τὴν
ῥίζαν ἐκ τοῦ κλάδου μα-
καρίζεσθαι· οὗ καὶ ἡ πρὸς
θ(εὸ)ν [illegible]· ἥ τε περὶ τὰ
πν(ευματ)ικὰ ἔρωτι· ἐκ παιδὸς
διεφαίνετο· ἄρτι γὰρ τὴν
τῶν νηπίων ἀμείψας ἡ-
λικίαν· καὶ οἷα πέφυκεν
αὕτη· παιδιαῖς ἀεὶ χαί-
ρειν δι᾽ ἁπαλότητα· ἔρ-
χεται καὶ οὗτός ποτε με-
τὰ τῶν ὁμηλίκων ἐπί τι-
να τῆς θαλάσσης ἀκτήν·
καὶ συμπαίζειν μὲν αὐτοῖς
παρὰ ταῖς ὄχθαις ἐδόκει·
σπουδὴ δὲ ἦν ἀληθὴς ἡ παι-
διά· τύπος τῶν μελ-
λόντων· καὶ ἀπαρχὴ τούτων·
τῆς πρὸς θ(εὸ)ν οἰκειώσεως·
Ὑποκρινάμενοι γὰρ ἐν τῇ
παιδιᾷ ταύτῃ τὸν ἱερέων
οἱ παῖδες· Ἀθανάσιον
μὲν ἐπίσκοπον δῆθεν χει-
ροτονοῦσιν· αὐτοὶ δὲ
εἰς πρεσβυτέρους καὶ δι-
ακόνους ὥσπερ ἀφορίζον-
ται· προσῆγον αὐτῷ παῖ-
δας ἑτέρους· ἔτι ἀφωτί-
στους· ὡς τὸ ὑπ᾽ αὐτοῦ βα-
πτισθῆναι· ὁ δὲ· πάντα
τελῶν ἐπ᾽ αὐτοῖς τὰ με-

νομισμένα· καὶ θαλατ-
τίοις τοὺς παῖδας βαπτίζον
ὕδατι· ἐδόκει καὶ παραι-
νεῖν αὐτοῖς βούλεσθαι·
Ὁρῶν τῆς Ἀλεξανδρέων τη-
νικαῦτα προεστὼς θεῖος
Ἀλέξανδρος· σχολὴν τότε
ἐν χερσὶν ἄγων· καί τινι
μετρίῳ διδοὺς ἑαυτὸν ἀνέσει·
πρὸς τὴν θάλασσαν ἐ-
ληλύθει· παιδιᾷ δὲ τοι-
αύτῃ χρώμενον ἰδὼν Ἀ-
θανάσιον· καὶ σφόδρα
θαυμάσας καθ' ἑαυτόν· ἄ-
γει τοὺς παῖδας ἐνθένδε·
τούτων· ὅσοις μὲν αἱ κα-
θαραὶ χεῖρες Ἀθανασί-
ου· ὥσπερ τινὰ τύπον
τῆς ἐν Χριστῷ σφραγῖδος ἐπέ-
βαλον, τούτοις καὶ αὐτὸς
ἐπιχρίει· καὶ πρὸ τῆς ἡλι-
κίας ὥσπερ τὸν μέγαν
δυσπειθές· καὶ τελει-
οῖ διὰ τοῦ βαπτίσματος·
εἰ γὰρ ἦσαν ἀμύητοι· ὡς
προείρηται· αὐτὸν δὲ Ἀ-

θανάσιον· τὸ γλυκὺ τῆς
ἀρετῆς ἄνθος· τὸ τερπνὸν
ταύτης φυτόν· ἤδη τοῖς
καρποῖς καὶ πρὸ τῆς ὥρας
βρύον τοῦ πνεύματος· παραδίδω-
σι τοῖς τοκεῦσιν· ὡς τὸ
γράμμασι τέως αὐτὸν ἐκ-
πονεῖν· εἰς ἡλικίαν δὲ ἥ-
κοντα· πάλιν τούτου προ-
σάγειν· τῇ ἐκκλησίᾳ δὲ
μᾶλλον καὶ τῷ Θεῷ· καθά-
φησι καὶ ἡ Ἄννα τὸν Σαμου-
ήλ· οὕτως οὖν Ἀθανάσιος
τοῖς θείοις ἐμμελετήσας
μαθήμασι· καί τινα καὶ
τῶν ἐγκυκλίων ἀσκήσας·
Ἤδη δὲ καὶ τὴν ἡλικίαν προ-
σηκὼς ὤν· τῷ ἀρχιερεῖ πά-
λιν ἀπὸ τῶν τεκόντων προ-
σάγεται· ὁ δὲ τοῦτον ἀσ-
μένως δεξάμενος· ᾔδει γὰρ
οἷον ἀγαθὸν ἔσεσθαι ταῖς ἐκκλη-
σίαις· τοῦ κλήρου συγκα-
ταλέγει· τὸν σύμμαχον· τοῖς
ἀγωνισταῖς· τὸν ἀριστέα· τῇ
παρατάξει· πολλὰ μὲν

ὧν ἀθανασίῳ τῶν μὲν προτέρων
πλέον ἐκτήμαται· πολλὰ
δὲ καὶ λόγων ἄξια κατορ
θώματα· ὧν οὐδὲν μὲν οὕτω τὸν
ἄνδρα γνωρίζει· ὡς οἱ πε
ρὶ τῶν ὀρθῶν δογμάτων ἀ
γῶνες· καὶ τὰ κατὰ τῆς ἀ
σεβείας τρόπαια· ἅπερ
ἀριθμεῖν πάντα ὁ ζητῶν· ἐ
πίσης ἐστὶ καὶ κοτύλαις.
ὕδωρ θαλάσσης ἀναμετρεῖν·
Ἀλλ' ἡμῖν μὲν ὀλίγα τῶν μὲν
κειμένου λεκτέον· ὥσπερ
γὰρ τὸ πάντα διεξελθεῖν ἀ
δύνατον, οὕτω τὸ πάντα
καταλιπεῖν, προφανῶς
ἄδικον· ἐλύσσα μὲν ἄ
ρειος ὁ πολὺς τὴν μανίαν·
Καὶ πᾶσαν ἐκλόνει τὴν ἐκ
κλησίαν· ἤδη δὲ· καὶ τὴν
οἰκουμένην αὐτήν· ὅρον
γὰρ τῆς κακίας οὐδένα
οὐδὲ καιρὸν ἐποιεῖτο· ἀλ
λὰ καὶ ὑπερορίαν κατα
κριθεὶς· καὶ τῆς ἐκκλη
σίας ἐκκηρυχθεὶς· ἡ χθὲς δὲ

ἡμιθνὴς ὁ δράκων γενόμενος·
ἔπαιρε τοῦ οὐρανοῦ· καὶ
τοῖς ὁμόφροσιν ἐνέβαλε
μαθηταῖς· δι' ὧν καὶ τὸν
μέγαν τὴν εὐσέβειαν κων
σταντῖνον· τὸ μέγα φρόνη
μα συναρπάσας· οὐδὲν
γὰρ οὕτως ὡς ἐλεύθερα
τύχη πρὸς δόλον ἀνύπο
πτον· τὴν ὁδὸν τῆς ὑπερο
ρίας ἀνάκλησιν πραγμα
τεύεται· ὅρκοις καὶ γράμ
μασιν ὑποφθείρας αὐτόν.
Καὶ τὸ οἰκεῖον δόγμα ἐκ
θέμενος· ῥήμασι μὲν ὑ
ψηλοῖς· ὁμοίως ἔχον τῶν ἡ
μετέρων· πράγμασι δὲ καὶ
γνώμῃ, παραπολὺ δια
λάττον· οὕτω δὲ τῶν μι
αρῶν ἐκεῖνος τὴν ἀλεξάν
δρέων ἐπὶ κακῷ τοῦ κοι
νοῦ καὶ τῆς ἐκκλησίας
καταγαμοῦντι· αὖθις ὁ στερ
ρὸς ὁ πολίτης Χριστοῦ προσ
βάλλει ἀθανάσιος· καὶ
τὸν ἀρχιερέα πρὸς τὸν

κατ' αὐτοῦ πόλεμον διε-
γείρων. ὃς περιττὸς στρα-
τηγόν. ὑπάρχων τις γεν-
ναιότατος. ἠξίωτο γὰρ
ἤδη καὶ τοῦ τῶν ἀρχιδι-
ακόνων ἀναβαθμοῦ. ἐφ' οἷς.
ἐστασιάζετο μὲν Αἴγυπτος.
ἐστασιάζετο δὲ καὶ ἡ τῶν Ἀ-
ρειανιζόντων πληθύς.
γράφονται πρὸς βασιλέ-
α. καὶ ὑποποιοῦνται αὐτοῦ
τὴν ἁπλότητα. Ἀθα-
νάσιος δὲ. οὐκ ἠρέμει.
ἀλλ' ἀντὶ Ἀλεξάνδρου καὶ
αὐτὸς. οὐκ ἔληγε τοῖς βα-
σιλεῦσιν ἐπιστέλλων. καὶ γράμ-
μασιν αὐτοὺς πλήττων αὐ-
στηροτέροις. τὴν περὶ τοὺς
σκολιωτέροις ἀκεραιότη-
τα. ὅτι τὸν ὑπ' αὐτοῦ θεοῦ
καὶ πάντων ἐκκηρυχθέ-
ντα πρῴην. πλάσμασιν
αὖθις ἀπατηθεὶς παρα-
δέχοιτο. καὶ ὅρια πρώην κι-
νοίη κατὰ τὸ γεγραμμένον
ἀκίνητα. ὅτε δὴ καὶ βα-

σιλεὺς οὐκ ἐνεγκὼν μετρίως
τὴν ἐπιτίμησιν. αὐστηρὰς
δίδωσι τὰς ἀποκρίσεις.
ἀπειλήσας αὐτοῖς καὶ κα-
θαίρεσιν. εἰ μὴ τοῖς δε-
δογμένοις ἐφησυχάσειαν.
Ταῦτα δὲ ἐποίει. τὸ μὴ δια-
σπασθῆ καὶ τὴν ἐκκλησί-
αν πραγματευόμενος. ὁ
μὲν οὖν Ἀλέξανδρος. τοι-
αῦτα σὺν Ἀθανασίῳ δεξά-
μενος γράμματα. χρόνον
ὀλίγον ἐπιβιούς. ἐν τέλει
καλῷ καταλύει τὸν βίον.
ὁ δὲ τοῦ πρόπου διάδοχος
Ἀθανάσιος. ἀξιὸς καὶ τοῦ
θρόνου γίνεται. καὶ ψήφῳ
τοῦ λαοῦ παντὸς. τὴν ἱ-
ερωσύνην πιστεύεται. μύ-
ρου τοιούτου. δοχεῖον ἀπο-
δειχθεὶς ἄξιον. οἱ δὲ
μὲν τοι τῆς ἀσεβείας
προστάται. ἐπηρμένοι αὐ-
χήματος. καὶ Ἀθανασί-
ῳ πολεμεῖν φανερῶς.
ἀνεβάλλοντο. ἔσωθεν.

ὥσπερ ὑπὸ τοῦ λαλοῦν
τος αὐτοῖς εἰς καρδίαν πο
νηροῦ λαμβάνοντες τὸ σύν
θημα· καὶ τὴν ἀδικίαν τῆς
ψυχῆς ἀναρρήξαντες· ἐπι
βουλὰς αὐτῷ πάντοθεν
ἐπισυνῆγον χαλεπωτάτας·
οὐ τοῦ θρόνου μόνον· ἀλ
λὰ καὶ τῆς πόλεως αὐτὸν
ἐκβαλεῖν τοῦτον σπεύδον
τες· ἀλλ' ἐκεῖνος· ὥσπερ
ἦν· μετὰ τοῦ Δαυὶδ ψάλλων·
ἐὰν παρατάξηται ἐπ' ἐ
μὲ παρεμβολή· οὐ φοβη
θήσεται ἡ καρδία μου· ἦρχε
δὲ τῆς πονηρᾶς ταύτης
ἐπιβουλῆς τὸ τῆς ἀσεβεί
ας ὄργανον ὁ Εὐσέβιος·
Οὗτος γὰρ ἐπελθὼν σὺν
τοῖς περὶ αὐτὸν τῷ βα
σιλέως ἀπολόγηται· πάν
τα κινῶν καὶ ταράσσων
ἦν· ὥστε, καὶ Ἀθανάσιον
τοῦ θρόνου μετακινῆσαι·
ταύτῃ γὰρ καὶ τὸν Ἀρεια
νισμὸν κρατύνειν ἐνόμι

ζεν· συσκευάζεται γὰρ ὡς κα
τὰ τοῦ ἀνδρὸς· μισθωσά
μενος καὶ τῆς Μελετίου
αἱρέσεως· Ἰσίωνά τε· καὶ
τὸν πλούσιον ἐν πονη
ρίαις Εὐδαίμονα· καὶ
τὸν ἐν κακίαις νικῶντα
Καλλίνικον· ἐγκλήμα
τα δὲ Ἀθανασίου· τὸ μὲν·
ὅτι λινῆν ἐσθῆτα τοῖς Αἰ
γυπτίοις· τῇ Ἀλεξανδρέ
ων ἐκκλησίᾳ τελεῖν ἐπα
ναγκάσειε· τὸ δὲ· ὅτι βα
σιλικὸν ἐπιβουλεύσειε
γράμμασι· τρίτον· ὅτι φι
λοχρηματίᾳ ὅτι καὶ λάρ
νακα τινὰ χρυσίου με
στὴν· πρός τινα τῶν αὐτοῦ
φίλων ἐκπέμψειε· τέ
ταρτον ἐπὶ τούτοις· ὁ Ἰσχύ
ρας παρήγετο· ἀνὴρ αἰσ
χίστων μὲν καὶ δεινότατα
εἰργασμένος· ποικίλος
δὲ τὸ ἦθος· καὶ περιτρέ
πει τὰς αἰτίας τοῖς ἐγ
καλοῦσι δεινῶς ἀμείνων· ὃς

ἱεροσολύμων τιμαῖς πλασά-
μενος· καὶ ὄνομα πρεσβυ-
τέρου περιθεὶς ἑαυτῷ·
ὅσα καὶ ἱερεὺς πράττει
ἠξίου· μαθὼν δὲ τὰ κα-
τ' αὐτὸν ἀθανάσιος· οἷος
ἐκεῖνος ἀκριβὴς ἀεὶ τῶν
τοιούτων ἐξεταστής· τὸν
πρεσβύτερον μακάριον
εἰς μαρεώτην ἐκπέμ-
πει· ἔνθα ὁ ἰσχύρας διέ-
τριβεν· ἐπιτρέψας αὐ-
τῷ· τὴν τοῦ πράγματος
ἔρευναν· ἐπεὶ δὲ φωρα-
θεὶς ὁ ἰσχύρας ἦν· καὶ
οὐκ εἶχεν ὅτι καὶ δράσει-
εν· ἀποδρὰς ἐκεῖθεν·
τὴν νικομήδους κατα-
λαμβάνει· καὶ τοῖς πε-
ρὶ εὐσέβιον πρόσεισι· κα-
τὰ μὲν ἀναισχύντως ἀ-
θανασίου· καὶ πικρῶς
αὐτὸν διαλοιδορούμενος·
Οἱ δὲ τιμῶσιν αὐτὸν ὡς ἱ-
ερέα· καὶ γνησίως ἀγαπ·
τὸν μὲν ἀποστάτην κατὰ θεοῦ καὶ
νόμων· Καὶ κανόνων ἱερῶν
ἀποδέχονται· τὸ γὰρ ὁμοί-
ως φασὶ τὸ ὅμοιον· ἄλλως
τε καὶ τὴν πρὸς ἀθανάσιον
διαφορὰν ταῖς ψυχαῖς φλεγ-
μαίνοντες· μετ' οὐ πόσης
ἂν εἴποις τὸν ἰσχύραν ἀ-
δρα περιχαρείας· καὶ τῷ
μεγάλῳ τῆς ἐπισκοπῆς
ἀξιώματι τιμήσειν αὐτὸν
ὑπισχνούμενοι· μόνον· εἰ
κατηγορίαν ῥάψειε κα-
τὰ τοῦ δικαίου· ὁ δὲ καὶ
γὰρ ἦν οὐ συσκευάσαι πρά-
γματα μόνον· ἀλλὰ καὶ συγ-
χέαι ταῦτα καὶ περιτρέψαι
δεινότατος· ἀθανασίῳ μᾶλ-
λον ἀνατίθησι τὸ ἔγκλημα·
ὡς ἄρα τῇ αὐτοῦ γνώμῃ μα-
κάριος ὁ πρεσβύτερος· τῇ
ἐκκλησίᾳ λῃστρικῶς ἐπελ-
θὼν· καθέλοι τὸ μὲν ὅλον
θέμα τοῦ θυσιαστηρίου·
τράπεζαν δὲ ἀνατρέψοι τὴν
ἱεράν· ποτήριον τε συν-
τρίψοι τὸ μυστικόν· ἔτι δὲ

ἱερὰς ὕλαις περικατα-
καύσοι· καὶ τοιαύτη μὲν
τοῦ δράματος ἡ διασκευὴ
τοῖς ἰσχυρά· ἤδη δὲ καὶ δι-
απάντων συσκευασάμε-
νοι τὴν ἐπιβουλήν· προ-
σίασι τῷ βασιλεῖ Κωνσταν-
τίνῳ· ταύτην τὴν ἐπὶ Ἀθανα-
σίου λέγοντες· καὶ εἰς τὸν
κατ' αὐτοῦ θυμὸν τοῦτον ἐ-
ξάπτοντες· οὐδὲ γὰρ τὸ σὸν
φησὶ γράμμα προσήκατο·
οὐδὲ τὴν Ἀρείου κοινωνί-
αν ἠνέσχετο· ὧν ἀκούσας
ὁ βασιλεὺς· εἰς ἀμηχανί-
αν ἐμπέπτωκε· μὴ ἔχων ὅτῳ προσ-
τεθήσεται· τῆς μὲν Ἀθα-
νασίου ἀρετῆς· πάσης ὑπο-
νοίας κρείττονος οὔσης· τῆς
ἐκείνων δὲ πάλιν διαβολῆς·
πολὺ τὸ πιθανὸν καὶ παρό-
μοιον ταῖς ἀληθείαις ἐχού-
σης· τοιγαροῦν τὴν μέσην
ἐχώρει· μήτε τοῦ Ἀθανασίου κα-
ταγινώσκων· μήτε πάλιν
ἀπογινώσκων τὴν ἐρήμην·

ἀλλ' ὅ δὴ πη τό γε τοῖς ἱεροσο-
λύμοις ταῖς γε καὶ μιᾷ ἐβου-
λεῖτο· καὶ εἰς ταὐτὸ σχε-
δὸν ἐπίσκοποι πάντες συ-
νῆλθον· κελευσθέντες κατὰ τὴν
τύρον ὁδοῦ πάρεργον γε-
νομένοις· ὥστε καὶ κατὰ τὸν
μέγαν Ἀθανάσιον ἐξετάσαι·
καὶ τὰ κατ' αὐτὸν δὲ Ἀρεί-
ου· ἵν' εἰ μὲν ὡς αὐτός φησιν
ὀρθὰ φρονῶν διὰ φθόνον
ἀπεκηρύχθη· παραδε-
χθῇ πάλιν τῇ ἐκκλησίᾳ·
Καὶ συναφθῇ τὸ μέλος τῷ
λοιπῷ σώματι· εἰ δὲ
τὸ ὅλον μὲν κημάτων ἐστὶ πη-
θὸς κλέπτουσα τὴν ἀλήθει-
αν· κατὰ τοὺς ἱεροὺς κρι-
νοιτο νόμους· παρῆσαν
οὖν ἐκ διαφόρων πόλεων
οἱ ἐπίσκοποι· παρεγένε-
το δὲ καὶ ὁ πρεσβύτερος Μα-
κάριος· ὑπὸ στρατιωτῶν
χερσὶ δέσμιος· παρῆν δὲ
καὶ αὐτὸς ὁ ἄρχων· συνδι-
κάσων τοῖς ἐπισκόποις·

παρεστηκότων δὲ καὶ οἱ συ-
κοφάνται· καὶ τὸ μὲν δι-
καστικὸν ἀμεπτύσσεστουμή-
μαι· ἐκαλεῖτο δὲ Ἀθανά-
σιος· καὶ προστάμενον· τὰ
περὶ τῆς λιμνῆς ἐθῆτος·
καὶ τῆς φιλοχρηματίας
εἰσηνέχθη διαβολή· ἀλ-
λ' ἀληθής· καὶ τοῦ ἐγκλήμα-
τος ἡ λύσις ἐπηκολούθει·
ἐλέγχουσα τὴν ἐκείνων
ἀπόνοιαν· γράμματα γὰρ
τότε τοῦ βασιλέως ἐπε-
φοίτα τῷ δικαστηρίῳ· ἀ-
πομεμφόμενα μὲν σφόδρα τῶν
κατηγόρων· αἰτίας δὲ Ἀ-
θανάσιον ἀφιέντα· καὶ
πρὸς αὐτὸν γνησίως μετα-
καλούμενα· ἐπεὶ δὲ αὐ-
τοῖς τότε καὶ Μακάριος ἕτε-
ρος· τῆς Ἀλεξανδρέων
ἀμφότεροι πρεσβύτεροι· μικο-
μηδεῦσιν οὕτως συμμαλ-
επιστάντες· καὶ τοῦ βασι-
λέως προσελθόντες· πάλ-
λιν τὰ κατὰ τοῦ ἁγίου ψευ-

δῆ εἶναι γνωρίζουσιν· οἷς
καὶ πιστεύσας ὁ βασιλεὺς
καὶ πεισθείς· μᾶλλον δὲ
τὴν ἀλήθειαν διασαφηθείς·
τὰ τοιαῦτα ἐξέθετο γράμ-
ματα· ὧν ἐπὶ τοῦ δικα-
στηρίου ἀναγνωσθέντων·
ἀφορμία τοῖς περὶ Μελέτιον
ἀθεῖς καὶ δέος κατέσχε·
Πλὴν ἀλλ' οὐδὲ ἐν ταύτῃ τῆς
μανίας ἵσταντο· ἕτερον γὰρ τὸ
δὲ καὶ πρὸς τὰς ἄλλας κα-
τηγορίας· ἦν τὰ κατὰ τὸν
πρεσβύτερον Μακάριον δὲ
κινεῖτο· καὶ παρῆγον κα-
τήγορος μὲν ὁ Ἰσχύρας· μάρ-
τυρες δὲ οἱ περὶ Μελέτιον·
οἷς· πρῶτον μὲν Ἀθανάσι-
ος ἀθρόοις παρεγράφετο·
ἔπειτα· καὶ εἰ ὁ κατήγορος
Ἰσχύρας· ἱερεὺς εἴη ταῖς ἀ-
ληθείαις· δείκνυσθαι ἠξί-
ου· καὶ τότε λόγοις ὑφέ-
ξειν ἔμελλε καὶ αὐτὸς τοῦ ἐγ-
κλήματος· οἱ δικασταὶ δὲ
οὐκ ἠνείχοντο· ἀλλ' ἐκρο

πεῖ τὸ μὲν γὰρ κατὰ τοῦ Μα-
καρίου δίκη· ἀτόπως ἀπάντων
δὲ τῶν ἐλέγχων· ἀναιδῶς ἡ
ἐλάμβανεν ἡ ἀκρόασις·
ὥστε· καὶ τῆς ἐπὶ τούτῳ
σπουδῆς ἐδέημαι ζητήσεως·
Ἐπειδὴ δὲ οἱ σὺν Ἀθανασίῳ παρε-
γράφοντο· τούτοις ἑτέρας
ποιουμένοις πρὸς τὴν
ἐξέτασιν· τότε οὐδὲ σπου-
δαῖον ἔκριμεν· ἀλλὰ ποτὲ
μὲν τὸ δίκαιον ἐβιάσαντο· ποτὲ
πάντη ταῖς ἀληθείαις· νόμος
ἀκρίβεια καὶ δικαστῶν· οἴ-
χεται· πῶς γὰρ φησὶ νοῦν
κάτοπτον· τὸν μὲν ἀπολο-
γησόμενον· δεσμώτην τη-
ρεῖσθαι· τὸν κατήγορον δὲ
καὶ τοῖς ἐχθροῖς· πιστωθῆ-
ναι τῆς δίκης τὴν ψῆφον·
ταῦτα τοῦ μεγάλου ὑμῶν
τος· διαμαρτυρομένου
δὲ καὶ τῆς συνόδου πάσης·
ὡς οὐδὲν μὲν λόγον τούτοις
ἑτέρας· ποιουμένοις· αὐ-
τοῦ τε καὶ τῆς ἀληθείας.

ὁ μὲν ἀναχωρεῖ· καὶ πρὸς
τὸν βασιλέα λαθὼν ἐπα-
μείσιν· ἡ σύνοδος δὲ αὐ-
τίκα· ἢ τὸ πρὸ μικροῦ φάναι
συνέδριον· καὶ ἀπόντα
τοῦτον κατακρίνει· ὡς
δὲ καὶ τὰ ἐν τῷ Μαρεώτῃ
πεπραγμένα πέρας εἶχε·
καὶ πάντα κατεγνωσμένα
τοῖς ἐχθροῖς ἔκειτο· κα-
θαίρεσιν Ἀθανασίου πα-
ντελῆ ψηφίζονται· εἶτα·
ἐπὶ τὰ Ἱεροσόλυμα ἐ-
τρέχον· ἔνθα καὶ τὸν δὲ
ομανῆ δέχονται Ἄρειον·
Ὅσοι γλώσσῃ μόνον ἀσθενεῖ
εἵλοντο· κἂν τῇ κατὰ
Νίκαιαν συνόδῳ· προσ-
ποιητῶς τῷ ὁμοουσίῳ
συγγράφουσιν· οἱ δὲ
τῆς ὀρθῆς πίστεως· ὁρί-
σαντες ἐπὶ τῆς ἐν Ἀλεξαν-
δρείᾳ συνόδου τὸν Ἄρειον
ἐξετάζεσθαι· καὶ τοῖς τῶν
ῥήμασι καὶ ταῖς διανοίαις
προσχόντες τὸν νοῦν· ἐφω

ῥῶσι τὸν δόλον· ὑπὸ πολ-
λοῖς κρυπτόμενον τοῖς
παρασκευάσμασι· τοῖς
ἐκ τῶν ἐννοιῶν φημὶ καὶ
τῶν λέξεων· καὶ τὸν ἀθρό-
αν ῥοῦσι τῆς ἀληθείας·
Εἶτα γράμματα καὶ πά-
λιν ἕτερα τοῦ βασιλέως
ἐπικαταλαμβάνει· Ἀθα-
νάσιον καὶ αὐτοὺς πρὸς
αὐτὸν ἥκειν· ταχέως δια-
κελεύοντα· ἀπερήκουν μο-
δὸς ἐφοιτήθη· μή ποτε
φωραθῶσιν ἐπὶ τοῦ βασι-
λέως· συνήγοροί τε τοῦ
ψεύδους· καὶ προδόται τῆς
ἀληθείας γενόμενοι ποτὲ
ὡς· καὶ τὰ μὲν πρὸς
χάριν· τὰ δὲ καὶ ἀπέχθει-
αν κρίναντες· ὧν χάριν·
οἱ πλεῖστοι μέν· εἰς τὰ οἰκεῖ-
α ὑπέστρεψαν· οἱ δὲ περὶ
Εὐσέβιον· πιθανὰς προ-
φάσεις πλασάμενοι· ὥσ-
τε κατὰ χώραν μένειν· οὐ-
κ ὀλίγην τοῦ χρόνου δια-

τρικλίνῳ ἐν βεσίου· τοῦ βασι-
λεῖ διὰ γραμμάτων ἀπολο-
γούμενοι· ἐν ᾧ δὲ ταῦτα
ἐπράττετο· κατὰ πρόσω-
πον τοῦ βασιλεῖ πάλιν· ἐν
τῇ Νικομηδείᾳ παραστὰς Ἀ-
θανάσιος· καὶ τὸ περὶ τοῦ
χρυσίου ἔγκλημα, φανε-
ρῶς ἀπολύεται· ὡς δὲ ς'
ἔτι μᾶλλον οἱ περὶ Εὐσέβιον
ἀνεκάλλοντο· γράμμασι
ὁ βασιλεὺς Ἀθανάσιον; ἐ-
πὶ τὴν Ἀλεξανδρέων προ-
πέμπει· καὶ τὴν ἐπισκο-
πὴν αὐτῷ ἐγχειρίζει· σα-
θρὰ φανῆναι σημήνας τὰ
τῶν διαβόλων· καὶ ἀνίσχ-
ρα· οὕτως οὖν Ἀθανα-
σίου· κατὰ τὴν Ἀλεξάνδρει-
αν γενομένου· καὶ τῶν Ἀ-
ρείου συγκροτουμένων· πολ-
λή τις εἶχε τὸ πλῆθος
σύγχυσίς τε καὶ ταραχή·
οἷα τῶν πολλῶν μὴ φερόν-
των ὁρᾶν ἀναδικαζόμενα·
τὰ ὑπὸ τοσούτοις ἐπισκό-

ποις δοκιμασθέντα· ἐ
πὶ τούτοις ἀγανακτῶν ὁ Ἀθα
νάσιος· μηνύσας ταῦτα τῷ βα
σιλεῖ· καὶ πρὸς ἄμυναν αὐτὸν
τὴν τοῦ Ἀρείου παρακαλεῖ·
Εὐθὺς οὖν διὰ γραμμάτων κε
λεύει· μετάπεμπτον γενέσθαι
Ἄρειον· δι' ἣν ἀκολάστου γλώσ
σης καὶ γνώμης ὑπόζοντα·
ὡς οὖν ἤγετο παρὰ βασιλέα
τῆς Ἀλεξανδρείας Ἄρειος·
γέγονε κατὰ Καισάρειαν·
καὶ τοῖς περὶ Εὐσέβιον· Θεό
γνιν τε καὶ Μάριν συνήγορον ἐ
ἐν τῶν θαμὰ σκοπῶν δεῖ·
ὅθεν ὁ μέγιστος Ἀθανάσιος
κλύδωνα ὑπέστη τῶν πει
ρασμῶν· κοινωνεῖ μὲν λό
γων αὐτοῖς· ὁ κοινωνὸς καὶ
τῶν τρόπων· κοινωνεῖ δὲ
καὶ τραπέζης· ὁ κοινωνὸς
καὶ τῆς πρὸς Θεὸν μάχης·
καὶ συμβούλους ἀλλήλοις
ποιοῦνται· τοῦ μὴ τεθῦ· φα
τῆς μανίας· μὴ τὸν Ἀθανα
σίου φείσασθαι· ῥάπτου

σι τοίνυν ἑτέρας καὶ πάλιν
συκοφαντίας· ὥστε τοῦ
θρόνου τοῦτον καθελεῖν·
καὶ τοῦ κατὰ Χριστιανῶν
πολέμου· τὴν Ἀλεξάνδρει
αν ποιήσασθαι ὁρμητήρι
ον· ἦλθον οὖν παρὰ βα
σιλέα· Ἄρειος μὲν ἀπο
λογησόμενος· οἱ δὲ περὶ
Εὐσέβιον· Ἀθανασίου καὶ
τῆς ἀληθείας καταμαρ
τυρήσοντες· ἐπεὶ δὲ τῷ
βασιλεῖ παρ' αὐτῶν τὰ
εἰκότα περὶ τῶν τῇ
συνόδῳ πεπραγμένων με
ρῶς τεθεῖεν· περὶ μὲν τῶν
ἄλλων ἑτέρων ὁ βασιλεύς·
οὐχ οὕτως ἀνιᾶσθαι·
Τὸ δὲ τῆς ἱερᾶς τραπέζης·
τὸ δὲ τοῦ μυστικοῦ ποτη
ρίου· ὅπως ἀνατρέπεται μὲν
ἐκείνην· κατάξαι δὲ
τοῦτο καὶ εἰς λεπτὰ διεῖλε·
ὅπως δὲ καὶ τὸν ἐκ τῆς
Ἀλεξανδρέων τῇ πόλει
σιτηθέντος ἐκπεμπόμενον

σι τὸν διάλεω λύσας ἢ
πελήσας· ταῦτα λέγουσι·
ταῦτα δακρύει· ταῦτα. τί
νος οὐ τύχης ἀπαιτεῖται καὶ
ἀδαμαντίνης· τούτων
μάρτυρες· τῶν ἐπισκό
πων πολλοί· παρόντων δὲ
ἐξελεγχθεὶς· δίκην μὲν
τὴν ἀξίαν ἀποδρᾶναι· δι
αδρᾶναι δὲ καὶ τὴν ἀπο
κήρυξιν οὐ δεδύνηται· ἀλ
λὰ κοινῶς ὑπὸ τῆς συνό
δου πάσης ἐκκεκήρυ
κται· τούτων ἀκού
σας ὁ βασιλεὺς ὀργίζεται·
καὶ τὴν ἐν γαλλίαις ὑ
περορίαν τοῦ δικαίου κα
ταψηφίζεται· ἐνταῦ
θα μόνον καὶ ἦθος καὶ
γνώμην διαφθαρεὶς· καὶ
ἀμφοτέρας τὰς ἀκοὰς
τοῖς περὶ Εὐσέβιον δοὺς·
καίτοι τὴν ἑτέραν ἀκέ
ραιαν ἀεὶ τῷ κατηγορου
μένῳ φυλάττων· ὅπερ
οἷον μέν τις αὐτὸν [illegible]

ἤγετο καὶ ἄπιλος· ἀρύσων
ἑαυτὸν τά τε ἄλλα καὶ κα
θαρὸν τηρήσαντι· εἰσὶ δὲ
οἵ φασι μακρινώτερον· ὡς
οὐ καταγνωσμένως κοινῇ Ἀθανα
σίου· τοῦτον ὑπερορίσαι
προήχθη· ἀλλ' ὡς τὸ κατα
στεῖλαι ταῖς ἐκκλησίαις
τὴν ζάλην· καὶ κοιμίσαι
τὸν συνέχοντα θόρυβον·
ταύτῃ γάρ· τοῖς ἄλλοις ἐπι
σκόποις θεραπεῦσαι· καὶ
εἰς ταυτὸ συναγαγεῖν πάν
τας ἐσκέψατο· εἰ φανερῶς
ὑπερορίσειε τὸν ἄνδρα τῆς
πόλεως· ἀλλ' ὁ μὲν ἐν τού
τοις καταλύει τὸν βίον·
τριακοστὸν μὲν τῆς βασι
λείας ἔτος· πέμπτον δὲ
καὶ ἑξηκοστὸν τῆς ἡλικίας·
τὴν βασιλείαν τοῖς υἱοῖς.
καταδιελών· Κωνσταν
τίνῳ μὲν γὰρ τῷ μείζονι
τῶν υἱῶν· μείζονα καὶ
τὴν ἀρχὴν καταλείπει·
τὴν δὲ διαθήκην· πρεσβυ

τέρως τινὶ παρατίθησι.
κρύφα τὴν ἀρείου νόσον
νοσοῦντι· ὃς ἐκρύπτε καὶ
ταύτην μετὰ τῆς νόσου καὶ
παρὰ πολλῶν ἐρωτώμε-
νος· εἰ ἐπὶ διαθήκαις
ὁ βασιλεὺς τελευτήσειεν·
εἰ πέρ τι μάμμην ἐβάλλετο· γνω-
ρίζει δὲ τοῦτο. τοῖς οἰκει-
οτάτοις τῶν βασιλέως
εὐνούχων· ἐπεὶ δὲ ὑρα-
δίωντος κωνσταντίνου πε-
ρὶ τὴν ἄνοδον· ὁ τρίτος τῶν
υἱῶν κωνστάντιος· πρῶτος
παραγένοιτο ἐξ ἀντιοχείας.
ἐγχειρίζει λάθρα τούτῳ
τὴν τοῦ πρεσβυτέρου διαθήκην μετὰ
τὸ μόνην παρ᾽ αὐτοῦ καὶ μίαν
αἰτῆσαι χάριν. ὥστε τοῖς ἀ-
ρείου· κακοῖς μὴ συμπαρα-
χθῆναι· ὃ καὶ ἐποίησε·
Μία δὲ τοῖς κακοδόξοις ἀ-
ρείου τε σύστασις· καὶ τῆς
ἀληθείας ἐδόκει κατά-
λυσις· εἰ τὴν ἀθανασί-
ου καὶ κωνστάντιος ὑπόρο-
ρίαν ὑπογραφῇ σφραγίσαιτο· ὡς
δικαίως γεγενημένην·
Πρὸς ὃ καὶ ὁ μιαρὸς ἐκεῖνος
αὐτοῖς ἱερεὺς συνελάμβανε-
το· ὃς μετὰ τῶν ἄλλων·
καὶ τὸν ἐν τοῖς βασιλεί-
οις πραιπόσιτον ὑπο-
φθείρας. μέρος οὐ μικρὸν
τοῦ ἀρειανισμοῦ κἀκεῖνον
ἀπέδειξεν· ἐκ τούτου
γὰρ διέβαινεν καὶ εἰς
τοὺς λοιποὺς τῶν εὐνού-
χων ἡ νόσος· ἀχρεῖος
ὄντας φύσει· καὶ μεγάλας
μεῖν κακίας καὶ μετα-
δοῦναι· καὶ ἡ τοῦ βασιλέ-
ως δὲ γαμετή· ταῖς αὐτῶν
ὁμιλίαις διαφθαρεῖσα·
τῆς ἴσης λύμης ἀπολαύ-
το· μετ᾽ οὐ πολὺ δὲ καὶ
βασιλεὺς οἶμαι· πάντων
πονηρῶν ἑτεροδούλων·
εἰς τὸν αὐτοῦ κακῶς ὅτε
ξυνωρίσας βασιλέα· καὶ
τῷ ἀρείου συναπαχθεὶς
φρονήματι· κελεύει τοι

μων τὰ ἐκείνου κρατεῖν· καὶ ὅσα περ δὴ ἐπιτάγματος τοῖς ἐπισκόποις καὶ ἄκοντας φρονῆσαι κακῶς· κυβερνῆται δὲ τῶν ἐκκλησιῶν ἐν οὕτω χειμῶσι μεγάλοις καὶ κλύδωσι· Μάξιμος μὲν Ἱεροσολύμων· ὁ θαυμάσιος δὲ Ἀλεξανδρείας· ὃς κἂν τῇ ὑπερορίᾳ ὢν· οὐ μεθίετο τῶν οἰάκων· καὶ Ἀλέξανδρος δὲ· τῆς Κωνσταντίνου πόλεως ὄντες ἐτύγχανον· Εὐσέβιος δὲ· θερμόν τι πνέων ὑπὲρ τῆς ἀσεβείας· εἰς ἐπίθεσιν τῆς ἀληθείας· τοιόνδε τι ἐπινοεῖται· εἰσάγει τὸν Ἄρειον εἰς τὴν Κωνσταντίνου· μετὰ πολλῆς πάνυ τῆς αὐθεντίας· ὥστε τὴν ζήτησιν ἐμβάλλεσθαι πάλιν γενέσθαι· ὄντος μὲν ἔτι τῆς ὑπερορίας Ἀθανασίου· μηδενὸς δὲ παρόντος· τοῦ ὑπὲρ τῆς εὐσεβείας ἀνθεξομένου· ἀλλὰ καὶ βασιλέως αὐτοῦ καὶ τῶν ἐν τέλει προστεθησομένων· διὰ τὴν τοῦ ἀντιτείνοντος ἐρημίαν·

Ταῦτα· ὁ μὲν ἐσκόπει καθ' ἑαυτόν· ἕτερος δὲ πάλιν ὁ σοφὸς ἄνωθεν οἰκονόμος· μετεσκεύαζε τὰ τοιαῦτα· τὴν κακίαν ἐκκόπτων· καὶ ὅσῳ περ Ἀρείου μᾶλλον ἔρρει κατὰ τῆς εὐσεβείας ἡ γλῶσσα· τοσούτῳ πλέον αὐτοῦ καὶ τὰ ἔνδον μετ' ἀρχῆς συνερρύη· καὶ κενὸς μὲν ἐγκάτων· κενὸς δὲ σπλάγχνων· ἐν βεβήλοις τόποις ἄθλιος ἐρρίπτο· δίκη δικαία στόματος ἀκολάστου· καὶ σωτηρίας γενόμενος πονηροῦ σκεύους· ἀξία κένωσις· οὕτως οὖν αὐτοῦ καὶ σῶμα καὶ ψυχὴν ἐλεεινῶς ἀπορρήξαντος· οἱ περὶ Εὐσέβιον· τὸν πάντα πόλεμον κ

τὴν μάχην ὑπέρχονται·
παραπέμπειν ἅπασαν τὰς ἑαυ-
τῶν χεῖρας· σὺν ἔργῳ τῶν ἀρχόντων·
καὶ τοῖς τῶν βασιλέων εὐ-
νούχοις· τὰ μοχθηρὰ δὴ
ταῦτα καὶ θερμουργά· καὶ
πραγμάτων μεταβολαῖς ἀεὶ
καὶ συγχύσεσι χαίροντα·
Καὶ οἱ μὲν εἶχον τὸ τοῦ πά-
λαι σκοποῦ· καὶ θρόνων καὶ
λόγων καὶ διδασκαλίας καὶ
παρρησίας· Ἀθανάσιον δὲ
ἀποδημάτων ἐκκλείεσθαι·
ἔτερα δὲ πάλιν ἡ σοφία πρό-
μοια ποικίλλουσα ἡμῖν· καὶ
κινήσασα τὴν Κωνσταντί-
νου τύχην· ὃς τῶν τοῦ με-
γάλου Κωνσταντίνου υἱῶν·
ἡλικίᾳ καὶ βασιλείᾳ πρῶ-
τος ἐτύγχανε· ῥώμης γὰρ
τῆς πρεσβυτέρας ἐκράτει·
λῦσαι μὲν Ἀθανασίῳ
παρασκευάζει τὴν ἐξορί-
αν· ἐπιστεῖλαι δὲ Ἀλεξαν-
δρεῦσι· καὶ αὐτὸν συνεκ-
πέμπεται τοῖς γράμμασιν·

οὕτως ἔχουσι· νικητὴς
Κωνσταντῖνος· Ἀλεξαν-
δρέων τῇ ἐκκλησίᾳ καὶ
τῷ λαῷ· οἶμαι μηδὲ ὑμᾶς
ὑμῶν ἀγνοεῖν· τὰ κατὰ
τὸν ἱερὸν κήρυκα τῆς εὐ-
σεβείας Ἀθανάσιον προ-
ην συμβεβηκότα· ὅπως
τε κατ' αὐτοῦ κοινὸς ὑπὸ
τῶν τῆς ἀληθείας ἐχθρῶν
ἀνηρέθη πόλεμος· καὶ
ὡς ἐν ταῖς Γαλλίαις πρὸ
καιροῦ σὺν ἐμοὶ διάγειν ἐκε-
κέλευστο· διὰ τὸν ἐπηρτη-
το· καὶ λαμπρὸς ὑετὸς κατε-
φέρετο· καὶ ὕδασιν ἀφθόνοις
ἡ γῆ ἐμεθύσκετο· ἐξελθὼν
οὖν πρὸς τοὺς ὄχλους ὁ μέ-
γας· ἰδού φησι κ(ύριο)ς τῶν ἀγαθῶν
ἡμῶν ἐπακούσας· τὴν γῆν
ἐπεσκέψατο· καὶ τὰς αὔλα-
κας αὐτῆς ἐμέθυσεν· εὐ-
λογήσει δὲ καὶ τὸν στέφανον
τοῦ ἐνιαυτοῦ τούτου ὑπὲρ
τοὺς ἄλλους· κ(αὶ) πολ καθήσω

ται μὲν ταῖς προσδίαις ποιότη-
τος· παραμυθήσονται δὲ τὰ
ὡραῖα τῆς ἐρήμου· καὶ
πληθυνοῦσιν αἱ κοιλάδες
σῖτον· ὁ μὲν οὖν ταῦτα
εἰπὼν· διαλύει τὸ πλῆθος·
ἡ δὲ πρόρρησις ἔργον ἐγένετο·
ὁ μέντοι ῥαγδαῖος ὑετὸς ἐ-
κεῖνος· ἐφ᾽ ἱκανὸν μόνον κα-
τηνέχθη· ὡς ἐπισχεῖν ἄ-
χρι πολλοῦ· καὶ τὴν ἐπὶ τὴν
ἔρημον τοῦ ἀνδρὸς ἀναχώρησιν·
Ἀπόχρη καὶ ταῦτα τῶν ἀ-
θυμίου καλῶν· ἢ δεῖ καὶ τὰ
λοιπὰ τοῖς φιλοθέοις
γνωρίσαι· ζημία γὰρ ὄντως
τὸ ταῦτα καταλιπεῖν·
κἀκεῖνα τοῖς ὠδίνουσι τὸ
ὄν· πολλοῖς ἄλλοις· καὶ
αὐτοῦ δήπου τοῦ θείου περὶ
σώματα διὰ θαύματος ἦν
ἀεὶ· ὁ θαυμαστὸς ὄντως
εὐθύμως· ὅπως ἡμέρι-
ων καὶ ἐπιστήμης· τοσοῦ-
τον ὑπὲρ τῆς ὀρθοδοξίας
εἰσήνεγκε ζῆλον· ὥστε τὸν

αὐτὸν μὲν ἀληθείᾳ πρᾶον
εἶναι καὶ μαχητήν· καὶ
ἁπλῶς μὲν πᾶσιν αἱρετι-
κοῖς ἀπεχθάνεσθαι· μανι-
χαίοις δὲ μάλιστα· καὶ
τοῖς τὰ ὠριγένους τιμῶσι·
Οἷς πολλοὺς τότε ὄντας ἐν
καισαρείᾳ τῆς παλαιστί-
νης· καὶ προσχήματι ἀμα-
θείας αὐτῷ φοιτῶντας·
ταῖς ἐκ τῶν θείων γραφῶν
ἀποδείξεσιν· ἤλεγχεν ἰσχυ-
ρῶς καὶ ἀπεδίωκε· λέων
δεικνύμενος πρὸς ἀλώ-
πεκας· ἑβδομηκοστῷ δὲ
καὶ πέμπτῳ τῆς εὐθυμί-
ου τοῦ μεγάλου ἡλικίας ἐ-
νιαυτῷ· καὶ ἡ ἐν χαλκηδό-
νι συνεκροτήθη σύνοδος
κατὰ διοσκόρου τοῦ δυσ-
σεβοῦς· τῶν τριάκοντα
καὶ ἑξακοσίων πατέρων· ἐξ ὧν
ἦσαν· καὶ οἱ εὐθυμίου μα-
θηταὶ τοῦ πάνυ· στέφα-
νος τε ὁ ἰαμνίας· καὶ ὁ τῶν
σαρακηνῶν ἐπίσκοπος

ἰωάννης· πέτρου μὲν ἤδη
θανόντος· τοῦ δὲ μετ' αὐ-
τὸν αὐξολάου· τῷ διοσκό-
ρῳ προστεθέντος· καὶ διὰ
τοῦτο ἐν ἀπεχθείᾳ τὸν μ-
ομοίμοι τότε πρὸς τὸν μέ-
γαν εὐθύμιον καταστρέ-
ψαντος· στέφανος τοίνυν
καὶ ἰωάννης τῇ συνόδῳ
παρόντες· ἐπειδὴ ὑπὲρ τῆς
πίστεως ὅρος ἐν γράμμα-
σιν ἦν· λαβόντες αὐτὸν· τά-
χιον πρὸς εὐθύμιον ἦλ-
θον· εἰ καὶ αὐτὸς στοιχοίη
τοῖς γεγραμμένοις· μαθεῖν
ἐθέλοντες· ἐθορύβει γὰρ
αὐτοὺς οὐ μετρίως τὸ κα-
τὰ τὸν αὐξόλαον· ἐπεὶ
δὲ ὁ μέγας καλῶς ἔχοντα
εὗρε τὰ γεγραμμένα καὶ ε-
ὐσεβῶς· ἀθρόον ἡ φήμη παν-
ταχοῦ τῆς ἐρήμου διέδρα-
μεν· ὅτι καὶ ὁ θεῖος εὐθύμιος
τῇ ἐν χαλκηδόνι συνόδῳ στοιχεῖ·
Τοῦτο δὲ· πάντας ἀνέχεσθαι
πρὸς αὐτὴν τοὺς μοναχοὺς

ἐπεσπάσατο, ἐμή τις Θεοδόσιος· τὸ σχῆμα μὲν μοναχός· τὸν δὲ τρόπον γόης καὶ ἐπι-
τριπτότατος· καὶ διεφθαρμένος τὴν γνώμην ἐπιεικῶς· ὃς πάλαι στίμην ἐθῶν· καὶ
τοιαῦτα πράγματα κακουργῶν· περὶ τῆς ῥηθείσης συνόδου πλασάμενος· ὡς ἀναιροίη μὲν τὸ
τῆς ὀρθῆς πίστεως δόγμα καὶ ἀνατρέποι· ἐσάγοι δὲ μᾶλλον καὶ ἀνακαλοῖτο τὰ Νεστορίου.
εἷλέ τε τὴν Αὐγοῦσταν Εὐδοκίαν τῇ Παλαιστίνῃ τηνικαῦτα ἐπιδημοῦσαν· καὶ ἀπ-
δι᾽ αὐτῆς ὑπηγάγετο τὸ μοναχικόν· ἐπεὶ ταύτῃ τῷ τῶν Ἱεροσολύμων θρόνῳ ἱταμῶς ἐν-
δίκη καὶ ἀναισχύντως ἐπιπηδᾷ· καὶ ἀπὸ τῆς ἐξουσίας ἀνομίαν περιλαβών, ἐπ-
εστράτευε τοῖς θείοις καὶ ὁσίοις νόμοις· καὶ τὸ ἐν τῷ θέρει· ἀνθ᾽ οἱ μὲν ἐπιεικεῖς καὶ σώφρον(ες)·
τῶν θρόνων ~~ἀπὸ~~ τῶν ἱερῶν ἀπηλήλαντο· ὅσοι δὲ οἱ καὶ ἀνῃροῦντο παρ᾽ αὐτοῦ· καὶ
τὰς χεῖρας ὁ μιαρὸς φόνῳ ἐμίανεν αἵματι· κακοῦργοι δὲ καὶ γόητες καὶ λοιμοί· καὶ
δεσμωτηρίου μᾶλλον ἢ θρόνων ἄξιοι· ἱεροφάνται καὶ ἱερεῖς ἀνεδείκνυντο·
καὶ πολλῆς παρὰ τῷ λυμεῶνι τούτῳ καὶ μιαρῷ τῆς παρρησίας ἀπήλαυον· οὕτω δὲ
αὐτοῦ πάντας ἀνηρτημένου τοὺς μοναχούς, καὶ ὅποι βούλοιτο ἄγοντος· μόνοι
τὴν αὐτοῦ κοινωνίαν καθάπερ ἄγος τι καὶ μίασμα οἱ περὶ τὸν μέγαν Εὐθύμιον ἀπ-
εστρέφοντο· ἐπεὶ δὲ καὶ τούτῳ πεῖραν προσῆγεν ὁ δυσσεβὴς Θεοδόσιος καὶ
μετεκαλεῖτο πρὸς ἑαυτόν· ἐκείνου μηδὲ ἀκοῦσαι τὸν λόγον ἀνεχομένου· πέμπει
πρὸς αὐτὸν πάλιν πρεσβείαν, ἐς τὸ ἴδιον συγκρότιον· ὧν οἱ μὲν τοῦ μεγάλου Πασ-
σαρίωνος· ὁ δὲ τῆς μακαρίας Μελάνης διάδοχος ἦν· ἀξιοῦντας· καὶ εἰ μὴ παρ᾽ αὐτὸν
ἀφικέσθαι βούλοιτο, ἀλλ᾽ οὖν ἔν τινι τόπῳ συνελθεῖν ἀμφοτέρους· καὶ περὶ
ὧν ἑκάτερος ἔχοι πρὸς ἀλλήλους διαλεχθῆναι· καὶ ὃς δὲ μηδαμῶς καὶ πρὸς ταῦτα σχε-
τλιάσας, μὴ μοι γένοιτο εἰπεῖν· μήτε τοῦ ἀδίκου τῶν ἱερέων αἵματος· μήτε τῆς αἱ-
ρέσεως κοινωνῆσαι Θεοδοσίῳ· οἱ δὲ, ἀλλὰ τοῖς τοῦ Νεστορίου φασὶ κοινωνεῖν δόγ-
καιον· ὅτι τε δύο φύσεις πρεσβεύει· ὅπερ οὐδέπω μέχρι καὶ νῦν ἔν τινος περιειλή-
φαμεν· καὶ ὅτι περὶ αὐτοῖς καὶ ἡ ἐν Χαλκηδόνι σύνοδος ἠκολούθησεν· ὑπολα-
βὼν δὲ ὁ μέγας Εὐθύμιος· τὰ μὲν ὑπὸ τῆς συνόδου δογματισθέντα οὔπω φησί,
κατὰ μέρος ἐπέσκεμμαι πάντα· πλὴν ὅσον ἐπὶ τῷ παρ᾽ αὐτῶν ἐκτεθέντι ὅρῳ,
οὐκ ἔχω τῶν δεδογμένων ἐπιλαβέσθαι· τά τε γὰρ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ
καὶ τῶν ἁγίων πρὸ αὐτῶν κατὰ Νίκαιαν συνελθόντων, καὶ αὐτοὶ δοξάζειν ἐνομοθέτησαν.

τήν τε τῶν ἐν Κωνσταντινουπόλει πεντήκοντα πρὸς τοῖς ἑκατὸν σύνοδον ἀσπά-
ζεσθαι παραινεῖ· καὶ τοῖς ἐν Ἐφέσῳ κατὰ Νεστορίου συνελθοῦσι τοῦ δυσσεβοῦς ἀκολου-
θεῖν ἐπιτρέπει· Κύριλλον δὲ τὸν Ἀλεξανδρείας ὡς ὁμόδοξον ἑταιρίζεται· καὶ τῆς ὀρ-
θῆς πίστεως διδάσκαλον ἀνομολογεῖ· Θεοτόκον τὴν ἁγίαν παρθένον καὶ ἀθεραγλώτ-
τῃ κατονομάζει· καὶ τὸν μονογενῆ τοῦ Θεοῦ υἱὸν ἐξ αὐτῆς γεννηθῆναι πρεσβεύει· ἄχρον-
μὲν καὶ ἀσωμάτως ἐκ τοῦ πατρός· ὑπὸ χρόνον δὲ καὶ κατὰ σάρκα ἐκ τῆς μητρός· ἕνα Χριστὸν ἡμῶν
ἀσυγχύτως ἀτρέπτως καὶ ἀδιαιρέτως· ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενον· διά τε τοὺς
διαίρεσίν τινα τολμῶντας ἐπὶ τῆς καθ' ὑπόστασιν ἐν τῇ μήτρᾳ γεγενημένης ἀ-
φάτου καὶ ἀπορρήτου ἑνώσεως· καὶ τοὺς κατὰ τροπὴν λέγοντας σάρκα γεγενῆσθαι
τὸν τοῦ Θεοῦ λόγον· καὶ τὴν τοῦ μονογενοῦς σάρκα ὁμοούσιον τῆς θεότητος ἀποφαι-
νομένους· ὁμοίως τε δὲ καὶ διὰ τοὺς μὴ ἕνωσιν τοῦ λόγου καθ' ὑπόστασιν πρὸς τὴν σάρ-
κα ὁμολογοῦντας· ἀλλὰ σύμφυρσίν τε καὶ σύγχυσιν· εἶτα καὶ συνουσίωσιν ἀσεβῶς
τερατευομένους· οἵτινες τήν τε τῆς θεότητος καὶ τὴν τῆς σαρκὸς φύσιν μίαν γεγενῆ-
σθαι φασίν· ὡς μὴ κἀπιδώασθαι κατὰ τὰ ὑπ' ἐκείνων ἀλόγως εἰρημένα· μήτε τὸ
παθητὸν τοῦ Χριστοῦ διὰ τὸ ἀπαθὲς σώζεσθαι διὰ τὸ παθητὸν αὐτοῦ πάλιν τῆς ἀνθρωπότητος.
κατὰ τοῦτον τοίνυν τὸν τῆς ὀρθῆς διανοίας σκοπόν· τὸ ἐν δυσὶ φύσεσιν ὑπὸ τῆς συνό-
δου τῷ ὅρῳ προστέθειται· οὐχ ὡς ἰδίᾳ καὶ ἀνὰ μέρος τὸν Χριστὸν γνωριζούσης· ἀλλὰ τὸν
αὐτὸν ἐν ἑκατέρῳ διομολογούσης, καὶ ἐν ταυτῷ τὸ ἑκάτερον· ταῦτα τοῦ Ἀνθίμου
δεξιοῦντος· ὁ μὲν ἐπίδιος ἐπήνει· καὶ ὀρθῶς ἔχειν ὡμολόγει τὰ εἰρημένα· εἰ καὶ μὴ τῆς
Θεοδοσίου κοινωνίας ἀπέστη· καὶ τὴν μεταβολὴν ἀθικὲς ἐπεδέξατο· ὁ δὲ γερόν-
τιος, ἐπὶ τῆς αὐτῆς ἔμενε γνώμης· καὶ οὕτως ἀσύμφωνοι ἀλλήλοις ἐπανελθόν-
τες, ἀπαγγέλλοντες Θεοδοσίῳ τὰς ἀποκρίσεις· ἀκούσας δὲ τούτων ἐκεῖνος· ἐπεὶ
πάντων ἐγκρατὴς ἤδη τῶν κατὰ Παλαιστίνην ἐγένετο, πλέονι τῇ σπουδῇ ἐχρῆτο
καὶ αὐτὸν ἴσως τῆς οἰκείας συναγωγῆς λαβεῖν· ἢ παγίδας ἔκρυπτε τῶν μεγάλων πάν-
ταχοῦ καὶ δελεάσματα· καί τινας αὐτῶν καθ' ἑκάστην ἡμέραν· οἱ τὰ χρηστὰ δῆ-
θεν αὐτῷ καὶ λυσιτελῆ σοι ἐβούλοντο· ἀποστῆναι μὲν τῶν καλῶς καὶ ὡς Θεῷ φίλον
αὐτῷ δεδογμένων· Θεοδοσίῳ δὲ συνθέσθαι καὶ τὴν ἐκείνου κοινωνίαν ἀσπάσα-
σθαι· ὁ δὲ τὰς καθημερινὰς ἐκείνων προσελάσεις δυσχεραίνων καὶ βαρυνόμενος,

ἠποίει·

~~ἐπιτιμήσας αὐτοῖς~~ τί ποιεῖ· τοὺς ὑπ' αὐτὸν ἀδελφοὺς συγκαλέσας· καὶ πολλὴν αὐτοῖς
ἀσφάλειαν παραγγείλας· τοῦ μηδαμῶς ἐνδοῦναι, μηδὲ συνθέσθαι τῇ θεοδοσίου
κακοδοξίᾳ· οὐ γὰρ ἐπιστομίζειν μᾶλλον τοὺς οὕτω φρονοῦντας· καὶ ὅσον δύναμις ἐξα-
γωγεῖν ἐσ ἠθέλησεν· ἀπαίρει καὶ αὐτὸς ἐπὶ τὴν πανέρημον· πολλοὺς καὶ ἄλλους γε-
νέσθαι παρασκευάσας ζηλωτὰς τῆς αὐτοῦ ἀναχωρήσεως. ἦν δέ τις ἀναχωρητὴς
Ἐκεῖ μέγας πρὸ μικροῦ· ἐν ἄλλοις μὲν παραβαλὼν ἀπὸ τῆς λυκίας· γεράσιμος δὲ κα-
λούμενος· ὃς πᾶσαν ἐν τῇ πατρίδι τὴν μοναχοῖς πρέπουσαν ἐπιδειξάμενος πολι-
τείαν· πολλοὺς καὶ κατὰ τῶν τῆς πονηρίας πνευμάτων εἰσήνεγκε τοὺς ἱδρῶτας· οὕτως οὖν
ἐν τῇ παρὰ τὸν ἰορδάνην ἐρήμῳ καλῶς ἀσκούμενος· καὶ πολλὰ τοὺς δαίμονας πλήττων,
βάλλεται καὶ αὐτὸς σκανδαλίζεται μᾶλλον ὑπὸ τῆς αὐτῶν κακουργίας· καὶ τοῖς αἱρετικοῖς συ-
ναπάγεται· ἀκούων δὲ παρὰ πάντων μικροῦ τῶν ἀναχωρητῶν τὰ γε τοῦ εὐθυμίου·
καὶ τοῖς περὶ αὐτοῦ ᾀδομένοις τὰ ὦτα πληρούμενος, ἧκέ ποτε πρὸς αὐτὸν ἐπὶ τὸν ῥουβᾶν·
καὶ χρόνον συνδιατρίψας συχνόν· ῥεύματός τε τῆς ἐκείνου γλώττης τοῦ καθαρωτά-
του πιών, οἷα πυρὸς ὅσον τὴν αἵρεσιν ἐξεμεῖ· καὶ πρὸς τὴν ὑγιᾶ πίστιν ἐπάνεισι·
πολλὴν τῆς ἀπάτης μετάνοιαν ἔχων· καὶ τὴν διαφθαρεῖσαν ὑπὸ κενῶν λόγων καρ-
δίαν· καὶ τῷ λύπης κολάζων καὶ τιμωρούμενος· τούτῳ δὲ αὐτῷ καὶ ἀναχωρη-
ταὶ ἕτεροι· πέτρος ὁ γουρρίτης ἐπίκλην· καὶ μάρκος· καὶ ἰούλων· καὶ σιλουανὸς ἠκο-
λούθησαν· καὶ τῆς θεοδοσίου καὶ αὐτοὶ βλαβερᾶς ἀπέστησαν κοινωνίας· δευ-
τέρου δὲ μετὰ ταῦτα γεγονότος ἐνιαυτοῦ, οἴχεται μὲν ἐξ ἀνθρώπων ὁ θεοδόσιος· κάτ-
εισι δὲ ἀπὸ τοῦ ῥουβᾶ πρὸς τὴν χαίραν ὁ μέγας· καὶ δή ποτε μιᾶς τῶν σαββάτων
Ὁ μὲν ἦν ἱερουργῶν καὶ τὴν ἀναίμακτον αὐτῷ προσῆγε θυσίαν· δομετιανὸς δὲ
πρὸς τὰ δεξιὰ μετὰ τῆς μυστικῆς ἐκείνης ῥιπίδος παρίστατο· ἠξιώθη ἤδη μέλλοντος
τῆς τρισαγίου δοξολογίας· τερέβων τε ὁ σαρακηνὸς· καὶ ὁ χρυσίππου ἀδελ-
φὸς γαβριήλιος· ὁ μὲν πλησίον· ὁ δὲ τοῦ θυσιαστηρίου ἔνδον ἑστώς· τῆς πολλῆς
σου περὶ τὸν εὐθύμιον κεχαρίτος· ὁρῶσι πῦρ ἐκ τοῦ αἰφνιδίου καθάπερ ἐ-
πίπυρος διακεχυμένον ὀθόνης, ἄνωθεν κατιόν· καὶ αὐτόν τε τὸν μέγαν εὐθύ-
μιον· σὺν αὐτῷ δὲ καὶ δομετιανὸν ἔνδον περιλαβών· καὶ οὕτω περὶ αὐτοὺς
διαμεῖναν ἀπ' ἀρχῆς τοῦ τρισαγίου ἄχρι καὶ συμπληρώσεως τῆς ἱερᾶς λειτουργίας.

δὲ ἐκδειληφθέντα φησὶ τὸν Τερέβωνα καὶ ἐπειδὴ δηλούμενον καὶ κατάφοβον ὑποχω-
ρῆσαι τοῦ θυσιαστηρίου· καὶ τοῦ λοιποῦ μηκέτι παρ' αἰδῶ ὡς εἶχε καὶ θρασέως τῆς τῶν
ἀδύτων εἰσόδου κατατολμῆσαι· ἀλλ' ἐν τοῖς τοῦ ναοῦ προπυλαίοις μὲν πολλάκις κατὰ τὴν
σύναξιν ἑστάναι τῆς εὐλαβείας· ὡς ὁ ἀναχωρητὴς ἐμοὶ Κυριακὸς διηγήσατο· παρὰ Τε-
ρέβωνος αὐτὰ καὶ Γαβριηλίου τῶν ἑορακότων ἀκηκοώς· οὐ μόνον δὲ, ἀλλὰ καὶ ταῦτ' ἐ-
πεὶ Γαβριηλίου μοι διεξῄει· ὡς ἦν μὲν εὐνοῦχος ἐκ φύσεως· παραβάλοι δέ ποτε πρῶ-
τον διὰ πέντε καὶ εἴκοσι χρόνων τῇ τῶν ἀδελφῶν συνάξει· ἔτι καὶ τοῦτό μοι πατέ-
ρων πρῶτον ἀπήγγελλε πρὸς θεοῦ δεδόσθαι τῷ ἀθυμίῳ· ὥστε τὰς ἔνδον τῆς ψυχῆς
Κινήσεις, ἀπὸ τῆς ἐκτὸς ὄψεως οἱονεὶ διά τινος ἐσόπτρου κατανοεῖν· καὶ ἀκριβῶς
ἐχέγγυος εἶναι· τίσι μὲν ἄρα παλαιοῖς λογισμοῖς ἕκαστος· καὶ οἵων μὲν περιγίνεται· οἵων
δὲ ἥττων ὑπὸ τοῦ πονηροῦ γίνεται· φασὶ δὲ αὐτὸν καί ποτε πρός τινας τῶν ἀδελφῶν
κατὰ μόνας αὐτῷ συνόντας εἰπεῖν· ὡς ἄρα φοβερὰν ἴδοι πολλάκις ἀγγέλων ὁ
θεῖος λειτουργὸς συναυτῷ καὶ τῶν ἱερῶν συνεφαπτομένην· καὶ ὡς τῇ τοῦ δε-
σποτικοῦ σώματος μεταλήψει· τινὰς μὲν τῶν προσιόντων φωτιζομένους ὑπ' αὐ-
τῆς ὁρῴη· τινὰς δὲ οἷον ἀμαυρουμένους καὶ νενεκρωμένους· ὅσοι ἀναξίως δη-
λονότι εἶχον τοῦ φωτὸς ἐκείνου καὶ τῆς λαμπρότητος· διὸ καὶ τοῖς ἀδελφοῖς οὐκ ἔλη-
γε διαμαρτυρόμενος· ἢ τὸ τοῦ ἀποστόλου ἄριστα παραινῶν· προσέχειν ἕκαστον
καὶ ἑαυτὸν δοκιμάζειν, καὶ οὕτω φρικτῶς τοῦ ἄρτου τε καὶ τοῦ ποτηρίου μεταλαμ-
βάνειν· ἀλλ' εἰδότα τὸν προσερχόμενον· ὅτι κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει,
ἀναξίως ποιούμενος τὴν μετάληψιν· διὰ τοῦτο γὰρ καὶ τὴν πρώτην ἀθεὶς
προσάγων τὴν δὲ τὴν θυσίαν ὁ ἱερεὺς· οἷον ἐν τὸ πλῆθος προασφαλίζεται· ἀνορ-
θῶν μὲν τὰς καρδίας αὐτοῖς ἐπιφωνῶν· καὶ τὴν παρ' ἐκείνων λαβὼν ὑπόσχεσιν,
οὕτω τὴν προσαγωγὴν θαρρεῖ τῆς ἀναφορᾶς· ἧς καὶ ἔσω τελεσθείσης, τὰς
χεῖρας ἐκεῖνος πάλιν ἔξωθεν ἀνατείνων· ἤγουν ὥσπερ αὐτοῖς ὑποδεικνὺς τὸ ἐν αὐ-
τῷ γενόμενον τῆς θείας χάριν τῆς ἡμετέρας μυστήριον· μεταλαμβάνειν οὕτω φησὶ τῆς
Φωνῆς· τὰ ἅγια τοῖς ἁγίοις· ὡς ἂν εἴποι τις· ἐπειδήπερ ἐγὼ ἄνθρωπος ὁμοιοπαθὴς
ὑμῖν· ἀγνοῶ τὰ ἑκάστῳ βεβιωμένα, διὰ τοῦτο τοῦτο δὴ φανερῶς προδιαμαρτύ-
ρομαι· καὶ κοινὸν τὸ δοκίμιον τοῦτο τῷ ὑμετέρῳ συνειδότι καθίημι· εἴ τις ὑπο-

μνησικακίας, ἢ μίσους· εἴ τις ὑπὸ φθόνου, ἢ ὀργῆς, ἢ ὑπερηφανίας ἑάλω· ἢ ὑπὸ
λοιδορίας, ἢ ἀτόπου ἐπιθυμίας· ἢ ἑτέρου πάθους κατείληπται, μὴ πρότε-
ρον προσίτω, πρὶν ἂν διὰ μετανοίας ἐκκαθαρθῇ τοῦ μιάσματος. τὰ γὰρ ἅγια ὁ αὐτ-
ός φησιν, οὐχὶ τοῖς βεβήλοις, ἀλλὰ τοῖς ἁγίοις ἀνεῖται. ὅσοι τοίγαροῦν θαρρεῖτε τῷ
συνειδότι, προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ
μὴ καταισχυνθῇ. ἀλλ' οὐκ οἶδ' ὅπως ἡ γλυκύτης με τῆς Εὐθυμίου διδασκαλίας πα-
ραλαβοῦσα καὶ μὴ βουλόμενον, διέκοψε τὴν ἀκολουθίαν τῶν προλαβόντων. καὶ
σύγχυσιν ὀλίγου δεῖν ἐνεργάσατο. οὐκοῦν ἀνάγκη καὶ πάλιν ὑμᾶς ἀναμνῆ-
σαι τοῦ διηγήματος. ἴσμεν οὖν ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν. ταῖς Θεοδο-
σίου τοῦ μοχθηροῦ πάγαις ἡ μακαρῖτις Εὐδοκία καὶ τῆς καθολικῆς κοινωνίας
διέστη. καὶ τὸ λοιπὸν σπουδῇ πάσῃ κατὰ τῶν ὀρθοδόξων διηγωνίζετο. ἐπηγά-
γετο δὲ καὶ πάντας τοὺς μοναχούς· ὅσοι τε τὴν ἔρημον, ὅσοι τὴν ἁγίαν πόλιν κα-
τῴκουν. καὶ τὰ αὐτὰ ἐκείνῃ πρεσβεύειν ἔπεισεν. ἐπεὶ δὲ ἡ δίκη μετῆλθε τὸν Θε-
οδόσιον. καὶ ὁ μὲν ἐκποδὼν ἤδη γίνεται. Ἰουβενάλιος δὲ τὸν ἑαυτοῦ θρόνον ἀπο-
λαμβάνει. καὶ ταῖς ἐκκλησίαις τὰ λυπηρὰ διαλύονται, γράμματα πολλάκις τῇ
βασιλίδι Οὐαλερίου τοῦ ἀδελφοῦ καὶ Ὀλυβρίου τοῦ γαμβροῦ πέμπονται. παραιν-
ῶστε τῆς τῶν Εὐτυχιανιστῶν ἀφεμένης κοινωνίας, τοῖς τῇ καθολικῇ ἐκκλησίᾳ
δεδογμένοις ἀκολουθῆσαι. ἡ δὲ πρῶτα μὲν τὴν μεταβολὴν ὤκνει καὶ ἀνεβάλλετο.
καὶ οὐκ εἶχεν ὅπως ἂν τὰ ἤδη δόξαντα καταστρέψηται. ἐπεὶ δὴ δὲ ἔμαθε τόν τε
γαμβρὸν αὐτῆς ἐν Θράκῃ ἀναιρεθῆναι. τὴν θυγατέρα τε καὶ τοὺς παῖδας ὑπὸ
τοῖς πολεμίοις ἤδη γενέσθαι. καὶ αἰχμαλώτους εἰς Καρχηδόνα ἀπάγεσθαι,
σφόδρα πληγεῖσα τὴν καρδίαν. καὶ ἀνταπόδοσιν εἶναι τούτων τὴν τῶν
φιλτάτων ἀποβολὴν κρίνασα, διδάσκαλον ἀρίσκει τὴν συμφορὰν τοῦ κα-
λῶς ἔχοντος. καὶ ἡ παιδεία γάρ σου φησίν, αὐτή με διδάξει. καὶ πρὸς τὴν ὀρθο-
τομοῦν καὶ ἀληθῆ πίστιν δι' ἐκείνης ὁδηγηθεῖσα, σχολάσασα τὸ λοιπὸν ἐν-
θέοις ἀνδράσι τυπουμένη. καὶ χειραγωγοῖς χρωμένη πρὸς σωτηρίαν. ταύτῃ τοι
καὶ τὸν χωρεπίσκοπον Ἀναστάσιον μετὰ πιγώνων ὑπηρετουμένων αὐτῇ καὶ
ὁμῶν εἰς Ἀντιόχειαν. παρὰ τὸν κοινοβίτην Συμεὼν τὸν ὑψωθέντα τῇ ἀρετῇ

253

πολλῷ μᾶλλον ἢ τῷ κίονι, τὸ θαῦμα τῆς οἰκουμένης ἐν ταῖς ἐμπιπτ(?)· σημάνασα διὰ γραμ-
μάτων αὐτῷ τὸν τῆς καρδίας σκοπόν· ἀξιοῦσα τὴν παρ' ἐκείνου πάλιν γνώμην
λαβεῖν· ὁποία σοι ἡ παρ' ἐκείνου γνώμη καὶ τίς ἡ ἀπόκρισις, γίνωσκε φησὶν ὡς ὁ
πονηρὸς τὸν πλοῦτον ὁρῶν τῶν σῶν ἀρετῶν, ἐξῃτήσατο σινιάσαι σε ὡς τὸν σῖτον· καὶ
πολλά γε διὰ τοῦ λυμεῶνος ἐκείνου Θεοδοσίου τὴν θεοφιλῆ σου ψυχὴν ἐμμήνατο·
ἀλλὰ θάρσει· οὐ γὰρ ἐξέλιπε σοῦ ἡ πίστις· ἐμοὶ δὲ καὶ τοῦτο λίαν ἔπεισι θαυμάζειν· ὅτι
περ ἐγγὺς τὸ νᾶμά σοι τῆς πηγῆς οὔσης, αὐτὴν μὲν παρορᾷς· πόρρωθεν δὲ ζητεῖς τοῦ
αὐτοῦ ἀρρύεσθαι ὕδατος· ἔχεις τοίνυν τὸν θεοφόρον Εὐθύμιον· οὗ ταῖς διδασκαλί-
αις ἑπομένη, οὐχ ἁμαρτήσεις τοῦ σώζεσθαι· πρὸς ταῦτα οὐκ ἀμελὴς ἡ Εὐδοκία·
οὐδὲ ὑπτία περὶ τὴν τοῦ καλοῦ ζήτησιν· ἀλλ' αὐτίκα μάλα διερευνησαμένη περὶ
τοῦ ἀνδρὸς καὶ μαθοῦσα· ὡς ἀπηγόρευται δῆλα αὐτῷ πόλει τινὶ παραβάλλειν,
πύργον ἐν τῇ πρὸς ἀνίσχοντα ἥλιον ἐρήμῳ ἐφ' ὑψηλοτάτης ἀκρορείας οἰκο-
δομεῖ, οὐ πλέον ἢ τριάκοντα σταδίους τῆς λαύρας ἀπέχοντα· ἵν' ἡ μὲν ἀνάψυξιν
ἐπ' αὐτόν· ὥστε μηδενὸς εἴργοντος ἀπολαύειν εἰς κόρον τῆς Εὐθυμίου διδασκαλίας·
πέμπει δὲ κατὰ ζήτησιν εὐθέως αὐτοῦ Κοσμᾶν τε τὸν σταυροφύλακα καὶ τὸν
ἀμφοτέρω μοι εἰρημένον χωρεπίσκοπον Ἀναστάσιον· οἱ δὲ τῇ πολλῇ θερμότητι
τῆς ἐπιταγῆς ἴσην ἄρα καὶ τὴν ὑπουργίαν εἰσενεγκόντες, καταλαμβάνουσι
μὲν εὐθέως τὴν λαύραν· μαθόντες δὲ ὡς παρὼν εἴη· ἀλλ' ἐκ πολλοῦ ἤδη μετα-
βαίη πρὸς τὸν Ῥουβᾶν, οὐδὲ οὕτω τῆς ὁρμῆς ἔστησαν· ἀλλὰ τὸν μακαρίτην
συμπαραλαβόντες Θεόκτιστον, ἄπιασι πρὸς αὐτόν· καὶ δέονται κοινῇ ἤδη
σὺν ἐκτενῇ καὶ πάσῃ δεήσει καὶ ἄλλοι παροῦσι· καὶ τέλος, πείθουσι μετὰ τὸν πύρ-
γον ἐλθεῖν· ἔνθα νῦν ἡ σχολαρίου μονὴ ᾠκοδόμηται· ἰδοῦσα δὲ αὐτὸν ἡ βασι-
λὶς Εὐδοκία· οὐχ ἁπλῶς εἶδεν· ἀλλ' ὡς ἐν θέρει διψῶσα ψυχρὸν ὕδωρ· καὶ τοῖς ἐκείνου
ποσὶν ἡδονῆς ὅλη πεσοῦσα, νῦν ἔγνων ὅπερ ἐπισκοπὴν μου φησὶν ἔθετο κύριος·
κἀκεῖνος τῆς συνήθους αὐτῇ μεταδοὺς εὐλογίας· ἀλλὰ πρόσεχε σεαυτῇ ἔλεγε τοῦ λοι-
ποῦ, σεαυτῇ τέκνον ἔφη· καὶ τὸ μέλλον ἀκριβῶς ἀσφαλίσασθαι· ὁ γὰρ ἐμ-
προσθεν ἀπήχθης Θεοδοσίῳ· διὰ τοῦτο σοι καὶ τὰ λυπηρὰ συνέβη περὶ τὰ
φίλτατα· ἀλλ' ὅπως ἀπόσχῃ διὰ βίου τῆς ἀλόγου ταύτης φιλονεικίας· δεῖ γὰρ

Σὲ πρὸς ταῖς ἄλλαις τρισὶν ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις· τῇ τε ἐν Νικαίᾳ δη-
λονότι· τῇ σὺν πλήθει κατὰ Ἀρείου· καὶ τῇ ἐν Κωνσταντινουπόλει ἀθροισθείσῃ δ᾽ αὖ τῇ κατὰ
Μακεδονίου· καὶ τῇ ἐν Ἐφέσῳ κατὰ Νεστορίου τὸ πρότερον, δέχεσθαι καὶ τὸν ἐκ-
φωνηθέντα ὅρον ὑπὸ τῆς ἐν Χαλκηδόνι συγκροτηθείσης· καὶ τῆς Διοσκόρου κοι-
νωνίας ἀπορραγεῖσαν· Ἰουβεναλίῳ τῷ ἀρχιεπισκόπῳ Ἱεροσολύμων κοινωνεῖν
ὅλως ἢ πρὸς ἅπαντας συμφορεῖν· ταῦτα ὁ μὲν εἰπὼν καὶ τῆς βασιλίδος ὑπερφρα-
ξάμενος· καὶ συνταξάμενος αὐτῇ, ἀνεχώρει· ἡ δὲ αὖθις εἰς ἔργον τὰ ἐπιτεταγμένα ἐ-
δίδου· καὶ τὴν ἁγίαν εἰσελθοῦσα πόλιν· Ἰουβεναλίῳ τε καὶ τῇ καθολικῇ ἐκκλησίᾳ
κοινωνεῖ· πολὺ δὲ καὶ πλῆθος μοναχῶν καὶ λαϊκῶν ἀθρόως ἐπάγεται· καθά-
περ αὐτοῖς ὑπόδειγμα τῆς διαστάσεως· οὕτω καὶ τῆς κοινωνίας ἀρίστη γενομένη.
ὧν εἷς καὶ ὁ ἀρχιμανδρίτης Ἐλπίδιος ἦν· ἐπεὶ τοῖς γέρουσι τῶν κακῶν μᾶλλον ἐπι-
γηράσαι θελήσας· οὐχ ἑαυτῷ μόνον· ἀλλὰ καὶ πολλοῖς ἑτέροις ἀπωλείας κατέ-
στη αἴτιος· ὧν γε καὶ δύο τινὲς τῆς Ἐλπιδίου συνοδίας· Μαρκιανός τε καὶ Ῥωμα-
νός, τὴν πρὸς ἀπώλειαν φέρουσαν ὁμοίως ἐβάδισαν· κοινόβιά τε ἑκάτερος,
ὁ μὲν περὶ τὴν ἁγίαν Βηθλεέμ· ὁ δὲ ἐν τῇ Θεκώων κώμῃ συνεστήσαντο· ἡ μέν-
τοι μακαρῖτις Εὐδοκία· τοὺς τοῦ σταυροφύλακος ἀδελφοὺς Χρύσιππόν τε
καὶ Γαβριήλιον, ἀπὸ τῆς λαύρας μετακαλεῖται· καὶ πρεσβυτέρους χειροτονη-
θῆναι παρασκευάζει· ὁ Χρύσιππος μὲν τῷ πρεσβυτερίῳ διαπρέψας, συγγρά-
μματα μνήμης ἄξια καταλέλοιπε· Γαβριηλίῳ δὲ τὴν τοῦ φροντιστηρίου πι-
στάδε ἐπιστασίαν Στεφάνου τοῦ πρωτομάρτυρος· βάσαγμένη ἡ θεοφιλὴς
Ἀνδρέαν τὸν ἀδελφὸν Στεφάνου τοῦ Ἰαμνείτου ἐκ τῆς λαύρας καὶ αὐτὴ μεταστειλα-
μη΄ μένη· ποιμένα τοῦ ὑπ᾽ αὐτῆς ᾠκοδομημένου φροντιστηρίου· ἐπ᾽ ὄνομα δὲ τοῦ
Μηνᾶ τοῦ μάρτυρος οἰκοδομηθὲν ἦν, καὶ ἡγούμενον ἀποδείκνυσι· διατρέφων
δὲ τῆς Εὐθυμίου ἡλικίας ἐπὶ τοῖς ὀγδοήκοντα ἔτη· πρόσεισιν ὁ μακαρίτης
Σάββας νέος ὢν ἔτι· καὶ μήπω γενειῶν μηδὲ πρώτῳ ἄνθει παρειῶν ὥραν
ἐπικαλύπτων· καὶ ὑπ᾽ αὐτῶν μὲν ... καὶ ὑπ᾽ αὐτῶν ἀσπάσασθαι, τὴν ἀρετὴν
ἄξιοι· ὁ δὲ ὑποδέχεται μὲν τὰ πρῶτα· Δομετιανῷ δὲ τῷ μαθητῇ παραδίδωσιν·
ἐπικαλέσας αὐτόν· οὐ χρή, τέκνον, ἔφη, νέον οὕτως σε καὶ ἀγένειον ὄντα

διατρίβειν κατὰ τὴν λαύραν. λυσιτελὴς γὰρ μᾶλλον τοῖς οὕτως ἔχουσιν ἡ κατ' ἰδίαν
βίου διαγωγή. ταῦτα εἰπών, πρὸς τὸν μακαρίτην Θεόκτιστον διά τινος αὐτῶν
τῶν ἀδελφῶν παραπέμπει. δέξαι τὸν νεανίαν εἰπών, καὶ φιλοπόνως ἐπισκιάσθω
σκείασθω τὸ πρᾶγμα καὶ ἀναγκαῖον. ὡς γὰρ ἐμοὶ δοκοῦσι τὰ μεγάλα ἐν πάσῃ τῇ πνευματικῇ
πολιτείᾳ καὶ κατορθώματα διαπρέπει. ὁ μὲν οὖν τοιαῦτα περὶ τοῦ Σάββα προ-
έφη. τῇ προρρήσει δὲ ἄρα σύμφωνος καὶ ἔκβασις ἠκολούθησεν. οὐ γάρ ἐστιν ὧν
οὐκ ἔστιν οὐ πόλις, οὐ χώρα, οὐκ ἔρημος, ἔνθα τὰ κατὰ τὸν θεῖον ἐκεῖνον ἄνδρα
οὐκ ᾄδεται. καὶ ἡδὺ μὲν ἦν ἅμα τῷ πλέον παρέχει καὶ τοῖς ἀκούουσιν. ὧν οὐχ οἷον
πάρεργον τῶν ἀθυμίου διηγημάτων ἐπιμνησθῆναι. ἀλλ' εἴπερ θεῷ φίλον
ἐν τῇ ἰδίᾳ πραγματείᾳ αὐτὰ ποιησόμεθα. ἐπεὶ μηδὲ ἀπρεπὲς μηδὲ ὅσιον τὰ μὴ
γνωρίμων βίους στήλαις τιμᾶσθαι παρὰ τοῖς ἔξωθεν καὶ γράμμασιν. ἡμεῖς δὲ με-
γάλα οὕτως ἐργασαμένους ἄξια κρίνειν. καὶ λήθης αὐτῶν ἀγωνίαν κα-
ταψηφίζεσθαι. λέοντος ἤδη τὸ τηνικαῦτα τοῦ εὐσεβοῦς τε καὶ φιλοχρίστου
τὴν Μαρκιανοῦ βασιλείαν ἐνδεξαμένου. Τιμόθεός τε τις ἐπίκλην Αἴλουρος
τὴν Ἀλεξάνδρειαν διεστὲ καὶ σύμπασαν ταράσσει πάλιν. ἐπεὶ τὰ δὲ καὶ αὐτὸν τὸν
τῆς πόλεως πατριάρχην. ἐν αὐτῇ φεῦ ἀνόμων χειρῶν ἐκείνων καὶ ἀνοσίων τῇ
κολυμβήθρα τοῦ θείου βαπτίσματος ἀνελών, ἵνα πῶς οὕτω καὶ ἀναισχύν-
τως ἐπιβαίνει τοῦ θρόνου. θορύβου τοίνυν τῶν κατὰ τὴν γῆν πλείονα πάντων,
δύο τινὲς ἀναχωρῆται Μαρτύριος ὄνομα αὐτοῖς καὶ Ἠλίας, ὁ μὲν Καππαδόκης,
ὁ δὲ Ἄραψ. τοῦ τῆς Νιτρίας ἀπάραντες ὄρους παρὰ τὸν μέγαν ἦλθον. καὶ τούτων
ἕκαστος ἐνιδιάζοντι κελλίῳ συχνὸν παρ' αὐτῷ διέτριψαν χρόνον. οἷς καὶ ἠ-
ξίου τῆς ὁμοφιλίας ὁ θεῖος οὗτος ἀνήρ. καὶ συνεχῶς εἰς ὁμιλίαν προεκαλεῖτο.
καὶ τῆς πρὸς τὸν Κουτιλᾶν καὶ τὸν Ῥουβᾶν ἀναχωρήσεως κοινωνοὺς ὁμοί-
ως ἐποιεῖτο καὶ τῆς καθόδου. οἷς καὶ μετὰ Γερασίμου καὶ τῶν ἄλλων ἑξῆς ἀναχω-
ρητῶν ἁγναῖς χερσὶν ἐκείναις τῶν ἀχράντων μυστηρίων ἑκάστης κυριακῆς
ἐκοινώνουν. προεώρα δὲ ὁ μέγας τῷ διορατικῷ τῆς ψυχῆς ὀφθαλμῷ. καὶ
ἃ Μαρτυρίῳ καὶ Ἠλίᾳ συμβαίνειν ἔμελλε. καὶ ὅτι τὸν Ἰακώβου θρόνον τοῦ
τῷ χορῷ τῶν μαθητῶν διαλάμποντος. κατὰ καιροὺς ἰδίους αὐτῶν ἕκαστος διαδέξεται.

μετὰ δὲ ταῦτα ὁ μὲν Ἠλίας ἐπὶ τὴν Ἱεριχὼ κατελθὼν, κελλίον ἑαυτῷ πρὸ τῆς
πόλεως οἰκοδομεῖ· ὃ ταῖς κατὰ μικρὸν προσθήκαις ὑπ' αὐτοῦ πλατυνθὲν,
εἰς ταῦτα ὁρώμενα μετεσκεύασται μοναστήρια· Μαρτύριος δὲ σπήλαιόν τι
πρὸς τὰς τοῦ ἡλίου δύσεις, πέντε πρὸς τοῖς δέκα σταδίοις ἀπέχον τῆς λαύρας,
εἰσέρχεται· καὶ χρόνον ἱκανὸν ἐν αὐτῷ περιμείνας, μέγα τι καὶ περιφανὲς
ἐκεῖ καὶ οὗτος συνίστησι μοναστήριον· τοῦ δ' ἐπαγομένου ἔτους· Ἰουβενάλι-
ος μὲν ὁ πατριάρχης· τετάρτῳ καὶ τεσσαρακοστῷ τῆς ἀρχῆς ἐνιαυτῷ καταλύει τὸν
βίον· Ἀναστάσιος δὲ ψήφῳ τοῦ κοινοῦ παντὸς εἰς τὸν θρόνον ἀνάγεται· Ἀναστά-
σιος ἐκεῖνος· ἐφ' ὃν αἱ τοῦ Εὐθυμίου προρρήσεις· ἐφ' ὃν αἱ φιλαλήθεις ἐπαγγε-
λίαι· ὧν οὗτος ἀθρόως ἀναμνησθεὶς, Φῖδον τὸν εἰς τὴν λαύραν σὺν αὐτῷ παρα-
γεγονότα· καὶ τῶν προρρήσεων ἐκείνων ἀκούσαντα· διάκονον χειροτονεῖ· καὶ πρὸς
τὸν μέγαν αὖθις μετὰ τοῦ σταυροφύλακος ἀποστέλλει· τήν τε τῆς προφητείας μη-
νύων ἔκβασιν· καὶ ἀξιῶν ἐπιτραπῆναι οἱ τὴν πρὸς αὐτὸν κάθοδον· ὁ δὲ ταύτας δί-
δωσι τὰς ἀποκρίσεις· ἐμοὶ δὲ ἐπιθυμίας ἐστὶν ἀεὶ τὴν ὑμετέραν ὁρᾶν τελειότητα·
καὶ κέρδος οὕτως ἀπολαύειν πνευματικοῦ· ἀλλὰ ταῦτα μὲν τῆς προτέρας ὑμῶν ἐπιδη-
μίας, ὅπως ἦν ἔξω παντὸς ὄχλου καὶ πάσης ἀπραγμοσύνης· νῦν δὲ τὸ τῆς ἀρχῆς
μέγεθος ἑτέραν ὑμῖν σὺν θεῷ δίδωσι τάξιν· ὥστε ὑπερβαίνει τὰ πολὺ τὴν ἐμὴν
ἀσθένειαν ἡ ὑμετέρα δηλαδὴ παρουσία· δυσωπῶ γοῦν μηκέτι σκυλῆναι πρὸς
τὰ ἐνταῦθα ἐλθεῖν, ἀλλ' ἐγὼ μὲν δέχομαι προθύμως ἐρχόμενον· εἶτα καὶ τοῖς ἄλλοις
πάντως ἀναγκαῖον οὐ κατωθεῖσθαι· καὶ τὸ λοιπὸν οὐκέτι διατρίβειν ἐνταῦθα
δυνατὸς ἔσομαι τῷ τῶν παραβαλλόντων πλήθει στενοχωρούμενος· ἀλλὰ τὰ μὲν
τοῦ μεγάλου πρὸς τὸν πατριάρχην τοιαῦτα καὶ οὕτως ἔχοντα· βούλεται δὲ νῦν ὁ λό-
γος ἐπὶ τὸν Τερέβωνα καὶ αὖθις ἐπανελθεῖν· Τερέβων τοίνυν οὗτος ὁ τῶν Σα-
ρακηνῶν φύλαρχος· εἰς Βόστρας κατά τινα χρείαν ἐλθών· καὶ παρά του συμ-
φυλάρχου τῷ τὴν ἀρχὴν τῆς χώρας ἐπιτετραμμένῳ διαβληθεὶς, κατεσχέθη τε
καὶ δεσμωτήριον οἰκεῖν κατεκρίθη πολὺν ἐν τῷ μεταξὺ χρόνον· γνοὺς οὖν
τὸ δρᾶμα τῆς συμφορᾶς πάσης ὁ μέγας Εὐθύμιος, γράφει Ἀντιπάτρῳ τῷ τηνικαῦ-
τα τὴν ἐκκλησίαν Βοστρηνῶν ἰθύνοντι· συναποστείλας τοῖς γράμμασι καὶ

γαϊανὸν τὸν ἀδελφὸν στεφάνου τοῦ ἰαμνείας· ὥστε σπουδὴν ἔσχε γενέσθαι τινά,
ἀνεθῆναι τῶν δεσμῶν τὸν στέφανον· ὁ δὲ τὰ γράμματα εὐλαβῶς δεξάμενος ἐπὶ
καὶ γαϊανόν· τὸν μὲν στέφανον πάσης κατηγορίας ἐλευθερώσας· καὶ ὅσον
αὐτῷ ἐνδεδαπάνηται πρὸς τὴν ὁδὸν κομίσας, ἐπὶ τὸν μέγαν ἐξαπέστειλε·
γαϊανὸς δὲ ὥσπερ τι ζώπυρον τῆς εὐθυμίου διδασκαλίας ἔχων παρακατέ-
χων· καὶ τῆς μηδαύρων πόλεως ἐπίσκοπος χειροτονεῖται· ἡ γὰρ μνήμην μακαρίτης
Δομνῖνα· μάλιστα ὅτι πλείστοις τῶν θαυμαζομένων· γηροκομεῖα τε καὶ πτωχεῖα
καὶ μονὰς ἤρια μηδ' ἀριθμῷ ὑποβληθῆναι ῥᾳδία φιλοθέως συστησαμένη·
προσέταξεν ἐπὶ τῶν ὑπ' αὐτῆς ᾠκοδομημένων· ὃς πέτρῳ μὲν τῷ κορυφαίῳ
τῶν ἀποστόλων ἀνεῖται· ἀντικρὺ δὲ τῆς εὐθυμίου λαύρας διάκειται· οὐκ ἔ-
λαττον ἢ ὅσον σταδίους διεστηκώς· λάκκου μέγα βάθος ὁμοῦ καὶ μῆκος χρεί-
πρὸς ἀναγκαίας χάριν, ἀνορύξαι· ποτὲ δὲ κατὰ θέαν αὐτοῦ ἀφιγμένη ὁρᾷ
τὴν εὐθυμίου λαύραν ἐν ἐρήμῳ μέσῃ διακειμένην· ὅπως τε τὰ τῶν ἀδελφῶν κελ-
λία ἀπ' ἀλλήλων ἦν σφᾶς ἀπῳκισμένα· ἡ τὸ γραφικὸν ἐκεῖνο λογισαμένη· ὡς καλοὶ
οἱ οἶκοί σου ἰακὼβ αἱ σκηναί σου ἰσραήλ· σφοδρῶς τε τὴν ψυχὴν ἐνταῦθεν κατανυγεῖσα,
πέμπει γαβριήλιον εὐθὺς πρὸς αὐτόν· δεομένη ἐπιτραπῆναι καὶ αὐτὴ προσελθ(εῖν)·
καὶ λόγων ἀπολαῦσαι τῶν ἐκείνου καὶ τῆς διδασκαλίας· ὁμοῦ δὲ καὶ προσαπο-
νέμειν τῇ λαύρᾳ ἐξ αὐτῶν προσόδους, ἐπὶ μόνῳ εἶχε· ἡ αἰτία· ὥστε διαρκῆ
τοῖς ἀδελφοῖς εἶναι τοῦ λοιποῦ τῶν ἀναγκαίων τὴν χορηγίαν· ὁ δὲ πρὸ ἀνα-
φωνῆσαι αὐτὴν ἐπὶ θύραις οὔσης τῆς τελευτῆς· τί φροντίζεις λέγων ὦ τίμιον καὶ
Περισπᾶσαι περὶ πολλά· ἐκεῖνα σοι μόνον ἀπρεπῆ γε μετὰ θεὸν τὰ πρὸς τῆς ζωῆς
ἐνδημίαν· ἡμῶν δὲ μὴ ἐπὶ προσόδοις τισὶ μεριμνᾶτε μηδὲ χρήμασιν· οὐ γὰρ ἐ-
πὶ τούτοις κοινοῦ μεριμνᾶτε παρὰ τοῦ τοιούτου· ὅπου δὴ καὶ μεριμνᾶσθαι ὑπὲρ ἡμῶν ἀξι-
οῦμεν· τούτων ἐκείνη ἀκούσασα, δυσὶ πάθεσι τούτοις ἐμπλῆξα καὶ λυ-
πητὴν ψυχὴν ἐμερίζετο· τὸ μὲν τῇ προγνώσει τοῦ μεγάλου διδοῦσα· καὶ
ὅπως ἄπρακτον αὐτὴν κατὰ τὸν νοῦν ἐσκόπει περὶ αὐτοῦ, πόρρωθεν ἐκεῖνος συνιείς·
τὸ δὲ διὰ τὴν τῶν ἐπ' αὐτῷ ἐλπίδων ἀποτυχίαν· ἐβούλετο γὰρ ἐκ χρημάτων
καὶ ἀφορμὰς αὐτῷ προσόδων καταλιπεῖν ὡς προέφημεν· ἐνταῦθεν πρὸς

τῶν δὲ παρὰ ἀφικνεῖται πόλιν· ἅμα ἀσπάσονται μετ᾽ ἀγάλλης λαμβάνει τὸν πατριάρχην· καὶ ἅπα
ρ σα τοῦ θείου Ἀθυμίου μαθοῦσι πρὸς τοῦτον διασαφῆσαι, ἀδελφὰ τῇ προτέρᾳ γνώ
μην ἐποίει· καὶ πρῶτα μὲν τὸν ἐπὶ Στεφάνῳ τῷ πρωτομάρτυρι τοῦ Χριστοῦ ναόν· ἐλλι
πῶς ἔτι τῆς κατὰ τὰς ἀκτὰς ἔχοντα, πέμπει πρὸς ἐγκαινισμὸν καὶ δὴ κατὰ τὴν μηνὸς Ἰαννουαρίου· γ'
εἶτα καὶ πολλὴν αὐτῷ πρόσοδον ἀπονεῖμαι· καὶ τὴν περὶ αὐτὸν πρόνοιαν ἀνα
θεῖναι Γαβριηλίῳ, οὐδὲ τῶν ἁγίων ἠμέλει ἐκκλησιῶν ὅσαι παρ᾽ αὐτῆς ᾠκοδόμηντο·
ἀλλὰ καὶ αὐτὰς περὶ πλεῖστον ἐποιεῖτο δὴ φιλοπόνως· ἐγκαινίζουσά τε καὶ τὴν ἀρκοῦσαν
ἑκάστῃ πρόσοδον ἀφορίζουσα· τεσσάρων ἤδη μηνῶν μετὰ τὸν ἐγκαινισμὸν πα
ρελθόντων, καὶ αὐτὴ τὸν ἀνθρώπινον ἐκλιποῦσα βίον, πρὸς τὴν ἐκεῖ ἐνδημεῖ· μετὰ μι
κρὸν οὖν χρόνον ἐμμεμενηκότα τοῦ Ἀθυμίου ἤδη γεγονότος ἐνιαυτῶν· βαρεία
περιπίπτει νόσῳ καὶ ὁ ἐν ἁγίοις Θεόκτιστος· καὶ τοσοῦτον γέγονε τοῦ μὴ σὺν θανάτῳ, ὥστε καὶ
αὐτὸν ὅσον οὔπω προσαγγέλλειν δῆλον· βαθύτατα ἤδη γηράσας· καὶ πλήρης ἡμε
ρῶν καὶ αὐτὸς τῶν ἁγίων γενόμενος· κατελθὼν τοίνυν ἐπισκεψόμενος αὐτὸν
ὁ μέγας Ἀθύμιος· καὶ οὕτως ἐπικινδύνως ἔχοντα θεασάμενος, ἔγνω καὶ βραχὺ
αὐτῷ τινὰς ἡμέρας συμπαραμεῖναι· ὡς ἂν ἤδη πρὸς τὴν τῆς ἁγίας ἐνδήμου
ψυχῆς, αὐτὸς τῷ σώματι ταφὴν μιξόμενος ἀλειτουργήσῃ· καὶ ἅπερ ἔθος ἐπ᾽ αὐτῷ
πάντα πληρώσῃ· γνοὺς δὲ τὴν Ἀθυμίου πατὰ Θεοκτίστῳ προσεδρείαν ὁ πατριάρ
Χ χης· καὶ πρόφασιν τοῦτο τῆς πρὸς αὐτὸν ἀφίξεως οὐκ ἄκαιρον εἶναι νομίσας·
ἤδη τοῦ μακαρίου Θεοκτίστου πρὸς Θεὸν ἐκδημήσαντος· τρίτην ἔχοντος τοῦ
σεπτεμβρίου μηνός, καὶ ἔτι παρ᾽ αὐτόν· καὶ κοινὴ τῆς τοῦ λειψάνου ταφῆς
ὑπ᾽ αὐτῶν γενομένης· ἔπειτα δὲ πρὸς Ἀθύμιον ὁ θερμὸς ἐκείνου πόθος, ὁ
πατριάρχης ἐποίει· καὶ ἤδη ὡς τῶν ἱερῶν ἐκείνου χειρῶν λαβόμενος· καὶ αὐ
ταῖς ὡς εἶχε περιχυθείς, ἠσπάζετό τε θερμῶς· καὶ πόθου τοῖς ἀσπασμοῖς ἐπι
λεγε ῥήματα· ἐκ πολλοῦ τῶν ἁγίων ἐγὼ τούτων ἐπιθυμῶν χειρῶν· καὶ ἰδοὺ
πεπλήρωκέ μοι τὴν ἔφεσιν ὁ Θεός· ἀγαθὲ ὁ μάκαρ σου τιμιώτερ· καὶ σφόδρα
δέομαι· πρῶτα μὲν εὔχεσθαι τῷ Θεῷ· τὰς σὰς ἐπ᾽ ἐμοὶ προρρήσεις διὰ τέλους σω
τηρηθῆναι· ἔπειτα δὲ καὶ γράφειν μοι συνεχῶς περὶ τῶν δοκούντων ὅσα
καὶ τὸν ἐμὸν ὀνόματος διακελεύεται· ταῦτα τῷ Ἀθυμίῳ λίαν ἀμεμφὲς ὧν μι
λέγει καὶ διελέγετο.

καὶ ὡς ἐπεὶ πρὸς ὁ καιρὸς τὰ ἀπῄτει· καὶ ἡ διὰ μακροῦ συντυχία τοῦ ἀνδρὸς ὑπῆγεν
μιμνήσκειν· ὁ δὲ μετὰ τῆς συνήθους ἐκείνης ἐπιεικείας· τοῦτο μᾶλλον ἐγὼ παρὰ τῆς ἁγιω-
σύνης αἰτοῦμαι τῆς σῆς μακαριότητος, ἀπεκρίνατο· τὸ ἐν ταῖς πρὸς θεὸν πρεσβείαις συγ-
καὶ λιταῖς, καὶ ἡμᾶς κεῖσθαί σοι διὰ μνήμης· κἀκεῖνος ὑπολαβὼν οὔτοι ὦ πάτερ
φησὶν οὐδαμῶς παραχωρήσω σοι τοῦ αἰτήματος· τοῦτο γὰρ ἐγὼ παρὰ σοῦ πρῶ-
τος λαβεῖν ἀξιῶ· ἐπεὶ καὶ πεπείραμαι καλῶν ἤδη τῆς ἐν σοὶ τῶν θείων χαρισμάτων
Ἐνεργείας κομιδῇ καὶ δυνάμεως· καὶ ὅς, ὁμαλῶς ἄγαν καὶ πράως· συγχώρησον
τί με πάτερ ἔφη· παρακλήθητι δὲ πρόνοιαν τοῦ παρόντος μοναστηρίου χάριν
ἐμήν τε καὶ σήν· καὶ αὐτῶν δὲ τῶν ἀδελφῶν ἕνεκα ποιεῖσθαι· καὶ κήδεσθαι ἐν
αὐτοῦ ὡς πατρικός· πρὸς ταῦτα ὁ πατριάρχης· καὶ Θεοκτίστου φησὶν ἐπιπεφοιτηκότος
τοῦ ἐν ἁγίοις· σὺ ἦς ὁ τῆς ἐρήμου ταύτης προεστώς· καὶ πόλιν αὐτὴν τῶν ἐνοίκων
πλήθει καὶ τῇ ἀρετῇ κοσμήσας ἀποδείξας· ἡγούμενον πρὸς ἀναθ... τῶν χω-
παραστήσας· καὶ νῦν πάλιν ἐκείνου τὸν βίον ἀμείψαντος, σοὶ τὰ σαυτοῦ κατα-
λείπεται, ὁ μὲν οὖν ταῦτα εἰπὼν καὶ συντάξάμενος τῷ ὁσίῳ, πρὸς τὰς οἰκεί-
αὖθις ἐπανῆλθε διατριβάς· ἄθυμος δὲ ὁ μέγας· Μάριν τὸν τοῦ Τερέβωνος θεῖον
φιλαρέτως ζῶντα· καὶ τὴν ἡλικίαν ἤδη προήκοντα· ἡγούμενον τῆς μονῆς
καθίστησιν, ὅστις ὢν οἰκέτης καὶ αὐτὸς λαύραν ἐπανῆλθε· τοῦ δὲ δύο ἔτη τῆς μονῆς
προστασίᾳ χρόνους ἐπιβιοῦντος· εἶτα τὸν βίον καὶ αὐτοῦ μεταλλάξαντος· κατὰ
θῶν αὖθις ὁ μέγας· τὸ μὲν ἱερὸν τούτου σῶμα ἐν τῇ τοῦ μεγάλου Θεοκτίστου θή-
κῃ θεοφιλῶς κατατίθεται· Λογγίνῳ δὲ ἐπὶ μικρὰ ζήσαντι μόνῳ τὸν βίον ἀνδρὶ τὴν
Τῆς μονῆς πρόνοιαν ἐγχειρίζει· κατὰ πόδας δὲ τῆς Θεοκτίστου τελευτῆς τοῦ μεγά-
καὶ Ὀλυμπίου τοῦ Σκυθοπόλεως ἐπισκόπου τὸν βίον ἀπολιπόντος· Κοσ-
μᾶς μὲν ὁ σταυροφύλαξ ἐπίσκοπος ἀντ᾽ ἐκείνου χειροτονεῖται· Χρυσίππῳ
δὲ τὴν τοῦ σταυροφύλακος ἐγχειρίζεται λειτουργίαν· μηδὲν ταῦθα διαπεσούσης
τῆς Εὐθυμίου προρρήσεως· ἀλλ᾽ ὁ μὲν μακαρίτης Κοσμᾶς τριάκοντα ὅλους ἐ-
νιαυτοὺς ἐπὶ τῆς ἀρχῆς διαμείνας· μεγάλοις ἐν τῇ ἐπαρχίᾳ τέρατα τῶν παλαιῶν
ἐπαρχίας διέλαμψε κατορθώμασι· Χρύσιππος δὲ καὶ ἀδελφὸς ἦν ἐκείνου·
δωδέκατον τῇ τοῦ σταυροῦ φυλακῇ χρόνον διακονήσας, ἐπὶ συγγράμμασι τοῖς

πλήθουσι πολλοῖς· καὶ τὴν πραγματείαν ἐπ᾽ αὐτοῖς, κατέλυσε τὸν βίον· ὁ μέντοι τοῦ
ἀδελφὸς Γαβριήλιος πρεσβύτερος καθάπερ μικρῷ πρόσθεν εἴρηται· ὁ ἡγούμενος
τε παρ᾽ αὐτῷ ἐπὶ τοῖς ἕκτοσιν ἔτεσι γεγενημένος· βραχύ τι φροντιστήριον ἐν τῇ πρὸς ἕω
κοιλάδι τοῦ σεβασμίου ναοῦ· ὃς ἀπὸ τῆς ἁγίας ὠνόμασται ἀναλήψεως, ἐδείματο ἑαυ-
τῷ· οὗ δὴ μετὰ ὀγδόην κατὰ μίμησιν Εὐθυμίου τῶν θείων θεοφανίων ἡμέραν ἀνα-
χωρῶν· ἕως τῆς τῶν βαΐων διέτριβεν ἑορτῆς· φιλομαθὴς δὲ ὤν, εἶχε καὶ τὴν φύ-
σιν αὐτῷ συναιρομένην· ἔνθεν τοι καὶ τὴν γλῶτταν πρός τε τὴν ἑλλήνων φωνὴν
καὶ τὴν ῥωμαίων καὶ σύρων ἤσκητο· τελευτᾷ δὲ ὀγδοηκοστὸν ἔτος τῆς ἡλικίας
ἐν τῷ μοναστηρίῳ· καὶ τάφος ἐκεῖ τῷ ἀνδρὶ γέγονεν· ἐπισήμοις λάμψαν τὸ μέγιστον·
τὰ μὲν δὴ τῶν μαθητῶν Εὐθυμίου τοιαῦτα· καὶ τοιαύτης ἕκαστος ἔτυχε καὶ τῆς τε-
λευτῆς· ἐγὼ δὲ πρὸς τὰ ἑξῆς τῶν τοῦ ἀνδρὸς κατορθωμάτων ἐπάνειμι· ἐνταῦθα
ἁρμοῖ μετὰ τῶν ἄλλων Ἰωάννης ὁ ἡσυχαστὴς καὶ ἐπίσκοπος καὶ Θαλέλαιος ὁ πρεσ-
βύτερος διηγήσαντο· ἔφασκον γὰρ ὡς ἄρα διατρίβουσί ποτε αὐτοῖς ἐπὶ τῆς ἐρήμου·
ὁ μακαρίτης Σάββας ἐντυχὼν διωμίλει· ἔπλεγον μὲν ἐν τῷ κοινοβίῳ ὡς ἂν ἔλ-
θοι μετὰ τὴν θεοκτίστου τελευτὴν ἅμα λογίμῳ τῷ ἡγουμένῳ πρὸς τὸν μέγαν Εὐθύ-
μιον· ἡμέρας δέ τινας περὶ τὸν Ῥουβὰν διατρίψαντες ἅμα τοῖς περὶ Μαρτύριον
καὶ Ἠλίαν· καὶ Γερασίμου τοῦ ἐν ὁσίοις συμπαρόντος ἡμῖν· ἐπεὶ φησὶ προθύμως
ὁ μέγας ἐμέ τε καὶ Δομετιανὸν ἑώρα· παραλαβὼν ἀμφοτέρους διὰ τῆς ἐνδοτέ-
ρω ἐρήμου διήρχετο· τροφὴ δὲ ἦν ἡμῖν αἱ τῶν μελιάγρων ῥίζαι· εἶτα καταλαμ-
βανόμενοί τινα γῆν ἀνήμερον ἐπὶ πολὺ καὶ ξηρὰν καὶ ἀτεχνῶς ἄνυδρον· ἐγώ τε
οὖν ὡς ἀσυνήθης ὢν παρὰ τὰ πᾶσι τῶν ἐν ἐρήμῳ διατριβῶν· δίψει τε σχεδὸν σφο-
δροτάτῳ, λειποψυχίᾳ τε συνεχόμενος· καὶ οὐδὲ τοὺς πόδας εἶχον ἔτι πρὸς τὴν
πορείαν δυναμένους ὑπηρετεῖν· ἐπιστρέψας δέ φησιν ὁ μέγας Εὐθύμιος·
καὶ οὕτως ἐκλείποντα ἤδη καὶ ἀπειρηκότα με θεασάμενος· ἔπαθε τὴν ψυ-
χὴν ἐπ᾽ ἐμοί· καὶ μικρὸν ἀφ᾽ ἡμῶν διαστάς· καὶ τῇ γῇ προσκαταλαβὼν ἑαυτόν,
ηὔχετο· κελεύων δὸς ὕδωρ ἐν γῇ διψώσῃ τὴν τοῦ ἀδελφοῦ δίψαν παραμυθού-
μενος· καὶ μετὰ τὴν εὐχὴν ἀναστάς, ἐπιλαμβάνεται τοῦ σκαφείου· ᾧ τὰς τῶν
βοτανῶν ἐκτέμνοντες ῥίζας τροφὴν ἐποιούμεθα· καὶ κατὰ μικρὸν βραχὺ τοὔ-
δαφος·

Καὶ εὐθὺς ὕδωρ ἀπὸ τῆς γῆς ἀναδίδοται· εἶτα καλεῖ με πρὸς ἑαυτόν· καὶ ὑποδεί-
κνυσι τὸ ὕδωρ, καὶ πιεῖν ἐπιτρέπει· πιὼν τοίνυν καὶ τοσοῦτον ἔχων τοῦ δίψους ἀπο-
βαλών, ηὐχαρίστησα τῷ παραδόξως διὰ τῶν αὐτοῦ θεραπόντων τὰ τοιαῦτα θαυμα-
τουργοῦντι θεῷ· οὕτως ἔχοντι πρὸς τὸν θεὸν παρρησίας τῷ Εὐθυμίῳ καὶ τοσαύτην
ἄνωθεν ἐπισπωμένῳ τὴν χάριν τοῦ πνεύματος, οὐδὲ τῆς κοιμήσεως αὐτῷ τελευτῆς ὁ καιρὸς
ἀπεκρύβη· οὐδὲ ὅσα κατὰ τὴν αὐτοῦ λαύραν συμβαίνειν ἔμελλεν· ὡς οἱ θεῖοι
πατέρες οὗτοι καὶ περὶ αὐτῶν ἐμοὶ διηγήσαντο· φασὶ γὰρ ὅγ' ἔθος ἦν τότε μετὰ τὰ φῶ-
τα ἡμέραν, καθ' ἣν ἀν' αὐτῷ συνῆθες ἦν ἐπὶ τὴν ἐνδοτέραν ἀπαίρειν ἔρημον· συ-
νῆλθον μὲν οἵ τε προπέμψαι μέλλοντες· καὶ ὅσοι κοινωνῆσαι τὸ παράπαν αὐτῷ
τῆς ἀποδημίας ἐβούλοντο· ἐν οἷς ἦσαν καὶ οἱ περὶ Μαρτύριον καὶ Ἠλίαν· ἐπεὶ
δὲ οὐδὲν εὐπρεπέστερον· οὐδὲν ἕτοιμον· οὐδὲ προσῆκον ἀναχωρῆσαι· ἀλλὰ
παρασκευὸν ὅλως τὸν ἄνδρα κατέλαβον· ἐπυνθάνοντο εἰ μὴ αὔριον ἀπιέ-
ναι βούλοιτο· ὁ δὲ πᾶσαν, ἔφη, τὴν ἑβδομάδα, σὺν ἔσομαι ὑμῖν ἐν τῇ λαύρᾳ· καὶ
τοῦ σαββάτου μέσων νυκτῶν ἀφ' ὑμῶν χωρισθήσομαι· τοῦτο δὲ εἶπε· τὴν ἐν-
ταῦτα τελευτὴν προσημαίνων· τρίτη γοῦν τὸ μετὰ ταῦτα ἡμέρα· καὶ τῆς Ἀντω-
νίου ἤδη τοῦ θείου ἑορτῆς ἐπιστάσης, ἀγρυπνίαν διὰ πάσης τῆς νυκτὸς ἐν τῷ
ναῷ παραγγείλας· καὶ τῶν νυκτερινῶν ὕμνων αὐτοῖς ἐκείνων συντελεσθέν-
των· τοὺς πρεσβυτέρους ἐν τῷ διακονικῷ καλουμένῳ παραλαβών· καὶ

Κ' ἔτι φησὶν ἀδελφοί μεθ' ὑμῶν ἀγρυπνίαν διατελέσω· καλεῖ γάρ με ἤδη ἀπὸ
τῆς παρούσης ζωῆς ὁ θεός· ἀλλὰ νῦν μὲν ἐξελθόντες καλέσατέ μοι Δομετιανὸν·
ἕωθεν τῶν πρώτων ἅπαν τὸ σύστημα συνελθέτω· ἅμα γοῦν πρωῒ συνέρρεον
μετὰ σπουδῆς ἅπαντες πρὸς αὐτόν· καὶ μικρὸν ἐπισχών, ἤρξατο πρὸς αὐτοὺς
λόγους τοιούσδε· πατέρες ἐμοὶ καὶ ἀδελφοὶ ἀγαπητοὶ ἐν κυρίῳ τέκνα· ἐγὼ μὲν πο-
ρεύομαι ἤδη τὴν τελευταίαν ὁδὸν τῶν πατέρων μου· ὑμᾶς δὲ χρὴ τὸ πρὸς ἐμὲ
φίλτρον διὰ τῆς τῶν ἐντολῶν τῶν δὲ φυλακῆς ἐπιδείξασθαι· ὧν προηγου-
μένως ἐστὶν ἡ ἀγάπη· σύνδεσμος οὖσα τῆς τῶν ἀρετῶν τελειότητος· ὥσπερ γὰρ
οἱ ἅλες τῷ ἄρτῳ, τοῦτο ταῖς ἀρεταῖς ἡ ἀγάπη· ἡ χωρὶς αὐτῆς, ἀρετὴν ὡς χρὴ
κατορθῶσαι ἀμήχανον· ἐπεὶ καὶ ἀρετὴ πᾶσα διὰ ἀγάπης καὶ ταπεινοφροσύνης

βεβαίαν γνωρίζεται. ἡ μὲν γὰρ ταπεινοφροσύνη, πρὸς ὕψος οἶδε κατορθωμάτων ἀναγαγεῖν τὸν μετιόντα. ἡ δὲ ἀγάπη συνέχει τε ἀσφαλῶς. καὶ τοῦ ὕψους ἐκείνου ἀποπίπτειν οὐκ ἐᾷ. μείζων δὲ ἡ ἀγάπη τῆς ταπεινοφροσύνης. ὅπερ καὶ ἀπὸ τοῦ δῆλον τοῦ κυρίου· τὸν δὲ αὐτὴν καὶ δημιουργὸν ὑποδείγματος. διὰ γὰρ τὴν πρὸς ἡμᾶς ἀγάπην, ἐταπείνωσεν ἐκκενώσας ἑαυτόν, καὶ καθ' ἡμᾶς γέγονεν ἄνθρωπος· ὧ ἐξομολογεῖσθαι τούτῳ διὰ παντὸς καὶ ὕμνους προσφέρειν. ταῦτα μὲν γὰρ καὶ πάντας ἂν οἷς ἁπλῶς μετιέναι καλόν. πρὸ δὲ πάντων ἡμᾶς· διά τε τὰς πρὸς

Αὐτὸν συνθήκας. καὶ ὅτι συγχύσεως ἁπάσης καὶ πραγμάτων ἀπηλλαγμένοι βιωτικῶν, ἀπερίσπαστον ἄγομεν ἡμῶν τὴν ζωήν. καὶ μόνοι κατὰ μόνας προσέχομεν ἑαυτοῖς. ἀγωνιστέον ὑμῖν ἀεὶ καὶ τὰ σώματα καὶ τὰς ψυχὰς ἀδελφοί. καὶ τὴν συνήθη πρὸς τὰς συνάξεις δοξολογίαν. καὶ τὸν ἄνωθεν ὑμῖν παραδεδομένον κανόνα, πάσῃ φυλακῇ τηρητέον. ὁ λογισμοῖς ἀτόποις προσπαλαίων τῶν ἀδελφῶν, ἀσφαλιζέσθω παρ' ὑμῶν ἀεί, καὶ παραινέσεως ἀπολαβέτω διηνεκοῦς καὶ διδασκαλίας καὶ ὑποθήκης. μὴ λάθῃ κατὰ μικρὸν ὑποσκελισθείς, καὶ πτῶμα χαλεπὸν τῷ διαβόλῳ γενόμενος. καὶ ταύτην δὲ τελευταίαν ὑμῖν ἐντολὴν ἐπιτίθημι. ὁ πυλὼν μηδέποτε τοῖς παριοῦσιν ἀποκεκλείσθω. ἀλλ' ἀναπεπταμένος ἀεὶ παντὶ προσιόντι παρέστω. καὶ οἷον εἰς ὑποδοχὴν ἑτοιμότατος. καὶ αὐτὴ δὲ ὑμῖν ἡ στέγη, κοινὴ τοῖς ξένοις καὶ παροδεύουσιν ἤτω. κοινὰ δὲ καὶ τὰ ὄντα τοῖς δεομένοις προκείσθω. οὕτω γὰρ ἂν ἀφθόνου τῆς χορηγίας ἄνωθεν ἀπολαύοιτε. ταῦτα

Πρὸς αὐτοὺς ἐπισκήψας· εἶτα καὶ ὃν βούλοιντο ἀφηγεῖσθαι μετ' αὐτὸν παρ' αὐτῶν ἀναπυνθάνετο. οἱ δὲ καθάπερ ὑπὸ συνθήματι πάντες, Δομετιανὸν ἀπεκρίναντο κοινῶς. ἀλλὰ τοῦτο μὲν ἀδύνατον ἔφη. Δομετιανὸς γὰρ οὐκέτι μετ' ἐμὲ πολὺν ἐνταῦθα ὑπομένει χρόνον. ἀλλ' ἑβδόμην μόνην ἡμέραν διαγαγών, τῆς ὑστεραίας ἀκολουθήσει μοι. τοῦτο πάντας ἐξέπληξε τοὺς παρόντας· φανερῶς οὕτω καὶ πεπαρρησιασμένως λεχθέν. ἀπογνόντες δ' οὖν ὅμως Δομετιανοῦ, Ἠλίαν αἰτοῦσί τινα τῆς κατ' αὐτὸν μονῆς οἰκονόμον· τὸ γένος Ἱεριχούντιον, ἐπιστραφεὶς οὖν εὐθὺς πρὸς αὐτὸν ὁ μέγας· ἰδοὺ φησὶ πάν

Πάντες οἱ πρὸς ποιμένα σε αὐτὸν ἑαυτοῖς καὶ προστάτην ψηφίζονται, καὶ σοῦ δεῖ ὅπως ἑαυτῷ τε προσέχειν καὶ παντὶ τῷ ποιμνίῳ· δεῖ δέ σε καὶ τοῦτο πρὸ τῶν ἄλλων εἰδέναι· ὅτι κοινόβιον γενέσθαι ταύτην οὐ διὰ μακροῦ τὴν λαύραν ἀδύνης τινὸς· ἑξῆς δὲ καὶ ὅπου τὸ κοινόβιον οἰκοδομηθῆναι· καὶ ὅπως συστῆναι δέοι· περὶ τῆς ξενοδοχίας τε καὶ ψαλμῳδίας· καὶ τῆς εἰς τὸν καθ᾽ ὄνομα ἀσουδῆς, ἐπέσκηψε περὶ τῷ ἡλικίᾳ· καὶ τοῦ μὴ τῶν ἀδελφῶν ἀμελεῖν· καὶ τοῦ [illegible] τῶν πλεόντων λογισμοῖς ἀτόποις βαρυνομένων· ἔπειτα καὶ πρὸς ἅπαντας τὸ τελευταῖον τόδε φησίν· ὡς εἴπερ ἄρ᾽ οἶμαί τινα πρὸς θεὸν παρρησίαν, ταύτην αἰτήσω πρώτην παρ᾽ αὐτοῦ τὴν χάριν, ὥστε συνεῖναι ὑμῖν ἀεὶ καὶ τοῖς μεθ᾽ ὑμᾶς τῷ πνεύματι, ἄχρι καὶ τοῦ αἰῶνος. ταῦτα εἰπὼν, ἀπέλυσε πάντας, πλὴν Δομετιανοῦ· καὶ τρίτην ἐν τῷ διακονικῷ μείνας τὸ μετὰ ταῦτα ἡμέραν. τῷ σαββάτῳ νυκτὸς ἐν εἰρήνῃ κοιμᾶται, καὶ πρὸς τὴν ἐκεῖθεν διαβαίνει μακαριότητα· πρεσβύτης ὄντως καὶ πλήρης ἡμερῶν· εἰκάδα τότε τοῦ Ἰαννουαρίου μηνὸς ἄγοντος· ἐν ἔτει τῆς μὲν τοῦ κόσμου κτίσεως κατὰ τοὺς συγγραφέντας χρόνους Ἱππολύτῳ τε τῷ παλαιῷ καὶ ἀποστόλοις αὐτοῖς γνωρίμῳ· Ἐπιφανίῳ τε τῷ ἐν Κύπρῳ· καὶ Ἥρωνι φιλοσόφῳ καὶ ὁμολογητῇ· πέμπτῳ τε καὶ ἑξηκοστῷ ἐπὶ ἐνακοσίοις καὶ πεντακισχιλίοις· τῆς δέ γε τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνσάρκου ἐπιδημίας, πέμ-

Πτῳ ἐπὶ ἑξήκοντα καὶ τετρακοσίοις· ἔσω δὲ καὶ ταῦτα περὶ Εὐθυμίου εἰδέναι· ὡς τὴν μὲν ἕξιν, ἄπλαστος καὶ πρᾳότατος· τὴν δὲ ὄψιν στρογγύλος τε καὶ λευκός· φαιδρός τε κομιδῇ καὶ ἄοπτος· πολιὸς καθάπαξ· τὴν ἡλικίαν βραχύτερος· πολὺς τὸν πώγωνα· καὶ μέχρι ζώνης αὐτὸν καὶ γαστρὸς καθειμένος· ἀκέραιος τὰ μέλη καὶ ὑγιής· οὐ δάκτυλον· οὐκ ὄνυχα· οὐκ ὀδόντα· οὐ μικρὸν οὐ μεῖζον τοῦ σώματος μέρος ἐπιλιπής· γράμματα μὲν οὖν ἐξ ἀποκαλύψεως ὡς πρόσθεν καὶ ἤδη μοι εἴρηται· τριάδι γεγονὼς ἔτη καὶ θ᾽ ἱεροῦται θεῷ· κατ᾽ ἀρχὰς τῆς βασιλείας Θεοδοσίου δὴ τοῦ μεγάλου· διελθὼν δὲ διὰ πάντων ἐκκλησιαστικῶν βαθμῶν· εἰς ὕστατον ἔρχεται περὶ τὰ ἐννέα που καὶ εἴκοσι ἔτη τῆς ἰδίας ζωῆς· ὀκτὼ δὲ πρὸς τοῖς ἑξήκοντα χρόνους ἐν ἐρήμῳ διενεγκών· ἐνάτῳ μὲν καὶ ἐνενηκοστῷ τῆς αὐτοῦ ἡλικίας· εἰκοστῷ δὲ καὶ δεκάτῳ τοῦ αὐτοῦ Λέοντος βασιλείας ἔτει, καταλύει τὸν βίον· τῆς δὲ φήμης ὀξέως κατὰ πάσης τῆς περιχώρου διαδοθείσης· πλῆθος μοναχῶν τε καὶ λαϊκῶν οὐδ᾽ ἀριθμεῖσθαι ῥᾳ

διὸν ἀθροισθῆ· οὐ μὴν ἀλλὰ καὶ Ἀναστάσιος ὁ τῶν Ἱεροσολύμων πατριάρχης ἑσμὸν
ἅμα κληρικῶν τε καὶ στρατιωτῶν συμπαραλαβὼν ἐφοίτα. παρῆν δὲ καὶ Χρυσί-
ππος σὺν αὐτῷ καὶ Γαβριήλιος· ἅμα καὶ ὁ διάκονος Φεῖδος· οἵ τε κατὰ τὰς ἐρήμους
ἀναχωρηταί, καὶ αὐτοὶ πανταχόθεν συνῄεσαν· ὧν εἷς ἦν καὶ ὁ θεῖος Γεράσιμος· ἐξέ-
πληττε δὲ πάντας ἡ τῶν θαυμάτων συνέχεια· πλήθους δὲ ἀπείρου κομιδῆ συν-
δραμόντος, εἴργετο τὸ ἱερὸν ἐκεῖνο σῶμα ταφῆς· ἤδη καὶ ἐνάτης ὥρας καταλαβού-
ἕως οἱ στρατιῶται κελευσθέντες αὐτοῖς ὑπὸ τοῦ πατριάρχου τὸ πλῆθος ἀποσοβοῦσι· καὶ μό-
λις οὕτω γοῦν τοῖς θείοις πᾶσιν ἡ πάροδος δίδοται· ὥστε τὸ ἀθλητικὸν ἐκεῖνο καὶ πολυ-
παθὲς σῶμα πάντα τὰ νενομισμένα τελέσαι· καὶ μετὰ τῶν προσηκόντων ὕμνων αὐτὸ
τῇ πολυπλούτῳ καταθέσθαι σορῷ· πᾶσι μὲν οὖν τὸ πάθος τῆς Εὐθυμίου στερήσεως,
πολλῶν δακρύων αἴτιον ἦν· μαρτυρεῖ οὐδὲ καὶ ἡλικία ἰσχυρότερον· πολλῶν καθίκετο.
καὶ σφοδρῶς ἔκλαιον· ἀλλ' ἐκείνους μὲν παρηγορήσας ὁ πατριάρχης διὰ Χρυσίππου
τοῦ σταυροφύλακος· καὶ τὰ εἰκότα παρακαλέσας, συντομώτερον παραβάλλειν
αὐτῷ προσετρέψατο. Φεῖδον δὲ εἰς τὴν χώραν τὸν διάκονον καταλελοιπώς, ἐ-
πισκήπτει αὐτῷ περὶ τῆς οἰκοδομῆς· καὶ εἰς τὴν ἁγίαν πόλιν ἐπανελθὼν· τεχνίτας
πρὸς τὸ ἔργον καὶ ὕλην ἐξαποστέλλει· ὥστε τὸ μακάριον ἐκεῖνο τοῦ Εὐθυμίου
λείψανον ἐν ᾧ ἔχοντι καὶ ἐπιτηδείῳ κατατεθῆναι τόπῳ· ὁ μὲν τάφος· ὁ δὲ τοῦ με-
γάλου μέγας οὕτως καὶ γνήσιος μαθητής· ἅτε δὴ καὶ τοῦ βίου μιμητὴς ἀκριβέστατος.
ὑπὲρ τὰ πεντήκοντα τῷ ὁσίῳ διακονησάμενος ἔτη, οὐ καθέστηκεν τοῦτο που· ἀλλὰ παρέ-
μεινε τῇ σορῷ μέχρι λοιπὸν ἐν τῇ ὀξεῖ ἐκείνου ἡμέρας· ὥσπερ οὐ βιωτὸν αὐτῷ τὸ
λοιπὸν κρίνας· οὐδὲ τοῦτο δὴ τὸ φῶς ὁρᾶν ἀνεκτὸν ὅλως· διαγενομένης δὲ ἤδη τῆς
ἑβδόμης, ἐπιφαίνεται αὐτῷ φαιδρὸς τὴν ὄψιν γεγηθὼς ὁ Εὐθύμιος· δεῦρο λέγων
ἀπολαύσων τῆς ἡτοιμασμένης σοι δόξης· ἰδοὺ γὰρ ἐχαρίσατο φησὶν ὁ θεὸς κοινὴν
ἡμῖν εἶναι καὶ τὴν ἐνταῦθα διαγωγήν· ταῦτα ὁ δὲ μετὰ σπουδῆς εἰς τὴν σύναξιν ἐλ-
θὼν, τοῖς ἀδελφοῖς ἀπαγγέλλει· καὶ οὕτως ἐν χαρᾷ καὶ αὐτὸς καὶ τῇ τῶν μελλόντων
ἀγαθῶν ἐλπίδι καταλείπει τὸν βίον· ὁ μὲν δὴ διάκονος Φεῖδος· χεῖρας συχνῶν καὶ πα-
λλὴν ὅπως εἰς μέγιστον τὴν σπουδήν· τὸ σπήλαιον ὃ παρὰ τὴν ἀρχὴν ἡσυχά-
ζοντα εἶχε τὸν Εὐθύμιον· εἰς οἶκον κάλλιστόν τε καὶ μέγιστον ἀπαρτίζει· οὗ τὸ μέσον

τα τὸν τῇ θήκῃ τοῦ μεγάλου πατρὸς ἀπονείμας. παρ' ἑκάτερα πρεσβυτέρων ἡγουμένων
καὶ λοιπῶν ὁσίων ἀνδρῶν φιλοπονεῖ θήκας. ἐπεὶ δὲ πάντα ἤδη ἀπήρτιστο, τὴν μὲν
τῷ ἐπικεῖσθαι τῷ τάφῳ πλάκα. καὶ τὴν ἀργυρᾶν χώνην. καὶ τὴν κιγκλίδα. καὶ τὰ ἄλλα
ὅσα τὸν ναὸν οἶδε κοσμεῖν. ὁ τηνικαῦτα ἀρχιερεὺς ἀπὸ Ἱεροσολύμων ἐλθὼν ἀποστέλλει. ἐπεὶ τὰ
καὶ αὐτὸς ἐκεῖνος κάτεισι πρὸς τὴν λαύραν. καὶ τὸ τίμιον ἐκεῖνο σῶμα τοῦ μάκα-

Ρος ὑπὸ λαμπάσι καὶ ψαλμοῖς χερσὶν ἰδίαις πιστάκης (?) πρὸς ὃν αὐτὸς ἐνεούργησε μετὰ φό-
ρφοίκον (?). καὶ τῇ ἱερᾷ θήκῃ ἀσφαλῶς κατατίθεται. ὡς μηκέτι παραμοιχῆναί ποτε δύ-
νασθαι. μηδέ τι μικρὸν ἐκεῖθεν ὑφαιρεθῆναι τοῦ ἀνδρὸς λείψανον. ἐπιθεὶς μέντοι τὴν
πλάκα. τὴν χώνην ἄνωθεν αὐτῆς ὡς πρὸς τὸ στῆθος πήγνυσιν. ἡ δὲ παντοδαπαῖς ἐξ ἐκεί-
νου καὶ εἰς τήνδε τὴν ἡμέραν τοῖς πιστῶς προσιοῦσι δωρεῖται ταῖς χάρισιν. ὁ μὲν οὕτω λαμ-
πρῶς κατὰ τὴν ἑβδόμην μαΐου τὴν τοῦ μεγάλου μετάθεσιν ἐργασάμενος, μαρτύριον
μεθ' ἑαυτοῦ καὶ ἡλίαν παραλαβών, εἰς τὴν ἁγίαν καὶ αὖθις ἐπάνεισι πόλιν. καὶ πρεσβυ-
τέρους αὐτοὺς χειροτονεῖ. καὶ τῷ τῆς ἁγίας ἀναστάσεως καταλέγει κλήρῳ. καὶ ταῦτα μὲν
οὕτως. ὥρα δὲ λοιπὸν ἐκεῖνα διεξελθεῖν, ὅθεν εἰς κοινόβιον καὶ ὅπως ἡ τοῦ Εὐθυμίου λαύρα
μετεσκευάσθη. μικρὸν δὲ ἄνωθεν τὸν λόγον ἀναγαγεῖν ἀναγκαῖον. ἵν' οὕτω σαφῶς
ἔχουσαν ποιησώμεθα τὴν διήγησιν. ἔτους ἤδη πρώτου μετὰ τὴν Εὐθυμίου τοῦ μεγά- λγ
λου τελευτὴν διαγεγονότος. Λέων ὁ μέγας καὶ φιλόχριστος βασιλεὺς καταλύει τὸν βίον.
Λέοντα τὸν οἰκεῖον ἔγγονον ἐπικομιδῇ νήπιον ὄντα, διάδοχον τῆς βασιλείας κα-
ταλιπών. τὸν δὲ βραχύ τι τῆς βασιλείας ἐπιβιώσαντα, Ζήνων ὁ πατὴρ διαδέχεται.
ὃν ὁμοῦ ἐξ ἐπιβουλῆς Βασιλίσκου τοῖς βασιλείοις ἐπιδημήσαντος, φεύγει πρὸς
Ἰσαυρίαν. Βασιλίσκος δὲ τὴν ἀρχὴν κατασχών, ἐγκύκλιον κατὰ τῆς ἐν Χαλκηδόνι ἀθροισθείσης
συνόδου ποιεῖται. ᾧ δὴ καὶ τὸ περιλειφθὲν ἀνὰ τὴν ἁγίαν πόλιν τῶν ἀποσχισάντων με-

Ρος ἐπερειδόμενον. καὶ γερόντιόν τινα εἰς ἀρχιμανδρίτην ἑαυτῶν προστησάμενοι,
πολλὰ κατὰ τῆς ἐκκλησίας νεωτερίζουσι. ἡ οὐδὲ γνῆσιν τῶν ὑπὸ Θεοδοσίου πρότε-
ρον τολμηθέντων. πέμπτῳ δὲ μετὰ ταῦτα ἐνιαυτῷ, θνήσκει μὲν Ἀναστάσιος ὁ πατρι-
άρχης. ἀρχομένου ἤδη μηνὸς Ἰαννουαρίου. Ζήνων δὲ τῆς φυγῆς ἀνατρέψας χει-
ροῦται μὲν τὸν Βασιλίσκον. ἐγκρατὴς ἔτι τῆς βασιλείας ὑπάρχοντα. ἀνακτᾶται δὲ λγ
πάλιν τὴν ἀρχὴν ἣν ἀπετίθετο. καὶ διαδέχεται τὸν θρόνον Μαρτύριος ὁ ἀπὸ μονῆς τοῦ Χο-

πολλάκις μνημονευθεὶς· ὃς αὐτῷ τε τῷ βασιλεῖ Ζήνωνι· καὶ Ἀκακίῳ τῷ Κωνσταντινουπό-
λεως τὰ περὶ τῶν ἀποσχιστῶν καὶ τῆς ἐκείνων βλασφημίας καὶ φαντασιαστῆς αἱρέσεως ἐπι-
στέλλει· καὶ Φείδῳ τὰ γράμματα ἐγχειρίζει τῷ διακόνῳ· οὐκ ὀλίγα δὲ περὶ τῷ ἀνδρὶ καὶ
διὰ γλώττης ἐντέλλεται· ὁ δὲ τὴν Ἰόππην καταλαβών· καὶ πλοίου τινὸς καταίροντος εἰς
Κορύκιον ἐπιβάς· ἐπεὶ κατ᾽ αὐτὸ ἤδη τὸ Παρθενικὸν ἐγένετο πέλαγος· χειμῶνι μεγάλῳ
Καὶ κλύδωνι συντυχών, μέσης νυκτὸς ὑφίσταται τὸ ναυάγιον· καταδυόμενος ἤδη καὶ οὐ-
δ᾽ ὅπως σώσει ἑαυτὸν ὑπερέχων τοῦ κλύδωνος· ἀλλ᾽ οὕτως ὑπὸ μέσου πελάγους καὶ ἀσφαρυ-
κτὸς ἀπολλύμενος, ξύλῳ τινὶ ἐκ παραλόγου μᾶλλον δὲ θεοῦ δόντος περιτυγχάνει· καὶ ἀπρ-
ηξάμενος ἐπὶ τούτου· καὶ τὴν μικρὸν ἐν τηλικαύτης ἀμεγέθους συμφορᾶς· εἰς ὑπόμνη-
σιν ἦλθε τοῦ θαυμαστοῦ Εὐθυμίου· καὶ αὐτίκα βοηθὸν ἐκεῖνον καὶ τοῦ κινδύνου ἐκάλει·
καὶ ἀμφοτέρας ὤρεγε χεῖρας αὐτῷ· καὶ τὸ ὄνομα τὸ ἐκείνου πολλάκις ἐπιβοᾶτο· οὕτως
οὖν πονήρως αὐτῷ ἔχοντι· ἐπιφαίνεταί ποθεν ὁ μέγας Εὐθύμιος διιὼν ἐπὶ τῆς θαλάσ-
σης· καὶ αὐτοῖς δὴ τοῖς κύμασιν ἀσφαλῶς ἐπιπορευόμενος· ἰδὼν τάδε ἄθροον, εἰς ἔκ-
πληξιν ἐμβάλλει τὸν Φεῖδον· καὶ τῆς ἀγωνίας πάλιν ἀθεὶς· καὶ τοῦ δέους αὐτὸν ἀπο-
λῦσαι βουλόμενος, τῇ συνήθει ὡς εἶχε καὶ πρότερον ἐν τῷ ζῆν· μὴ φοβοῦ· ἐγώ εἰμι Εὐ-
θύμιος ὁ τοῦ θεοῦ δοῦλος ἔφη· γίνωσκε δὲ ὡς οὐκ ἀρεστή σοι ἡ ὁδὸς αὕτη ἐνώπιον τοῦ θεοῦ·
οὐδὲ γὰρ ὄνησίν τινα οἴσει τὴν περὶ τῶν ἐκκλησιῶν· διὰ ταῦτα ἐπιστρέψας σε δεῖ πρὸς
τὸν ἀποστείλαντά σε· καὶ παρεγγυᾶν αὐτῷ παρ᾽ ἐμοῦ· μὴ μεριμνᾶν μηδὲν περὶ τῆς
τῶν ἀποσχιστῶν διαστάσεως· οὐκ εἰς μακρὰν γὰρ ἀλλ᾽ ἐπὶ τῆς σῆς ἱεραρχίας ἔσται ἕνω-
σις· καὶ μία ποίμνη πάντες οἱ ἐν Ἱεροσολύμοις, καὶ ὑφ᾽ ἑνὶ ποιμένι γενήσονται· σὲ δὲ
Πρὸς τὴν ἐμὴν ἀφικέσθαι λαύραν χρή· καὶ τὰ μὲν κελλία τῶν ἀδελφῶν, ἐκ βάθρων αὐ-
τῶν καθελεῖν· κοινόβιον δὲ ἀνοικοδομῆσαι, ἔνθα τὸ ἐμὸν ᾠκοδόμησας κοιμητήριον.
οὐδὲ γὰρ λαύραν, ἀλλὰ κοινόβιον μᾶλλον εἶναι τὸν τόπον, τῷ θεῷ δοκεῖ· ταῦτα ὁ μὲν ἐπι-
σκήπτει τῷ Φείδῳ. καὶ τῷ παλλίῳ αὐτὸν τῷ ἑαυτοῦ περιβάλλει· ὁ δὲ ὑπαρουκόνας
παραχρῆμα ἀναρπασθεὶς, οὐκ ἀνομοίως τάχα τῷ Ἀμβακούμ, ῥᾷον οὕτω καὶ
ἀκαρῆ τῷ αἰγιαλῷ δίδοται· καὶ οἷον τοῦ ὕπνου διαναστάς· ὢ θείας οἰκονομίας, ἐπὶ
τῆς ἁγίας εὑρίσκεται πόλεως· οὕτω δὲ παραδόξως εἰς τὴν οἰκίαν ἀνασωθεὶς, ἀποτί-
θεται μὲν τὸ θεῖον ἐκεῖνο τοῦ Εὐθυμίου πάλλιον· ὃ πρὸς οὖν μᾶλλον πέλαγος διαπτῆναι

τοσοῦτον ἀξιῶν φόβον τε καὶ ἀσφαλέστερον αὐτὸν παρεσκεύασε· τὴν συνήθη δὲ ἐξελθὼν
περιβάλλεται· ἐκεῖνος δέ· ἀλλὰ προσεκτέον· ἀκολουθεῖ γὰρ τῷ θαύματι θαῦμα συγγενές·
οἷον καὶ ἅπαντα πλησίον· καθάπερ ὑπὸ πνεύματος διαρπασθεὶς χερός, ἀφανὴς ἐκ τοῦ μέσου γί-
νεται· ἐπανελθὼν τοιγαροῦν εἰς ἑαυτὸν ὁ Φεῖδος· ἢ διανοίᾳ καταλαβὼν αὐτὸν διαλογισά-
μενος· τὰς τρικυμίας· τὴν νύκτα· τὴν ἀπόγνωσιν· καὶ ὅσα τοῦ χειμῶνος τούτου καὶ ἃ ἐ-
πῆλθε τὰ τῆς ἀθρόας τῆς ἀμάχου ταύτης συμφορᾶς λύσιν· τὸν μέγαν Εὐθύμιον· καὶ ὅπως
ἀπαγορεύσαντι ἤδη καὶ ἀποπνιγομένῳ ὀδυρμῶς, ἐπιφαίνεται παρ' ἐλπίδα κατὰ κῦμα·
καὶ οἷον χεῖρα ὀρέγων· τὴν ἱλαρὰν ἐκείνην καὶ ὅσα ῥήματα πραχθῶσι καὶ φωνήν· καὶ τὰ ἐ-
ῥημένα ἐπ' ἐκείνῳ παρ' αὐτῷ· καὶ τέλος τὸ πάλλιον περιτεθεὶς καὶ πέλαγος τοσοῦτον ὑπό-
πτερον ὥσπερ ἀερίως διαβιβάζων· καὶ τῷ οἰκείῳ ἀποδίδους τῷ οἰκείῳ· ταῦ-
τα λογισάμενος καθ' ἑαυτὸν ὁ Φεῖδος, ἐκεῖνα σαφῶς ἧκε μετὰ τῆς πλήξεως τὰς φωνάς·
μῶν οἶδα ὁ γνήσιος θεοῦ θεράπων ὁ μέγας Εὐθύμιος· καὶ παρ' αὐτοῦ πεμφθεὶς ἐξείλετο
με τῆς συμφορᾶς· ἑξῆς δὲ τῇ μετ' ... ἐγένετο ταῦτα· ἤδη τοῦ ... αὐτῆς ἡ δ' ὡς ὑπέχουσα
ἐφίλει γὰρ τὸν γέροντα μόνον· ἀλλὰ καὶ τὸν θεόν· καὶ διὰ ταῦτα τοῦ σώζοντός τε καὶ τοῦ σωζομένου
τῇ διηγήσει μάλιστα ἡδομένη· καί που καὶ δάκρυα τῶν ὀφθαλμῶν ἀποστάζουσα· ἐμ-
πληροῦται οἷον καὶ ἅπαντα τῶν ὑπ' αὐτῶν συνεβούλευεν· ἐπεὶ ταμεῖον τοι καὶ πρὸς τὸν πατριάρχην δια-
βάς, ἀπήγγελλε καὶ αὐτῷ πάνθ' ὁ Φεῖδος· κἀκεῖνος ἄγαν καταπλαγεὶς τῷ παραδόξῳ τοῦ
διηγήματος, ἦ μὴν προφήτης τοῦ θεοῦ εἶπεν ὁ μέγας Εὐθύμιος· καὶ πολλὴ καὶ ἄφατος
αὐτῷ πρὸς ἐκεῖνον ἡ παρρησία· τὰ περὶ τῆς λαύρας· καὶ ὑπομαρτυροῦσι πᾶσιν ἡμῖν προ-
ορᾶσαι μέλλων ἐν χώρᾳ θειοῦσθαι· ταῦτα εἰπὼν· ἐπιτρέπει τῷ Φείδῳ καὶ αὐτὸς τὴν τοῦ
κοινοβίου οἰκοδομήν· καὶ τὴν ἐκεῖσε κάθοδον αὐτῷ δίδωσιν· ἐπαγγειλάμενος ἅμα ἑ-
αυτόν, πάντη τι καὶ τοῦ ἔργου συνεφαψόμενον· χεῖρα ποιμένων πολλὴν ὁ Φεῖδος ὑπη-
ρετῶν τε καὶ οἰκοδόμων· καὶ τῶν μηχανικῶν ἕνα παραλαβών, κάτεισιν εἰς τὴν λαύ-
ραν· καὶ τὸ κοινόβιον οἰκοδομήσας· καὶ φραγμῷ κύκλῳ καὶ τείχει περιβαλών, τὸν
μὲν παλαιὸν ναὸν εἰς ἀριστήριον τοῖς ἀδελφοῖς ἀπονέμει· ἕτερον δὲ ὑπεράνω νέον οἰκο-
δομεῖ· πύργον δὲ τοῦ κοινοβίου ἔνδον οἷον ἔτι τῆς ἐρήμου ἔρυμα πάσης περιφανῶς
ἀνεγείρει· καὶ κατὰ μέσον αὐτοῦ ἀποτάττει τὸ κοιμητήριον· τὴν δὲ τοῦ τόπου θέσιν ἐ-
φ' ἧς τὸ ἱερὸν τοῦτο κοινόβιον ἵδρυται· ὅτι τε ὥρας ἔχουσαν διὰ πολλῶν ὁμαλότητα·

ἡ μὲν καὶ ἄλλοις πρὸς ἄσκησιν οὐ τὴν ἐπιτηδείαν δι' ἀέρων οὐχ ἥκιστα εὐκρασίαν καὶ θέσιν
ὅσον τε διαγράφω τῷ λόγῳ· ἔστι τις λόφος βραχύτατος· μεταξὺ δύο κοιλάδων· ἐξαίρεται
χώρων καὶ δύσεων συνιουσῶν ἠρέμα πρὸς τὸ αὐτό· καὶ ἀνήλατος κατὰ τὸ νότιον ἐπιμι
γνυμένων· τὰ μέντοι πρὸς βορρᾶν αὐτοῦ δὴ ἥπλωται λαμπρὰ πεδιὰς ἐπὶ τρισὶ μάλιστα
κεχυμένη σταδίοις· ἣ πρὸς ἡδονὴν κάλλιστα καὶ τρέφειν ἐπιγεγονημένη· διαρρεῖ δὲ διὰ
μέσης αὐτῆς ὁ χείμαρρος· ἄνωθεν ἐκ τοῦ πρὸς ἀνατολὰς βουνοῦ κατιών· καὶ ὥσπερ τι
ζώνη τῷ τόπῳ γινόμενος· πρὸς αὐτῇ γε μὴν τῇ τελευτῇ τοῦ λόφου πρὸς τὸ πεδίον ἐπικλινεῖ·
καὶ τῆς συνώρατο τούτων μίξει καὶ συναφῇ· ὅ τε πύργος ἀνέστη[illegible]δίου τῇ κορυφῇ καὶ
καὶ ἀκρόπολις· καὶ τὸν πύργον ἑξῆς ἡ πρὸς τὸ πεδίον διαδέχεται πύλη· παραπέμ
πουσα τοὺς ἐξιόντας μεθ' ἡδονῆς· καθάπερ ἀπό τινος περιωπῆς τοῖς καλοῖς ἐκείνοις
τῆς πεδιάδος θεάμασιν ἐπικύπτοντας· ἀλλὰ γὰρ τί τὴν τοῦ τόπου καταλέγω φύσιν·
ὅπως μὲν ἥμερός τε καὶ εὔγειος· οἵῳ δὲ τῷ ὑπὲρ κεφαλῆς ἀέρι κέκραται· καὶ οὔτε τῇ θερ
μότητι πλεονάζει τῆς χρείας, οὔτε τῷ ψύχει κέχρηται· ἀλλ' ἀμφοτέρων τὰ λυποῦντα φεύγων,
τὴν ἐκ μέσου πλουτεῖ μεσότητα· καὶ ἔτι τῶν μὲν ψυχροτέρων θερμότερος· τῶν δὲ θερμο
τέρων, ἠρέμα πάλιν ψυχρότερος· ἀκολούθως τε τῶν λίαν ὑγρῶν, ξηρότερος· καὶ τῶν ἀ
μέτρως ξηρῶν, ὑγρότερος· μετὰ τῆς ἁρμοζούσης ἐφ' ἑκάτερα συμμετρίας· τῆς γοῦν τοιαύ
της ὅλης τοῦ κοινοβίου οἰκοδομῆς ἅμα καὶ διακοσμίας· οὐ πλέον ἢ τριῶν ἐτῶν δεηθεί σης
διὰ πολλὴν χεῖρα καὶ συνέντονον ὑπουργίαν, ἐβούλοντο μὲν οἱ θεῖοι πρέσβεις ἐκεῖνοι μετὰ
τῆς ἄλλης διακοσμήσεώς τε καὶ τέχνης ἀποδοῦναι τῇ ἐκκλησίᾳ καὶ τὰ ἐγκαίνια·
ἔργον δὲ πάλιν αὐτοῖς ἡ τοῦ ὕδατος σπάνις· ὕεται μὲν γὰρ ἡ ἔρημος ἐκείνη μόνου χειμῶνος·
Τούτου δ' ἀνύδρου τὸ πλέον καὶ ξηροῦ διαγενομένου, ἐπιλέλοιπε τοὔδωρ αὐτοῖς πε
ριττῶς? μάλιστα τὰς ἐαρινάς· πλὴν εἰ μή που ἄρα ἐν τοῖς κοίλοις τῶν λάκκων συ
εστηκὸς ἦν ὑετοῦ τι βραχὺ λείψανον· ὅπερ αὐτοὺς εἰς ἀμηχανίαν καθίστη· ταῖς ἀπα
ραιτήτοις ἀνάγκαις πιεζομένους τῆς φύσεως· ἀμέλει καὶ δηλοῦσιν οἱ περὶ τὸν ἡγού
μενον Ἠλίαν καὶ τὸν διάκονον Μορφεῖδον? · Λογγίνῳ τῷ τῆς κατὰ τὸ μονῆς ἢ Παύλῳ τῷ τῆς τοῦ
μαρτυρίου προεστῶτι· συνάρασθαι διὰ τῶν ὑποζυγίων αὐτοῖς πρὸς τὴν τοῦ ὕδα
τος ἀπὸ Φαρῶν μετακομιδήν· τῆς οὖν ἐπιούσης ἄρτι νυκτὸς τὸ περὶ ὄρθρον ἑτοι
μαζομένοις πρὸς τὴν πορείαν· καὶ τῶν ὑποζυγίων αὐτοῖς ἤδη συναθροισθέντων,

ἐπιφαίνεται τῆς νυκτὸς ἐκείνης Ἠλίᾳ τῷ μακαρίτῃ ὁ μέγας Εὐθύμιος· τί βούλεται αὐ-
τοῖς σήμερον πυνθανόμενος ἡ τῶν ὑποζυγίων συναγωγή· τοῦ δὲ δι᾽ ὕδατος ἀπορίαν
μετακομιδὴν ἀποκρινομένου· διὰ τὸ παρὰ πάντων ἡμᾶς ἐπιλελοιπέναι, ἐπιτιμῶν
ἐκεῖνος εἰπών· ὀλιγόπιστοι· ὅτου δὲ χάριν μὴ ἐδεήθητε τοῦ Θεοῦ· μὴ γὰρ ὁ ἐξ ἀκροτόμου
πέτρας ἀναδοῦντα ποτίσας λαόν· καὶ ὕδωρ ἀπὸ σιαγόνος ὄνου βλύσας ποτὲ τῷ Σαμ-
ψών· ἀπορεῖ καὶ πρὸς τὴν χρείαν ὑμῖν ἐπιχορηγεῖν, εἰ πίστει μόνῃ τῇ αἰτήσει μέσος
γένηται· εἶτα καὶ τὴν ἐπιφορᾶς ὁδὸν ὡς οὐκ ἀναγκαίαν αὐτοῖς ἀπηγόρευε· πλησθή-
σονται γὰρ ὑμῖν ἔφη, μηδὲ τρίτην παραμεινάντων τὰς ὥραν, οἱ μέγιστοι τῶν λάκκων ὕδατος.
διυπνισθεὶς δὲ πρὸς τὴν ὄψιν ὁ μακαρίτης Ἠλίας· καὶ φειδὼ ταύτην θεὶς καὶ τοῖς λοιπ(οῖς)
ἀπαγγείλας, τὰ μὲν ὑποζύγια τῆς προκειμένης ἀπέλυε λειτουργίας, ἄρτι δὲ νυκτὸς
οἰχομένης, καὶ ἡλίου πᾶσαν ὅσην ὁρᾷ γῆν ταῖς τῶν ἀκτίνων βολαῖς καταλάμπον-
τος, νεφέλη ποθὲν περισχοῦσα τὸν ὑπὲρ τοῦ κοινοβίου αἴφνης ἀέρα· εἰς ὑετὸν ἀ-
θρόως ἐξερράγη· καὶ τὰ μὲν κύκλῳ πάντα ἡ ὁμοία καὶ ἐπὶ τῆς ἀνομβρίας ἐκόλαζε μά-
στιξ· οἱ δὲ ἐν τῷ κοινοβίῳ μόνοι τοῦ ὕδατος παραδόξως ἀπήλαυον· καθάπερ τινὸς
τὸν ὑετὸν περιγράψαντος· καὶ παραιτέρω πάλιν προελθεῖν οὐκ ἐῶντος· ἐπεὶ δὲ οἵ τε
λάκκοι μεστοὶ γεγόνασιν ὕδατος· καὶ οὐκέτι χρεία τῶν ἐξ οὐρανοῦ ὄμβρων αὐτοῖς,
διέσχεν ἀθρόως τὸ νέφος· καὶ ἡ σφοδρὰ καταιγὶς τῶν ὄμβρων εἰς αἰθρίαν αὖθις κα-
θίστατο· τοῦ θαύματος δὲ τὴν ἔρημον ἐν ὀλίγῳ πᾶσαν περιλαβόντος· καὶ εἰς αὐτὸν
δὲ τὸν ἀρχιεπίσκοπον Μαρτύριον ἤδη διαβάντα· κατελθὼν ἐκεῖνος μετὰ πολλῆς
τῆς δαψιλείας πρὸς τὸ κοινόβιον· λαμπρὰν μὲν ἄγει τὴν σύναξιν· καὶ τὴν ἀγρυ-
πνίαν ὑπὸ πολλαῖς λαμπάσι καὶ θυμιάμασι· φιλότιμον δὲ καὶ πολυτελῆ τὸν ἐγ-
καινισμὸν ποιεῖ· καὶ μέρη τινὰ τῶν μαρτυρικῶν λειψάνων Ταράχου, Πρόβου
καὶ Ἀνδρονίκου ὑπὸ τὸ θυσιαστήριον κατατεθειμένος· ἑβδόμην τότε τοῦ Μαΐου ἐπι-
όντος· ὃς ἤδη δωδέκατος μετὰ τὴν Εὐθυμίου τελευτὴν ἐνιαυτὸς περιῄει·

Χρόνου δέ τινος διελθόντος· καὶ ὁ διάκονος Φειδὸς τῆς πόλεως Δώρων οὕτω καλου-
μένης, τὴν ἐπισκοπὴν ἐγχειρίζεται· ὃν ἐνταῦθα μετὰ τοῦ λόγου γενόμενον τὸ περὶ
τῶν ἀποσχιστῶν ἐκεῖνο διέρχεται· ὃ δὴ καὶ αὐτὸ λόγου ἄξιον εἶναί μοι δοκεῖ
προσθεῖναι τοῖς εἰρημένοις· ὡς ἂν ἐναργέστερον ἐντεῦθεν καὶ ἐπὶ τῆς θαλάσσης

[illegible] τοῦ θείου προφήτου διαλεχθῆ· ἤδη μὲν γὰρ ὁ πατριάρχης Μαρτύριος τῇ πα-
λῆς στρέφεσθαι τῆς ὁρμῆς·
τὸν μάρτυρα δὲ ῥάβδοις
ὠμότατα τύπτεσθαι·
οὗ γενομένου· ὁ μάρτυς·

ὅτε μὲν ὑπὸ τῷ μέσῳ τόρου(?)
τοῦ τροχοῦ ἦν· ἐκύπτετο·
ὅτε δὲ πάλιν τοῦ τόμου(?)
ὑφ᾽ ἑαυτὸν ἐλάμβανεν ὁ τρο
χός· κατὰ τὸ μέρος τὸ σῶ
μα καὶ τὰ ὀστᾶ συνετρίβε
το· καὶ οὕτως ἐπὶ πολλαῖς
ταῖς ὥραις κοπτόμενος·
κε Ἰ(ησο)ῦ Χ(ριστ)ὲ ἔλεγεν· ἐλθὲ σὺ
τὸ βοηθῆσαί μοι· καὶ τὸ μα
ρὺ τοῦτο τῆς κολάσεως
ἐπικούφισον· καὶ ἐκ τῶν
ἀδίκων χειρῶν μου ἐξάρπασον·
εἰς δόξαν σήν· εἰς ὁμολο
γίαν τοῦ σοῦ ὀνόματος· ὡς
αἰσχύνην καὶ ἐντροπὴν
τῶν ἐχθρῶν· εἰς πληροφορίαν(?)
πρὸς τὴν παθημάτων ὑπομονήν·
Ταῦτα τοῦ ἁγίου εἰπόντος·
ἐλύθη ὅ τε τροχὸς τῆς φορ(ᾶς)·
καὶ οἱ τύπτοντες τῶν πλη
γῶν ἐπέσχησαν· καὶ ὁ μάρτυς
μέν· αὐτομάτως ἐλέλυ
το· καὶ εἰς τὴν περιμετρίαν(?)
ἀπεκαθίστατο· τοῖς δη
μίοις δέ· παρεστὼς ἦν εἰ

μελῶν· πολλοὶ δὲ τῶν
ἐπὶ τῇ τοιαύτῃ θέᾳ συν-
δραμόντων Ῥωμαίων·
μέγας ὁ θεὸς τῶν χριστια-
νῶν ἐξεφώνησαν· καὶ ὁ
ἅγιος· εὐχαριστῶ σοι ἔλε-
γεν ὁ θεός· ὅτι κατηξίω-
σάς με κἂν τῇ μεγίστῃ ταύ-
τῃ καὶ πολυανθρωποτά-
τῃ τῶν πόλεων· παθεῖν
ὑπὲρ τοῦ μονογενοῦς σου
υἱοῦ· τοῦ παθόντος διὰ
τὴν σωτηρίαν ἡμῶν· εἶτα
καὶ τοὺς ἐν τῇ Ῥώμῃ ἁγίους
ἐπῄνεσεν· ὧν Πέτρος φησὶ
καὶ Παῦλος [illegible] ἐδί-
δαξαν· καὶ ὁ συνώνυμος
ἐμοὶ Κλήμης ὁ σοφὸς τῶν
δογματιστῶν· καὶ ὁ [illegible]
ὁ θεῖος ἐξῆς ὁμολογητῶν·
δι' ὃν καὶ αὐτοὶ παθόντες·
ὑπὸ πάντων προσκυνοῦν-
ται πιστῶν· μετ' οὐ πολὺ
δέ· καὶ ὑπὸ εὐσεβῶν βα-
σιλέων προσκυνηθήσον-
ται· ἐν τούτῳ δὲ προα-

νεφώνει· τὴν τῆς ἀσε-
βείας καθαίρεσιν· ἐπὶ τού-
τοις ὁ τύραννος θυμομα-
χῶν· ξύλοις ἐκέλευσε σι-
δηροῖς τὸ μαρτυρικὸν σῶ-
μα συνθλάττεσθαι· ὅθεν
οἱ μὲν ὀδόντες τοῦ ἁγίου ἐξε-
κρούοντο· αἱ σιαγόνες δὲ
συνετρίβοντο· ἡ δὲ φωνὴ
οὐκ ἐπείχετο· ἀλλὰ καὶ
τῶν δημίων σιωπᾶν αὐ-
τῷ ἐγκελευομένων· αὐ-
τὸς μείζονι ἐκέχρητο τῇ
φωνῇ· ὥσπερ τις χαλ-
κοῦς ἀνδριὰς τῇ σφοδρο-
τέρᾳ πληγῇ· μείζονα
τὸν ἦχον ἀποτελῶν· ἐ-
φ' οἷς καὶ αὐτὸς ἀπαρρά-
σας ὁ βασιλεύς· δεσμώτη-
τοῦτον τῇ φυλακῇ παρα-
δίδωσιν· οἱ μέντοι πι-
στεύσαντες ἄνδρες· σὺν γυ-
ναιξὶ καὶ τέκνοις· νύκτωρ
εἰσελθόντες τὸ δεσμωτή-
ριον· καὶ τῶν ἐκείνου πο-
δῶν ἁπτόμενοι· θερμῶς

ἐνδόντα· τοῦ θείου κα-
ταξιωθῆναι βαπτίσματ(ος)·
Ὁ δὲ μάρτυς· κατὰ τὴν φυ-
λακὴν ἀφθονίας οὔσης
ἐλαίου· τὰς προσηκού-
σας αὐτοῖς εὐχὰς ἐπιλέγ(ων)·
καὶ πάντας τοῦ θείου βα-
πτίσματος ἀξιοῖ· μέσων
δὲ νυκτῶν. φῶς οἷον ἄρ-
ρητον καὶ ἀθέατον· ὅλον
τὸ δεσμωτήριον κατα-
στράπτον τούτοις ἐφίστα-
ται· ἐν μέσῳ δὲ τοῦ φωτὸς
τι καὶ ἀνήρ. τὴν ὄψιν φαι-
δρὸς τὴν ἐσθῆτα λαμ-
πρός· πτέρυξιν ὠκυ-
τάταις κομῶν· οὗτος
τῷ Κλήμεντι προσελ-
θὼν. ἄρτον καὶ ποτήρι-
ον ἐγχειρίζει· καὶ ὁ μὲν
ἀφανὴς ἦν· τοῖς δὲ καὶ
ἡ φωνὴ αὐτὴ ἐπιλέλοιπε
τῷ παραδόξῳ τῆς θέ-
ας· ὁ γε μὴν ἱερώτατ(ος)
Κλήμης· ἐδέξατό τε
αὐτὰ ἀγαλλιῶν· καὶ τὰς συ-
νήθεις εὐχὰς ἕως τῶν
κοινωνεῖ τούτων τοῖς ἤ-
δη βαπτισαμένοις· πλει-
όνων τοίνυν ἑκάστοτε
προσιόντων καὶ πιστευ-
όντων· καὶ τὴν φυλακὴν
ἐκκλησίαν ποιούντων·
οἱ δεσμοφύλακες ἀπαγ-
γέλλουσι ταῦτα τῷ βασι-
λεῖ· καὶ ὃς συλληφθῆ-
ναί τε αὐτοὺς κελεύει νυ-
κτὸς· καὶ εἰ μὴ τῆς εὐσε-
βείας ἀπόσχοιντο. ἀνη-
λεῶς πάντας ἀναιρε-
θῆναι· οἱ δὲ συλληφθέν-
τες διὰ τὸ τῆς εἰς Χ(ριστὸ)ν
πίστεως ἀμετάθετον
ἀνῃρέθησαν πρὸ τῆς
πόλεως· πλὴν μόνου
ἑνός· καὶ τούτου μελλι-
κώτερόν τι διὰ τὸ θέ-
τος· οὐ γὰρ ὥστε τὸν
ἀγῶνα διαφυγεῖν ἀπε-
λείφθη· ἀλλ' ὥστε μεί-
ζοσι προσπαλαῖσαι
κακοῖς· ἵνα δὴ καὶ μα-

ζομας λάμποις στεφάνους·
ὁ θαυμάσιος οὗτος ἀγα
θάγγελος ἦν· περὶ οὗ καὶ
σαφέστερον ἐξῆς δηλωθή
σεται· Διοκλητιανὸς δὲ·
τὸν μέγαν μετὰ μικρὸν πά
λιν παρίστησι κλήμεν
τα· καὶ ῥήμασι μὲν τὸ πρῶ
τον καὶ κολακείαις· ἐπει
ρᾶτο περιγενέσθαι τῆς
ἀνδρείας ἐκείνου καὶ
γενναιότητος· ὡς δὲ οὐ
δὲ μοῶν ἄχοντι προσιάλ
λων· ῥίψας τὴν πεπλασ
μένην πραότητα· ὅπερ
ἦν ἀμφανδὸν κ· καὶ κόλασι
αὖθις τινὰ καινοτέρα
διενοεῖτο· ἡ δὲ ἦν· δια
ταθῆναι μὲν οὕτω καὶ ἀ
πὸ τοσούτου πλήθους τὸ
μάρτυρα· ὥστε καὶ τῶν
μελῶν αὐτοῦ τὰς ἁρμο
νίας διαλυθῆναι· δή
μιους δὲ περιστάντας
αὐτὸν· ἀποκνῶσ ἄχρι πολ
λοῦ ξηροῖς ἰουμέροις

τ' ὑπεμδιᾶ τῶν σαρκῶν·
ἐπεὶ δὲ καὶ πρὸς ταύτην
ἐκεῖνος ἀνεγενναίως
τὴν τιμωρίαν· ὁ βασι
λεύς· οἶδ' ὅτι φησὶ μὲ κλή
μη· τυχὴν μὲν ἔχεις σφό
δρα φιλόνεικον· σῶμα
δέ· ὑπερβαίνειν ταύτην δύ
ναμιν· ἀλλ' οὐδὲ γὰρ
πάλιν ἐνδώσω· καὶ σιδη
ροῖς γάρ σου πειράσομαι
ὄνυξι· τάχα γάρ· σιδη
ροῦς τις εἶ καὶ μαρκώδης
οὐ καὶ δυσαίσθητος· εἰ
πως ἀνατούτοις ἀφυ
πνώσω. καθ' ἃ ὕπνον
καθεύδοντα· καὶ ὁ μάρ
τυς· εὖ γε ἔφη ὦ πάσ ὦ
βασιλεῦ· καθεύδω γὰρ
οἷον εἴ τινα γλυκὺν ὕπνον·
οὕτως μετὰ τοῦ ἐμοῦ Χριστοῦ πρό
τοις ὑπὲρ αὐτοῦ πόνοις
κοιμιζόμενος· μὴ φεῖσαι δὲ
πάλιν καὶ ἐγρηγορέναι
παρασκευάζοντος· ὅπερ
τὸ αὐτὸν χρὴ κηρύξαι.

καὶ ὑπὲρ ἐκείνου παρρη-
σιάσασθαι· ὁ δὲ βασιλεὺς
μετεωρίσαι τοῦτον ἐπὶ ξύ-
λου τοῖς δημίοις κελεύει·
καὶ οὕτω καταξαίνειν σιδη-
ροῖς ὄνυξιν· ἕως ἂν αἱ τῆς
σαρκὸς αὐτοῦ καθάπερ
ἀμαλλος θεῖσιν· ἐκκενω-
θῇ δὲ τὸ αἷμα. καὶ μόνα
τὰ ὀστᾶ ὑπολείπηται·
Τῶν δημίων οὖν σφοδρῶς
ξεόντων τὸν μάρτυρα·
ἐκεῖνος· πρῶτα μὲν
ἑαυτοῦ προσχών· εἶτα
καὶ πρὸς τὸν τύραννον
ἀπιδών. οὐκ ἐμὸν τὸ σῶ-
μα φησὶ τὸ παρόν· οὐδὲ γὰρ
ἀλγῶ πάντως ξεόμενον·
ἀλλ' ὁ μὲν δέδοται μοι πα-
ρὰ τῆς φύσεως. ταῖς
προλαβούσαις ἀμαλλοθή-
καις ὅμοιος· τὴν δὲ νῦν ἐ-
πιτρέχουσαν τοῖς ὄνυξι
σάρκα· καὶ τῶν μελῶν τὴν
ἁρμονίαν συνέχουσαν. ὁ ἐ-
μὸς ὃν ἐνδέδυμαι Χριστός· δι' ὃν

καὶ τὴν προτέραν ἀποδύ-
σάμενος· ἧς δή που καὶ μυ-
ριάκις ἀποξεσθήσομαι. ἕως ἂν δὲ
σε πάλιν ἑώρων· οὐδὲ
γὰρ ἄλλο ὁ πηλὸς ἐπιλείποι
τὸν κεραμέα· ὁ μὲν
οὖν ταῦτα φησὶν ἐπαύσα-
το· Διοκλητιανὸς δὲ αὐτὸν
λαμπάδας πρὸς κε-
λεύει προσφέρεσθαι· τοῦ
δὲ κἀκείνας. φέρειν ἤσκησεν·
ἀλλ' οὐχὶ καὶ πρὸς ἔχον-
σαι δύναμιν· ἔκπληξις
εἶχε τὸν βασιλέα λοιπόν
καὶ πρὸς τοὺς παρεστῶ-
τας ἐπιστραφείς. ἔφη·
πολλοὺς μὲν εἶπε τοῦ-
δε τοῦ ὀνόματος χριστιανῶν
ἐξαρνησαμένων τε καὶ ἀ-
μεῖλον· ἀλλ' οὐδένα τοι-
αύτης ἄνδρα τύχης καὶ
γνώμης ἐθεασάμην· ὁ
δὲ σῶμα στερρὸν οὕτω καὶ
καρτερικὸν καὶ διὰ θαύμα-
τος· παραπέμπει γὰρ
αὐτὸν εἰς τὴν Νικομήδειαν·

τέρας ὡς εἰκὸς ἀπιστο-
μαξιμιανῶ· οὐδὲ γὰρ ἄν·
οὐδὲ αὐτὸν ἄνδρί ποτε
οἶμαι τοιοῦτον περιτυ-
χεῖν· αὖθις κἀπω δειμῶς
καὶ ἰσχυρογνώμονι· ταῦ-
τα ἐν θαύματι πρὸς τοὺς
παρόντας εἰπών· ἐψη-
φίζεται κλήμεντα
δεθέντα· μαξιμιανὸς
πρὸς τὴν νικομήδους
διαπόντιον ἄγεσθαι· γρά-
ψας καὶ πάντα τὰ κα-
τ' αὐτόν· ἔτι δὲ καὶ τοῦτο ση-
μάνας· ὡς εἰ μὲν ἕλοιτο
τοῦτον δυνήσεται· αὖθις
πρὸς αὐτὸν ἀναπέμπεται·
εἰ δ' οὖν· ἀλλὰ κακῶς αὐτὸν
τοῦ ζῆν ἀπεξάγειν·
Ἐξήγετο τοίνυν τῆς ῥώμης
ὁ ἅγιος· ὑπὸ πολλῶν μὲν
χριστιανῶν προπεμ-
πόμενος· πολλοῖς δὲ
δακρύων αἴτιος καθιστά-
μενος· οἱ μὲν γὰρ ποδῶν
ἥπτοντο· καὶ χεῖρας ἠσπά-
ζοντο· οἱ δὲ τράχηλον πε-
ριεβάλλοντο· σὺν δά-
κρυσι καταφιλοῦσιν· ἄλ-
λοι τοῖς αἵμασι κατεχρί-
οντο· τοῖς τραύμασι προ-
σέφυοντο· τῶν ἱματί-
ων οὐκ ἀπεσπῶντο· ὅλαι
πρὸς ἀριστέας· ὁ γενναῖ-
ος ἀγωνιστής· ὁ σιδήρου
λάρυτος ἰσχυρότερος·
Οἱ γοῦν ἀπαγαγόντες αὐτόν·
ἐπικλασθέντες τοῖς ὀ-
δυρμοῖς· ἀνῆκαν ἄχρι
πολλοῦ· ἐπεὶ δὲ καὶ τὸν
πλοίου ἔμελλεν ἐπιβῆ-
ναι ὁ μάρτυς· τῶν περι-
εχομένων ἀποσπασθεὶς
ὥσπερ μέλος κοινὸν
τῇ τε πόλει τὰ εἰκότα
καὶ ἑαυτῷ ἐπευξάμενος.
οὕτως τῆς νηὸς ἐπέβη· καὶ
τοῦ πλοῦ ἤρξατο· ἀλλά τι
καὶ περὶ τὴν ναῦν ὁ σοφὸς
τῶν ὅλων κυβερνήτης
οἰκονομεῖ θεός· καὶ ὁ πρό-
τερον τὸ μαρτύριον διὰ

φυγὼν. ἔρως μᾶλλον μὲν ὢν
τὸ γένος. ἀγαθάγγελος δὲ
τὴν κλῆσιν. σὺν πολλοῖς
ἐνταῦθα τῷ μαρτυρί-
μεται· καταλαμβάνων γὰρ τὸ
πλοῖον· καὶ ὀλίγα συλλα-
λήσας τοῖς ναύταις. πα-
θεὶ ῥαδίως· καὶ εἰσελ-
θὼν. κατά τι μέρος αὐτοῦ
λανθάνων ἐκρύπτετο·
Ἐπεὶ δὲ καὶ ὁ μάρτυς αὐτοῦ·
καὶ οἱ στρατιῶται τοῦ πλοί-
ου ἐπέβησαν· ἀπέχοντες
τῆς γῆς ὅσον σταδίους δι-
ακοσίους· ὁ ἀγαθάγγελος
προσευχόμενος κατὰ μό-
νας τῷ μάρτυρι προσῆλ-
θε· καὶ λαβόμενος αὐτοῦ
τῶν ποδῶν. τῆς ἐν τῇ
φυλακῇ ἀναμιμνήσκει
ὁμολογίας καὶ τοῦ ὁρά-
ματος· εἶτα καὶ
τὴν ἐκ τῆς σφαγῆς φυ-
γὴν διηγεῖται· ὁ μάρτυς
οὖν τὸν ἀγαθάγγελον ἐπι-
γνούς. ἡ ἀνάζητο τοῦτον

περιβαλὼν ἔφη· σὺ ἦ ὁ δὲ
μὴ περιέβαλλεν· εἶτα.
καὶ τῷ θεῷ διελθὼν· εὐ-
χαριστῶ σοι κ(ύρι)ε ἰ(ησο)ῦ χ(ριστ)ὲ λέ-
γων· ἡ μόνη παράκλησις ἐμοὶ
καὶ βοήθεια· ὅτι με μὴ
τὸ κατὰ γῆν μόνον τὸ κα-
τὰ θάλασσαν. ἔρημον
τῆς σῆς βοηθείας κα-
ταλιμπάνεις· περὶ
γρὸς τῇ τύχῃ μου. προ-
σομοιῶσας γινόμενος·
Ἰδοὺ γὰρ καὶ ἐν μέσῳ θα-
λάσσης· ἐν ἀγαθῷ ἀγγέλῳ
τῷ πιστῷ τούτῳ μοι ἀ-
δελφῷ ἐγνώσθης· ὅστις
ἀπ' αὐτῆς μοι τῆς κλή-
σεως. τὴν παρὰ σοῦ
ποιεῖ τοῦτο βοήθειαν· ἀ-
γαθῶν ἄγγελος· καὶ κα-
λούμενος καὶ γινόμενος·
ἀλλὰ παράσχου καὶ αὐτῷ
χ(ριστ)ὲ βασιλεῦ. τὸ σὸν ἔσπε-
ρας ἀεὶ ἐν θέλημα· καὶ
δόξασον αὐτὸν τῇ ὁμολο-
γίᾳ σου· ἵνα κἀγὼ πάλιν ἐν

αὐτῶν δοξασθῆς· ὁ μὲν
οὖν οὕτως συναγάθαλ-
λως νυκτὸς καὶ ἡμέρας
ἀρχόμενος ἦν· τροφὴν
μὲν οὐ προσιέμενοι· οὐ
δὲ γὰρ εἶχον πόθεν· τῷ
ζῶντι δὲ ἄρτῳ καὶ τῷ
ὕδατι· ἀφανῶς τρεφό-
μενοί τε καὶ ποτιζόμε-
νοι· κατελεήσαντες
τοίνυν αὐτοὺς τῆς πολ-
λῆς ἀσιτίας οἱ στρατι-
ῶται· μεταδοῦναι
βρωμάτων τούτοις ἐ-
πειρῶντο· οἱ δὲ τοὺς
στρατιώτας μὲν τῆς προ-
αιρέσεως ἀπεδέχοντο·
τὴν τροφὴν δὲ οὐκ ἐ-
δέχοντο· ἄνωθεν αὐτὴν
ἐκδέχεσθαι λέγοντες· ὃ
δὴ καὶ γέγονε· περὶ γὰρ τὴν
πρώτην φυλακὴν τῆς
νυκτὸς· οὐρανία τροφὴ
τοῖς δικαίοις ὑπὸ τῶν ἄ-
νωθεν χορηγεῖτο δυ-
νάμεων· καὶ ἀγγέλων ἄρτ(ον)

ἐτρέφοντο ἄγγελοι· μεθ' ἱ-
καμὰς δὲ ἡμέρας· εἰς
Ῥόδον κατήχθησαν· καὶ
οἱ μὲν ἄλλοι πάντες ἐπι-
σιτίσασθαι κουληθέν-
τες· ἐξῆλθον τοῦ πλοί-
ου· τῶν δὲ φυλάκων
οὗτοι ἐδέοντο· συγχω-
ρῆσαι αὐτοῖς τὴν τῶν χρι-
στιανῶν ἐκκλησίαν πα-
ρακαλεῖν· καὶ τῶν ἀχράν-
των μεταχεῖν μυστηρί-
ων· Φωτεινὸς δὲ ὁ τῆς
Ῥόδου πρόεδρος· συ-
χνοὺς παραλαβὼν τῶν
ἐκεῖσε χριστιανῶν· εἰς
τὸν αἰγιαλὸν ἀφικνεῖται·
καὶ τοὺς φύλακας ἠτεῖ-
το ὥστε λυθῆναι τοὺς
μάρτυρας τῶν δεσμῶν·
καὶ τὴν ἐπὶ τῆς ἐκκλη-
σίας αὐτοῖς ἀνεθῆναι
πάροδον· ὧν καὶ τυχόν-
των ὑπὸ πολλοῖς τοῖς
εὐχαριστηρίοις ὕμνοις οἱ
μάρτυρες ἐπὶ τὴν ἐκκλη

σίαν προσπέμπονται·
καὶ ἀκολούθως τῆς ἱε-
ρᾶς τῶν εὐαγγελίων προ-
τεθείσης βίβλου. τὰ
τῷ καιρῷ προσήκον-
τα τοῖς ἄλλοις ἐδήλου
το σημαίνοντα· τίνα
δὲ ἄρα ταῦτα· μὴ φοβεῖ-
σθε ἀπὸ τῶν ἀποκτεν-
νόντων τὸ σῶμα, τὴν
δὲ ψυχὴν ἀποκτεῖναι
μὴ δυναμένων· ἐφ' ὧν
διατεθέντες ἤδη ὡς οἱ
ἄλλοι. καὶ ὀφθαλμοὺς
ὁμοῦ καὶ χεῖρας εἰς οὐ-
ρανοὺς ἀνασχόντες. ὑπὸ
περιχαρείας δὲ δακρυ-
μένοι προσηύχοντο.
Ὁ δὲ θεοφιλὴς ἐκεῖνος
ἐπίσκοπος· τὴν ἄλλην
λειτουργίαν τὸν ἱερώ-
τατον Κλήμεντα. τε-
λέσαι ἠξίου· ἧς δὴ καὶ
τελουμένης· ὁρῶσι
πολλοὶ τῶν ἀξίων. φο-
βερὸν ὧδέ πως τὸ θέα-
μα καὶ φρικτόν· ἄνθρα-
κα μὲν φωτὸς ὑπερμε-
γέθη· τῆς ἀχράντου
καὶ ἱερᾶς τραπέζης
προκείμενον. λαχεῖν
μόνον οὖν τῶν δὲ πλῆθος
ἐπὶ τοῦ ἀέρος ἱπτάμενον.
Ἐκεῖνοι μὲν οὖν τὴν ὄψιν
οὐκ ἐνεγκόντες. πρη-
νεῖς εἰς γῆν κατέπι-
πτον· τῆς φήμης δὲ
πᾶσαν ἐν ὀλίγῳ τὴν πό-
λιν διαδραμούσης πολ-
λοὶ καὶ τῶν ἀπίστων συν-
έρρεον· τοῖς νοσοῦσι τε
αὐτῶν ἐπαιρόμενοι· ὧν
καὶ παραυτίκα θεραπευ-
ομένων. αὐτοί τε καὶ
ἐκεῖνοι τῷ θαύματι ἐ-
χειραγωγοῦντο πρὸς
τὴν ἀλήθειαν· ἐξεπλήτ-
τε ταῦτα τοὺς στρατιώ-
τας· καὶ τὸν πολὺν τῆς
πόλεως ὁρῶντες πε-
ρὶ τὸν Κλήμεντα πόθον·
εἶτα καὶ δεδιότες μή τι

καὶ τὰ αὐτῶν μὲν ὥσπερ ἰσθέ
ἡ· τὰ δὲ ἡμῶν τὸ περιτί
θουσι πάλιν τοῦ μάρτυ
ρι· καὶ εἰς τὸ πλοῖον ἀνα
παρουσιν· ἐπιφόρου τοι
μῶν τοῦ ἀνέμου τυχόν
τες· διαπλέουσι τὸ αἰ
γαῖον· καὶ εἰς τὴν νικο
μήδους κατὰρ αὐτῶν.
ὡς τὸμ μαξιμιανὸν εὐ
θέως καταίρονται· ὁ δὲ
τὰ διοκλητιανοῦ δεξά
μενος γράμματα· καὶ
τὰ πολλὰ μὲν καὶ ἀπαι
τοῦν διδαχθεὶς σιωπᾶ δὲ
ταῦ δὲ τοῖς γράμμασι
καὶ ταῦτα ἰδὼν· οἷον ὁ
τιν παραίτημα ἀγνώμες·
ἢ τοῖς ἐλευθερίαν· οἷος
ἐκεῖνος κρίνειν· τὰ τοι
αῦτα δεινὸς. ἀπαρ
ῥεῖσθαι τὴν δ' ἤγασι·
καί τινα φροντίδων
πολεμικῶν ἀσχολίαν
αἰτιασάμενος. τοῦ δὲ
παρέχων ἀγριππῖνος τὰ

κατὰ τὸν σαμμαῖον ἐπι
τρέπει κλήμεντα· ὁ δὲ
τοῦτον παραιτησάμενος.
εἰ αὐτὸς ἐκεῖνος εἰκλη
μηκὼς θρυλλούμενος
ἠρώτα· τοῦ δὲ ἐκεῖ
νο τὸ ἀποκριναμένου·
καὶ ὁ τοῦ χριστοῦ δοῦλος προσ
θέντος. ὀργισθεὶς ἀγρίπ
πῖνος ἐπλήρωσεν αὐτοῦ
καὶ τὰς κόρρας ἐν τῷ μὴ
δοῦλον ἐπιλέγων τὸν
βασιλέως καλεῖσθαι
τόν· ἀλλὰ μὴ τοῦ χριστοῦ· καὶ
ὁ μάρτυς· ὁ φθὴν ἔφη
καὶ οἱ βασιλεῖς ὑμῶν
χριστοῦ δοῦλοι ἐκλήθησαν·
ἀλλὰ μὴ κακῶς αὐτοὶ
μᾶλλον τῇ ἀσεβείᾳ
ἐδούλευον· καὶ ἡμῶν
κρατεῖν ἀλλ' ὀκνητῶς ἐ
φιλονεικοῦσιν· ἀγρίππι
νος οὖν· πρὸς μὲν τὸν
κλήμεντα τὸ περι
ὁμοῦ τῆς ὀργῆς. οὐδὲν
ἀντέφθεγξεν· πρὸς

δὲ τὸν ἀγαθάγγελον ἀπο-
δοὺν. οὐδὲ τις εἰ ἔφη· ἀ-
δεῖ γὰρ ἔγκεισαι τοῖς διοκλη-
τιανοῦ γράμμασιν· ὁ δὲ
πρὸς τὸν ὅπωσον ἄρας ὅ-
μου τοῖς ὀφθαλμοῖς καὶ
τὸν κλήμεντα· ὁ κατο-
ρθοῦν γὰρ ἦξειν αὐτοῦ τὴν
μονὴν θείαν ἤλπιζε. κἀγὼ
χριστιανός εἰμι ἔφη· διὰ
τοῦ δούλου τοῦ χριστοῦ κλήμεν-
τος. τῆς μακαρίας ἀξι-
ωθεὶς ταύτης κλήσεως·
Τότε ὁ ἀγριώπινος· κλή-
μεντα μὲν κελεύει με-
τεωρισθέντα. ῥαβδίζε-
σθαι· ἀγαθάγγελον δὲ. μυ-
ρίοις ὑποδημίοις ὠ-
μότατα τύπτεσθαι· ἐ-
πεὶ δὲ καὶ τὴν τοιαύτην
βάσανον ὁμοῦ μακρῶς κλήμης
ὑπέμενεν· ὑπὲρ δὲ αὐ-
τοῦ καὶ ἀγαθαγγέλου τοῦ
θεοῦ ἀνδρὶ ὠμῶς ἀχθό-
μενος· ὁ ἔπαρχος· τότε
μὲν ἀνῆκεν αὐτοὺς τῆς

κολάσεως· καὶ τῇ φυλα-
κῇ δίδωσι· θέατρον δὲ
εἰς τὴν ἐξῆς αὐτοῦ καὶ
θηρία ἑτοιμασθῆναι
κελεύει· καὶ τὸ πλῆθος
πολλά· καὶ τὸ γένος διά-
φορα· καὶ ὑπερφυᾶ τὴν
ὠμότητα· οἱ μὲν οὖν
ἄλλοι τοῦ δεσμωτηρίου ἐν-
ειληθέντες· συντόμως
τέρας εἶχον τὸ τῆς ἀρχῆς·
ἄγγελοι δὲ αὐτοῖς ἄνω-
θεν ἐφίσταντο. πρὸς
τὸν μάρτυρι ὃν ἤλειφον·
Ὅσοι γοῦν καὶ ἄλλοι κατὰ
τινας αἰτίας ᾤκουν τὸ
δεσμωτήριον· τότε τῆς
δεήσεως αὐτῶν ἐκτε-
νῶς ἰδόντες· καὶ τῆς τῶν
ἀγγέλων αἰσθόμενοι πα-
ρουσίας· καὶ τὴν θαυμα-
στὴν ἐκείνην ἐκπλαγέντες
παράκλησιν· προσπί-
πτουσί τε τοῖς ἁγίοις· καὶ
τὰ περὶ χριστοῦ καὶ αὐτοῖς
εἰς γνῶσιν ἐλθεῖν ἀξι-

οὖσιν· οἱ μὲν οὖν ἄχρι με
σονυκτίων τοῖς ἀνδράσι
διαλεγόμενοι. εἰς τὴν ἀ
λήθειαν τούτους πίστιν κα
τήρτισαν· καὶ τῷ θείῳ
βαπτίσματι ἐσφράγισαν
το· εἶτα ὁ μέγας Κλήμης·
τὰς τοῦ δεσμωτηρίου πύ
λας ἀχῇ μόνῃ διανοιχθεί
σας. ἐκείνους μὲν χαί
ροντας χαίρων ἀφῆκεν·
αὐτὸς δὲ σὺν τῷ Ἀγαθαγγέ
λῳ. παρὰ τῇ φυλακῇ τοῦ
πελήφθη· τοῦτο ἰσχυρῶς
ἐκμαίνει τὸν Ἀγριππῖνον·
καὶ τοὺς ἄλλους παραγαγὼν εἰς
τὸ θέατρον· λέοντας αὐ
τοῖς· καὶ πολλοὺς τῶν θη
ρῶν ἀφεθῆναι κελεύει·
Οἱ δὲ ἅμα ἐθεῶντο. ἐκείνους
μὲν οὐδὲν ἐποίουν κακόν·
ἀγριωτέρως δὲ τὴν καρδί
αν ἐπλήττοντο ἰσχυρῶς· οἱ
μέντοι μάρτυρες· πρό
φασιν τῆς εἰς θ(εὸ)ν δοξο
λογίας ἐποιοῦντο τὸ

θαῦμα· δόξα σοι χ(ριστ)ὲ ὁ θ(εὸ)ς
λέγοντες· ὅτι καὶ λέοντες
ἡμᾶς παραδόξως ἠδέ
σθησαν· καὶ διὰ τῶν τα
πεινῶν ἡμῶν· τὰ κατὰ
τὸν σὸν προφήτην Δανιὴλ
ἐκαινώσω· εἶτα ὁ ἄγριος
τ᾽ ἀληθῶς ἀγριωπῖνος· τὸ
χειροήθες καὶ τιθασὸν
τῶν θηρῶν· αἴτιον τοῦ
θαύματος γενέσθαι εἰπών·
κελεύει σούβλας ἰσχυρῶς
ἀνεκπυρωθείσας· δι
ὰ μέσων τῶν δακτύλων
ἑκατέρας χειρὸς ἄχρις
ἀγκώνων αὐτῶν ἐμπαρῆ
ναι· οὗ γενομένου· καὶ
τοῦ σιδήρου τῶν σαρκῶν
ἁπτομένου. δεινὸν μὲν ἐ
κεῖναι τὰ πρῶτα σιγῇ
γενναίως ὑπερηφίσαν· εἶ
τα πορφύρεος πῦς ἐκχυ
θὲν τοῖς μέλεσι σὺν αἵματι
καπνοῦντα. συνεμμύσαν τέ
τοῦ προσενόκειτη μδι
μαμιν· καὶ κηρίσκον μάτον

καὶ καπνοῦ τὸν ἀέρα ἐ-
ποίει· οἱ μὲν οὖν παρόν-
τες δυσχεραίνοντες πρὸς
τὴν πικρίαν τοῦ γινομέ-
νου· φανερὸν ἐποίουν τὸ
πάθος· καὶ ἀφεθῆναι τοὺς
ἄνδρας ἐβόων· ὁ ἀγρίπ-
πῖνος δὲ περιφλεγὴς μᾶλ-
λον καὶ ἔκφρων τῇ μανίᾳ
γενόμενος· καὶ ἄλλας κε-
λεύει σούβλας ἐκπυρω-
θείσας· ὑπὸ ταῖς μασχά-
λαις αὐτῶν ἄχρι καὶ ὤμων
διαπαρῆναι· ὁ δὴ καὶ μᾶλ-
λον αὐτοῖς τὴν ὀδύνην ἐ-
πέτεινεν· ὁ δῆμος τοίνυν·
τοῦτο μὲν πρὸς τὴν ἀγριό-
τητα τοῦ ἄρχοντος χα-
λεπήναντες· τοῦτο δὲ καὶ
τὸ γνομὸς θαυμάσαντες·
ὅπως οἱ μάρτυρες πρὸς
τηλικαύτας ἀντέσχον ἐπα-
γωγάς· πρὸς μὲν τὸν ἄρ-
χοντα λίθους πανταχό-
θεν ἀφῆκαν· μάρας δὲ ὁ θεὸς
τῶν χριστιανῶν ἐξευμενὴ

σαν· θορύβου τοιγαροῦν
ὡς ἦχος πολλοῦ γενομέ-
νου· καὶ τοῦ ἐπάρχου φυ-
γόντος· κατὰ πολλὴν οἱ
μάρτυρες ἄδειαν· ἐπὶ
τὴν πέραν μὲν τὸ ὄρος ἀνῆλ-
θον· ἐν ᾧ αἵ τε θυσίαι τοῖς
ἕλλησιν ἐτελοῦντο· καὶ
τῶν παρ' αὐτοῖς ἐπισήμων
θεῶν· εἴδωλα κατέκρυ-
πτεν· ἀλλ' οὐδὲ οὕτως τῆς
ὀργῆς ὁ ἀγριππῖνος ἐ-
λήγεν· ἐπεὶ μέλλων γὰρ
δι' αὐτῶν ὑπὸ χεῖρας ζη-
τήσας· εὑρίσκει μόλις
ποτὲ τοὺς ἁγίους ἐν τῷ
ὄρει· ἐν ᾧ καὶ προκαθί-
σας ἐπὶ τοῦ βήματος·
καὶ τούτοις πολλῶν πα-
ρόντων ἀγαθῶν· τί δή πο-
τε φησὶ ταῖς ὑμετέραις
μαγγανείαις· διέστησα
τε μὲν τὸ πλῆθος ἀν-
τ' ἀλλήλων· χεῖρας δὲ
καθ' ἡμῶν ἄρας· καὶ πρὸ(ς)
ἄρνησιν ἐλθεῖν τῶν θεῶν

ἂν ἐποιήσατο; καὶ οἱ μάρ
τυρες· ἡμῖν μὲν ὧν ἐπαρ
χεῖ εἶπον· οὐδὲν εἰς ἀν
ματροπὴν ἐπράχθη τὸν
δῆμον· ἀλλὰ καὶ ἡμῶν
σιγώντων. ὁ ἀληθὴς αὐ
τοῖς ἀπὸ τῆς ἀληθείας
διεγνώσθη θεός· οὐδὲ εἶ
τι μανιώδης καὶ πάλιν
ἡμῖν δι' αὐτὸν τιμωρίαν
ἐπάγειν. ταχέως ἐπάγαγε
ρε· δύναται γὰρ οὗτος
ἡμᾶς. τῶν ὑμετέρων ἐ
ξελέσθαι πάντως χειρῶν.
Οὗτος εἰπόντας. πρὸς
τὴν κορυφὴν τούτοις ἀπο
τέμνει τοῦ ὄρους· καὶ ξύ
λοις παχυτάτοις τὰ τῶν
ὀστέων συνθλάσας· καὶ τὰς
σάρκας ὁ ἱμοῖς κατατέμνων·
εἰς σάκκους ἐμβάλλει·
καὶ λίθους αὐτῶν ἐκδή
σας μεγίστοις, κατὰ τῆς
ὑπωρείας ἀφίησιν· οἱ
μὲν οὖν παρόντες. ἀπο
θανεῖν τοὺς μάρτυρας

ᾤοντο· τῆς ἐσχάτης δι
ασπασθέντας φορᾶς· οἱ
δὲ ὅσον οὕτω φέρονται.
καὶ αὐτοῦ διεκπεσόντες
τοῦ αἰγιαλοῦ. τοῖς ὕδασι
τῆς θαλάσσης κατωλίσθησαν·
Ἄνδρες οὖν ἐκ τῶν μεγαι
ων· ἐπ' ἄγραν διεξελθόντες τῶν
μαρτυρικῶν λειψάνων
ἦσαν ἀξιωθέντες· ὡς ἂν ἐκ
τῆς θαλάσσης ἐκκυμα
θέντα. ταῦτα κομίσαν
τες· καὶ μετ' οὐ πολύ. τὸν
ὠθοῦ τοὺς σάκκους ἀνα
δεθέντας ὁρῶσι· καὶ ἠ
ρέμα τοῖς ὕδασιν ἐπι
πλέοντας· μικρὸς οὖν
ἐκεῖσε ἐπιβάντες· καὶ
αὐτοῖς πλησιάσαντες.
ζῶντας· ὅσης συνεχεῖα
σιλαῖ ἡ δυνάμεις. ἀναιροῦν
ται τοὺς μάρτυρας· μη
δὲ μικρὸν ἐπὶ τῶν πλη
γῶν ἐκείνων ἴχνος ἐ
φ' ἑαυτῶν ἔχοντας· μέ
σης δὲ νυκτὸς· καὶ μάρ

τοῖς ἄλλοις ἐξ ὅπου οὐ φαῦσ
πορικῆς στρατεῦον· ἄλλοι
τε πρὸς τὴν χέρσον ἐ
ξαγαγόντες· καὶ ὠνούμε
ναι δὲ τῆς τροφῆς. καὶ
ταμευλημένην αὐτοῦ
τὴν δύναμιν τῆς συνε
χείας τῶν κακῶν ἀπεκή
σαντο· εἶτα κατὰ μό
σημοι μάρτυρες ἐλθόντες
τὴν πόλιν· τοῖς τε ἄλ
λοις πιστοῖς. τὰ μεγα
λεῖα τοῦ θεοῦ διηγοῦντο·
καὶ αὐτοί. θερμῶς αὐτῷ
εὐχαριστοῦν· πάρεργον
δὲ τούτοις τῆς εἰς τὴν
πόλιν ὁδοῦ. δύο τυφλοί
παραυτίκα ἰῶνται τῷ στοᾷ·
ἕτερος τε τὴν χεῖρα
κατεξηραμμένος. καὶ ἄλ
λος παρειμένος τὸ σῶ
μα· δι' αὐτῶν. ἀπομον
ἔρον θεραπείαν καὶ ἀ
μισθον· ἀλλὰ καὶ ἄλλοι
τῶν ἀσθενούντων πολ
λοί· μαθὼν τοίνυν

καὶ ταῦτα ὁ ἔπαρχος·
αὐτὸς μὲν οὐκ εἶχε λοιπὸν
τὸν ἀγῶνα θαρρεῖ· μα
ξιμιανῷ δὲ τῷ βασιλεῖ·
διὰ γραμμάτων γνω
ρίζει τὰ κατ' αὐτοῖς· μα
κρὰν που νικομηδείας.
σὺν παντὶ τῷ στρατῷ δι
ατρίβοντι· τά τε ἄλλα τὰ
κατὰ μέρος διεξελθών·
καὶ ὅτι· χώρας μὲν τῆς
τῶν γαλατῶν· περὶ δὲ
δὲ τῆς ἀγκυρανῶν μάρ
μηνται· δεξάμενος
οὖν ὁ βασιλεὺς τὰ γράμ
ματα· καὶ τὰ ἐγκείμε
να ἐπελθών. αὐτίκα ὁ
κνεῖ τὴν ἐξέτασιν· καὶ
τοῖς ἄλλοις· ἐν ἀγκύρᾳ
πρὸς ἡγεμόνα τινὰ κυ
ρίκιον παραπέμπει·
οὗτος ἐπιστάς· τὴν σὺν
ρηναμένην· ἔχειν τὰ αὐ
τοῖς καὶ τροφήν· καὶ τι
μωρῆσαι δίκαιον· οὕ
τως ἀμηχάνως τε κ(αὶ)

φος ὁ θεός· ὁ γὰρ τοσαύτην
ἐπεὶ ἐλθὼν γῆν τε καὶ θά-
λασσαν κλήμενος· τὴν φί-
λην μάθοις ὡς ἡ ψυχὴ ὁ ἀπο-
λαμβάνει πατρίδα· ἧς δὴ
καὶ σὺν ἡδονὴν ἐπιμνᾶς. δό-
ξας οἰκείου χάριτος ὁ θεὸς ἔλε-
γεν· ἀνθρώπων ἐπήκουσας
τῆς προσευχῆς μου· καὶ
τῇ πατρίδι καὶ τοῖς προγο-
νικοῖς με τάφοις· μετὰ
καλῆς τῆς προσθήκης.
τοῦ συνάθλου φημὶ ἀγα-
θοῦ ἀδελφοῦ ἀποδέδωκας·
νῦν ὅπου τὴν γέννησιν ἔ-
σχον· καὶ τὴν τελευτὴν ἐ-
κεῖ δέξωμαι· καὶ προ-
καθίσαντι τῷ κουρικί-
ῳ ἐν τόπῳ τινὶ καλου-
μένῳ κρυπτῷ. οἱ γὰρ ῥωμαῖοι
παρίστανται· καὶ ὅσα ἐ-
παγγέλλεται τούτοις ὡς
ἀρχίμοις δὴ θεῶν πειρώ-
μενος. Τοσαῦτα πρὸς αὐ-
τοὺς ὁ ἀδελφός· μαθὼν
ἀκριβῶς ὁ ἀνὴρ τὰ

καθ' ἡμᾶς· ὅσην τε πε-
ριῆλθε γῆν· ὅσους τε
ὑπέμεινε τοὺς κινδύνους·
καὶ ἡλίκας θανάτων
ἐπαφορὰς διέφυγε. πά-
σχω καὶ αὐτὸς τὴν ψυχὴν
ὅσιον εἰ. κοινωνῶν ἡμῖν
καὶ τῶν συμφορῶν· διὸ
καὶ ἀρχοντικὸν πάντα
ὄγκον ἀποβαλλών. προ-
σηνῶς οὕτως ὑμῖν διαλέ-
γομαι· δοκεῖς γάρ μοι πάν-
των ἀνθρώπων θαυμασιώτατος
κλῆμα. τούτου χάριν μὴ
ἐπὶ ξένης σου λυθῆναι
θῦσαι τοῖς θεοῖς. ἀλλὰ μὴ
τῆς οἰκείας ἐπιμνῆς· ἂν
τ' ἄλλης ὡς ἔοικεν ἀμοι-
νῆς. τοῦτο τῇ πατρίδι ταμι-
ευόμενος· καιρὸς οὖν
σοι. τῇ τε πόλει χαρίσα-
σθαι καὶ ἡμῖν· συνεπέ-
σθαι δ' ἐμοὶ καὶ ὁ καλὸς ἀγα-
θὸς ἀδελφός· καὶ τάχιον θύ-
σεις θεοῖς τὰ μεμονωμένα
να· καὶ οἱ ἄλλοι· πῶς ἂν ἀπο-

κλ

ἡμῖν κοινωνήσεις τῶν ἀθλί-
τέων· τοῖς ἤδη μὴ μᾶλλον
ἔχουσι ταύτας· πάθος δὲ
καὶ συμφοράν. τὸ μὴ πα-
θεῖν ὑπὲρ Χριστοῦ πλείονα· καὶ
ἐν τῇ αὐτοῦ πίστει τελειωθῆ-
ναι· εἰ δὲ χρὴ καὶ κοινωνεῖν
ἀλλήλοις τῶν συμφορῶν.
ἡμᾶς δεῖ μᾶλλον οἰκτείρειν
ὑμᾶς· οἵτινες· τὸν ἀληθινὸν
ἀγνοήσαντες θεόν. εἰδώλοις
ἀναισθήτοις προστίθε-
σθε· πρὸς ταῦτα δεινῶς
ἐκθηριωθεὶς ὁ Κουρίκιος·
Ἐπαφίησι μοίρας ὡς ἔ-
οικεν ἀπὸ πονηρᾶς· καὶ
χαίρειν ὡς ὁρῶ τιμωρού-
μενοι· ἐπὶ τὰ κατὰ γυμνα-
σίων ὑμῖν φιλοτίμως πα-
ρέξω· σίδηρον μὲν ἐκπυ-
ρώσας σφοδρῶς· ταῖς τοῦ
Κλήμεντος ὑποβάλλει μα-
σχάλαις· ταῖς πλευραῖς
τοὺς ἀκῶνας ἐγκαταδή-
σας· ἵνα καὶ πικροτέρας
αἰσθάνηται τῆς ὀδύνης·

ξύλον τε ἴσον μήκει τῷ ἀνδρί·
κατὰ γῆς πηγνύει· καὶ τὸν
μὲν Κλήμεντα ὄρθιον ἐν αὐ-
τῷ καταδήσας· τὸν Ἀγα-
θάγγελον δὲ μετεωρίσας.
πλευρὰς αὐτῶν ὁμοῦ καὶ
κνήμας κατέξαινε· καὶ
ὥσπερ ἐπιχαλάζων. εἰ-
τα σαθάμοιν τὸ τῶν κολάσε-
ων δικρότα· πρὸς ὃν ὁ μέ-
γας Κλήμης. τὸ τοῦ Παύ-
λου κατὰ καιρὸν ἀπεκρί-
νατο· ὅσον ὁ ἔξωθεν ἡμῶν
ἄνθρωπος φθείρεται· τοσοῦτον
ὁ ἔσωθεν ἀνακαινοῦται·
Ὁ ἡγεμὼν μὲν οὖν· καὶ σιδηρᾶν
ἐκπυρώσας περικεφα-
λαίαν· τῇ κεφαλῇ τοῦ μάρ-
τυρος ἐπιτίθησι· καὶ κα-
πνὸς μὲν ᾔθροιστο· τοῦ στόμα-
τος· τῶν ὤτων· τῶν ῥινῶν
ἐξεπέμπετο· ὁ ἀθλητὴς δὲ θαυ-
μάζας ἐκεῖνος· καὶ τὸν θεὸν
ἐπικαλεσάμενος· τὸν Σωτῆρα
ὑπὲρ τὸ ζῶν Χριστὸς ὁ Θεός· αὐτὸς
ἐπιστάζοι μοι τὴν δρόσον

427

τὴν παράδοξον· ὁ ἐξαγαγὼν ἡμᾶς
τὸ πρὶν ὕδατος· ἐξάγαγε καὶ
νῦν ἐκ πυρὸς εἰς ἀναψυχήν·
Ταῦτα ἔφη· καὶ τὸ μηχάνη-
μα ἐκεῖνο κατὰ μικρὸν
ἐψυχράνθη· καὶ οἱ τὸν ἄγαν
θάλπον ζέον τῶν ἀποκρί-
ρεσθαι· ἐν φόβοις ὁ ἡγεμὼν
ἐξαπορηθεὶς· τοῖς ἄλλοις
τῇ φυλακῇ παραπέμπει
δεσμώτας· ἡ μὲν τοῖς
φιλοσοφία· ἡ καὶ μητρὸς ἤδη
δεδήλωται καὶ παιδαγωγοῦ·
καὶ πάντα γενομένη τῷ Κλή-
μεντι· διὰ χρόνου τοῦτον
ἰδοῦσα· μετὰ τοῦ κόσμου
τῆς ὁμολογίας λαμπρὸν
ἐπανελθόντα· καὶ πάλιν
λαμπρότερον ἐν τῇ περι-
όδῳ· τῇ προσθήκῃ τῶν κιν-
δύνων γενόμενον· ἔχαιρε
τῇ τύχῃ· προσδοκῶσα με-
τὰ βραχύ· καταπεμπομέ-
νοις ἅμα θεὸν καὶ τοῖς ἀδε-
λφοῖς ἰδεῖν· νυκτὸς
δὲ περὶ τὴν φυλακὴν ἐλ-

θοῦσα· καὶ τῷ Κλήμεντι
ὡς εἶχε περιχυθεῖσα·
καὶ ἡδονῆς ὑπ᾽ αὐτοῦ δάκρυ-
α καταστάζουσα· πάντα
ἐκείνου γνησίως κατεφί-
λει τὰ μέλη· εἶτα· περὶ
τῆς μεταξὺ ἀθλήσεως
διηρώτα· καὶ τίς ὁ καὶ
συναγωνισάμενος αὐτῷ ἐ-
πὶ τοῦ ἡγεμόνος· καὶ μετὰ
ταῦτα πάλιν ἀνακεκλασμέ-
νος· ὡς δὲ ὁ μέγας Κλή-
μης πάντα κατὰ μέρος
ἀπήγγελεν· ἀποστήσασα
τούτων τὸ αἷμα· καὶ κα-
θαρὰς τὰ τραύματα σιν-
δόσιν ἐκμάξασα· τροφὰς
αὐτοῖς παρατίθησιν· ἃς
παιδευθεὶς ὁ Κλήμης ἐτρέ-
φετο· ἐν τοσούτῳ δὲ σκε-
ψάμενος ὁ Κουρίκιος· καὶ
γνοὺς ὡς ἀδύνατον αὐτῷ
τῶν μᾶλλον περιγενέσθαι·
μακαρίῳ τινὶ· τὴν ἀμισ-
νῶν ἀρχὴν τότε διέπον-
τι· τοὔνομα Δομετίῳ· δὲ

μῶντας αὐτοῖς παραινοῦμ-
πει· πρὸς ὃν ἁρμοδίοις ἢ
φιλόπαις· ἢ φιλόμαρτυς
μᾶλλον σοφία. μετὰ τῶν
ὑπ' αὐτῇ τρεφομένων ἠκο-
λούθει παιδίων· ἅπερ αὐ-
τῇ πρώην ὁ Κλήμης εἰσε-
ποιήσατο· ἀπενεχθέντων δὲ
περὶ τῶν παίδων τῷ ἄρ-
χοντι· κελεύει ὥστε· εἰ
μὲν ἀποσχέσθαι Κλήμεντ(ος)
ἐθελήσειαν. ἐᾶν αὐτοὺς οἴ-
καδε ἀναστρέφειν· εἰ δὲ μή.
ἀλλὰ θανάτῳ παραδίδο-
ναι· τοῦτον οὖν οἱ στρατιῶ-
ται ἀπτόμενοι. ὡς ἀ-
πὸ τῶν ἑταίρων τοῦ μάρ-
τυρος· τὰ δὲ οὐχ ὑπομέ-
νοντα τὴν διάζευξιν· ῥί-
πτοντα ἑαυτὰ χαμαί· καὶ
χερσὶ τοῖς ἐκείνου περι-
ιάλλοντα παῖδας· οὐ πρό-
τερον μεθίεσαν. ἕως τῇ
διὰ ξίφους ἕκαστον αὐτῶν
ἐδέχετο τελευτήν· ἔργον στα-
σιν καὶ φρένας. ὑπὲρ ἡλι-

κίαν ἐπιδειξάμεναι· ὁ μὲν
οὖν τοιοῦτος· ὃς τὰ τῶν παί-
δων ἐκληρώθη σώματα.
Κάμπος ἐκαλεῖτο· ἡ δὲ
γε θεοφιλὴς σοφία· οὐ-
κ ἄξιον αὐτῆς ἐλογίσατο·
περιϊδεῖν τὰ φίλτατα
κείμενα ἐπ' ἐδάφους· καὶ
ἀκούσασα γάρ· τοῦ μεγάλου
Κλήμεντος καὶ τοῦ θείου
ἀγαθαγγέλου διΐσταται· φή-
σασα πρὸς αὐτοὺς· ὥσπε-
ρ αὐτοῦ διδόντος. πάλιν
αὐτοὺς ἀπολήψεσθαι· ὁ δὲ
Καὶ τὰ μαρτυρικὰ τῶν
παίδων ἐκεῖνα σώματα·
χερσὶν ὁσίαις τῇ γῇ κατα-
κρύψασα· ἡ μὲν. οἴκαδε
μεθ' ἡδονῆς ὑποστρέφει·
Οἱ μάρτυρες δὲ· τὴν ἀμισηνῶν
πόλιν καταλαμβάνοντες·
εἰς γῆν πεσόντες· καὶ τὴν
παρὰ θεοῦ συμμαχίαν πά-
λιν σὺν δάκρυσιν αἰτη-
σάμενοι. οὕτως ὑπὸ τῶν
στρατιωτῶν τῶν ἱκαρίων

421

προσάγονται· ἀλλ' ἐκεῖνον
περιεώρων τότε τὸ χριστι-
ανῶν ἐξέτασιν ἀσχολού-
μενος. εἰς τὴν ἑξῆς αὐ-
τοὺς ταμιεύεται· παρίστα-
ται τοίνυν αὐτῶν εἰς τὴν
ἐπιοῦσαν. μετὰ ψυχῆς
ἀτρέπτου καὶ γενναίου φρο-
νήματος· τοσοῦτον ἀπέ-
χοντες τοῦ ἀρνήσασθαι
τὴν εὐσέβειαν. ὥστε καὶ
αὐτὸν μᾶλλον πείθειν ὁ μέγας
Κλήμης ἐπιχειρεῖ τὸν δι-
καστήν· περὶ τῶν μελλόν-
των ἀγαθῶν διδάσκων. αὐ-
τοὺς διὰ Χριστὸν ἐκδέξασθαι πά-
σχοντας· διὸ καὶ ἡμεῖς
ἐλάττους τὰς παρούσας κο-
λάσεις. μεθ' ἡδονῆς ὑπο-
μένομεν· καὶ τούτων
ἔτι πλειόνων θέτων αὐτὸν
καὶ ὑποτιθείς. ἡδονῆς
ἐπλήρου τὸν Ἀγαθάγγελον·
ὥστε· πεσεῖν τὸν πρὸς
τοὺς πόδας αὐτοῦ· καὶ
ἀσπάζεσθαι· περιβάλ-
λειν αὐτόν· καὶ τὸ ἤδη ἐ-
κείνου στόμα θερμῶς πε-
ριπτύξασθαι· ἀλλ' ὁ Δομέ-
τιος. ὄνος ἦν τὸ τοῦ λό-
γου λύρας ἀκούων· διό.
καὶ κατὰ τῶν μαρτύρων
ὁπλίζεται· καὶ ἅμα καθέ-
μαι πρὸς τὴν ἐξέτασιν·
ἵνα καὶ ἀσθενεστέρους
αὐτοὺς ἀπεργάσηται· ἀλ-
λ' ἐκεῖνοι· γενναιότερους
καὶ διαιρεθέντες ἀλλήλων
ἑαυτοὺς παρεσκεύασαν·
Ὁ τοίνυν ἄνομος δικαστὴς
ἐκεῖνος· λάκκον τιτά-
νου πληρώσας· ὃν συ-
νήθως ἄσβεστον ὀνομάζουσιν·
ἐν αὐτῷ καταχωννύναι
τοὺς ἁγίους· εἶπε· καὶ
στρατιώτας αὐτοῖς ἐπι-
στήσας. ἀσφαλῶς φυ-
λάττειν ἐκέλευσε· μή
που χριστιανοί φησι νυ-
κτὸς αὐτοὺς ἀποκλέ-
ψωσι· καίτοι ταῦτα μὲν
ὁ μάταιος ἐκεῖνος καὶ μά-

ταῖς οἰσομένοις ἐπὶ χειρῶν·
Οἱ δὲ μάρτυρες· δι' ἑτέρας
ὥρας ἐν τῷ τιτάνῳ ὠλη-
θέντες παρ' ὅλην ἡμέραν·
παρασκευὴ δὲ ἦν· τὸν θ(εὸ)ν
ὑμνοῦντες εἱστήκεσαν·
ἑσπέρας δέ· καὶ φῶς αὐ-
τοῖς ἄνωθεν ἐρράγη· καὶ
δι' ὅλης τοὺς τῆς νυκτὸς
περιέλαμψε· δύο δὲ
τῶν ὑπ' αὐτοῖς τεταγμένων
στρατιωτῶν· τὸ φῶς ἐ-
κεῖνο καταπλαγέντες·
ἄσμενοι τῆς ἀσεβείας
ἐμπεπηδήκασι· καὶ Χρι-
στιανοὺς ὡς εἶχον ἑαυ-
τοὺς ὡμολόγησαν· ἀρ-
τι δὲ ἡμέρας ὑποφαι-
νούσης· τεθνάναι ἤδη
αὐτοὺς προσδοκῶν ὁ
τῆς δυσσεβείας νεκρὸς Ὠ-
κάριος· ἐκκληθῆναι
τούτων τὰ σώματα τοῦ
λάκκου κελεύει· καὶ
προσελθόντες οἱ στρατι-
ῶται· ὁρῶσιν αὐτοὺς

τε καὶ τοὺς πιστεύσαντας
τῷ Χ(ριστ)ῷ ὑπηρέτας· οὐ
δὲ μὲν ἀπὸ τῆς ἀσυνέ-
του χαλεπὸν ὑποστάν-
τας· θείαν δὲ τὴν χά-
ριν· ἔσωθεν τοῦσαν ταῖς ὁ-
τισιν ἐρχόμενος· ἀναφέρ-
ται οὖν αὐτοῖς ἐκ τοῦ
λάκκου· τῷ Ὠκαρίῳ πε-
ρὶ τῶν στρατιωτῶν ἀ-
παγγέλλουσι· φαιδρὸν μὲν
αὐτοῖς καὶ ἄκαρπος τὰ
ὀνόματα· κἀκείνου
κελεύσαντος· εὐθὺς ἀ-
νασκολοπίζονται· λαμ-
πρῶς καὶ αὐτοὶ τῆς ὁμο-
λογίας φαιδρότητος
περιλαμπόμενοι·
Κλήμης μέντοι καὶ Ἀγα-
θάγγελος· ἐπὶ τὸν τοῦ μαρ-
τυρίου δίαυλον ἔρχονται·
ὁ Ὠκάριος δέ· καὶ αὐ-
τοὺς ἐσπούδαζεν ἀνελεῖν·
μὴ πειθομένους ὁρῶν·
θ(εὸ)ς δὲ ἄνωθεν οὐκ ἐ-
δόκει· πλείους αὐτοῖς

τοῖς στεφάνοις πλέκων
καὶ λαμπροτέροις· ἐν
θέν τοι· δύο μὲν ἱμάντας
τῶν ἑκάστου νώτων ὁ
μακάριος διεκκοπῆναι
κελεύσας· ἀνάγεται· καὶ ῥα
βδοῖς αὐτοὺς ἀνηλεῶς.
ὅλον τὸ σῶμα τυμπανίζει·
Οἱ δὲ καὶ ταῦτα γενναίως
ὑπέμενον· ὥσπερ
ἤδη πρὸς τὴν ἀπαθῆ
μεταθέμενοι φύσιν.
μηδὲ μιᾶς ἀνάγκης τοῦ
σώματος αἰσθανόμε-
νοι· ὁ δὲ γενναῖος Κλή-
μης· καὶ ταῦτα πρὸς τὸν
θεὸν διελέγετο· κύριε Ἰησοῦ Χριστὲ
λόγον· ὁ πᾶσαν πνοὴν
ἐκ πηλοῦ χερσὶν οἰκεί-
αις δημιουργήσας· ὁ καὶ
συντριβέντας πολλά-
κις ἡμᾶς ἐπιρρώσας·
καὶ καταπεπτωκότας στη-
ρίξας· καὶ ἀνορθώσας
κατερραγμένους· αὐτὸς
καὶ τὰ συντριβέντα ἡμῶν

ὀστᾶ νῦν ἀνόρθωσον· ὁ
ἐν ἡμῖν τὸν ἀγῶνα τοῦτον
ἀγωνιζόμενος· ἐπεὶ πῶς
ἂν τὸ φθαρτὸν τοῦτο σῶ-
μα· τηλικούτων περι-
εγένετο παθημάτων·
Ὁ μακάριος οὖν κρείττοις
αὐτοῖς καὶ τῶν παρόντων
ὁρῶν· δύο σιδηροῖς ἐκ-
πυρώσας κραβάτοις·
ἐν αὐτοῖς ἀνακλίνει
τοὺς μάρτυρας· κάτω-
θεν δὲ πῦρ ἄφθονον ὑ-
ποστρώσας· ἔλαιον καὶ
πίσσαν καὶ θεῖον ἄνωθεν
ἐπιχέας· καπνοῦ τοίνυν
πολλοῦ καὶ φλογὸς ἐπὶ
πολὺ τοῦ ἀέρος ἀρθέν-
των· οἱ μὲν περιεστῶ-
τες μετὰ τοῦ ἄρχοντος·
ὥσπερ ἦν καὶ τὸ πρᾶγμα-
τι καὶ τῇ φύσει ἀκόλουθον·
τεθνάναι τούτους ἐπί-
στευον· ἐκέλευε δὲ καὶ
τοῖς δημίοις ὁ μακάριος
ἤδη· συνάψαντας τὴν

πυρὰν. ῥίψας κατὰ τοῦ
ποταμοῦ τῶν ἁγίων τὰ
σώματα· τοῖς δὲ ἡμᾶς
ῥα λαιῶν ὑπομονῆς τῆς ἐλ
κὺς καὶ ἀπόρρητος· ἐ
πὶ τῶν ὑπομονῶν. καὶ ὁ τῆς
ἐφοίτα· ἡ δὲ ὁ ὅπως. αὐ
τὸς ἡμῶν ἀγαπωμένης θεῖος Χ(ριστὸ)ς·
μετὰ στρατιᾶς ἀγγέλων
ἐπιφανεὶς· καὶ μὴ φο
νεῖαθεν εἰπεῖν· ἐγὼ γὰρ
εἰμι μεθ᾽ ὑμῶν· ἐκεῖνοι
μὲν οὖν δι᾽ ὑπομονῆς θέντες
ἀλλήλοις ἐκοινοῦντο
τὴν ὅρασιν· ὡς περὶ τὴν
ἀδελφότητα καὶ μᾶλλον κὴ·
ἀλλ᾽ οὐκ ἐμφλογιμένην κα
μένοι· δυνατῶς δὲ· μὴ
ἀχωμόπιλοι τῶν αὐτοῖς
χρήσεται. παραιμαξιμι
λιομένοις ταρσῶν τοιούτοις
ἐκ τῶν ἐμῶν. οἱ δὲ· ὑπὸ
στρατιώταις ἀναμένοι
τῆς ὑπερθέσεως μετὰ πολ
λῶν καὶ ἄλλων χριστιανῶν·
ἐπὶ τῶν τῆς ὁδοῦ μὴ κεῖται

σώματα τῶν ὑμῖν καθαρῶν·
ἄλλως τόδε· καὶ ἡ ὁδὸς
ἡ μὲν διοικουμένη· ἔρημος δὲ
σου καὶ ἄνυδρος. εἰς ὁ ἐξ
δὲ τοσαύτοις τε καὶ τοῖς
συμπορευομένοις ἀμ
φιλεῖ· καὶ ὅσον οὐκ ἐκ
λείπει μὲν ἔμελλον. πάν
τες εἰς γῆν μετὰ δακρύ
ων ἐπὶ πολὺ ἐδέοντο
τοῦ θ(εο)ῦ· καὶ ἔθνος· καθα
ρὸν τιμώμενα καὶ διὰ δὲ
τῆς ἡμέρας ἐκείνης καὶ
ἀμήχανον ἡμέρας ἀλλ᾽ ἀδιδο
ται οὐ καὶ πιόντων. τῆ
ποιζουσαν αὐτοῖς διὰ
ἐκοίμισαν· τῆς φήμης
οὖν καὶ τοῖς πόρρω διά
δοθείσης. συνέρρεον πρὸς
αὐτοὺς οἱ περίοικοι· πο
λύ τι πλῆθος ἀνθρώπων
ἐπαρόμενοι· ἀλλ᾽ ἡ τῶν
μαρτυρικῶν χειρῶν ἀφὴ
μόνον. ἕκαστος τοῦ πά
θους ἦν μέγα φάρμακον·
Ὁ τοίνυν μακαριώτατος

Κλήμης· οὕτως πάσχειν δὲ
δεῖ τὰ διὰ Χριστόν· ὥστε μὴ
δὲ ὅλως προσθεῖναι ταῖς τιμω-
ρίαις τὸν χρόνον αὐτῶν τῆς
ζωῆς ἄρχεσθαι· δέσποτα
κύριε λέγων· μόνε βασιλεῦ τῶν
αἰώνων· μὴ ἀναγάγῃς με ἐν
ἡμίσει ἡμερῶν μου· τοῖς
καθημερινοῖς τούτοις
κινδύνοις ἀποφορέσαντα·
ἀλλὰ παράσχου μοι τῷ
ἁμαρτωλῷ· παρ' ὅλην μὲν
τὴν ζωὴν ὑπὲρ τοῦ σοῦ ὀνό-
ματος πάντα παθεῖν· καὶ
αὐτά σοι καταθῦσαι τὰ μέ-
λη· ὡς δ' ἂν μετὰ πλείονας
ἀπολαύσω πάλιν αὐτὰ τῆς
λαμπρότητος· ταῦτα
εὐξάμενος· φωνῆς ἤκου-
σεν ὁ ὅσιος θεόθεν λεγούσης· ἀ-
περίττως Κλῆμη· νῦν δὲ
δέδοταί σοι· ἴσχε τοίνυν καὶ
τὸν δρόμον ἐντόνως τρέχε
τὸν τῆς ἀθλήσεως· ὁ πᾶς
γάρ σοι τῆς ζωῆς ὑπόλοιπος
χρόνος· μετὰ τῶν ἤδη τῆς

ἀθλήσεως διηνυσμένων· ἔτος
ὀκτὼ καὶ εἴκοσιν ἔτη τῶν
μαρτυρίων ἀριθμηθήσεται·
Οὕτως οὖν ὁ γενναῖος Κλήμης
ἐξ ὅλου τὸ τοῦ μαρτυρίου
λαβὼν ἐχέγγυον· τὴν παρ-
οῦσαν σὺν ἀγαθαγγέλως κατα-
λαμβάνει· Μαξιμιανὸς
δὲ παραιτησάμενος τὸ
τοῖς ἔθεσιν· ἡμέρως καὶ
προσηνῶς ἐπαγγέλλεσθαι
πρῶτον αὐτοὺς ὑπερᾶτο·
ἔοικά τε μοι λέγων τὸν ἄν-
δρα· ὅτι διὰ τοῦτο μακρὶ
μὼν ἀπειθεῖ τε· καὶ πρὸς
οἷς παρεισεμφθῆτε φιλό-
νεικοι λίαν κατασταθῆτε· ἵν'
ἔσω ἡμῶν αὐτῶν ἐλθῆτε·
καὶ ὑπὸ τοῖς αὐτοῦ βασι-
λέως ὀφθαλμοῖς μετα-
βάλησθε· οἶδε γὰρ πολ-
λάκις παρουσία βασιλι-
κή· καὶ γνώμην μεταποιεῖν·
καὶ τὸ σφόδρα πολέμιον
ἐκκαλεῖσθαι πρὸς ὁμοί-
αν· ἰδοὺ τοίνυν τῆς ἡμε-

τέρας ὅ τε ὅσος ἠξιώθητε·
οὐκ εἰς μακρὰν δὲ καὶ τῆς
ἀμυνείας ἀξιωθήσεσθε.
εἴγε τοῖς θεοῖς θύσετε·
Καὶ οἱ μάρτυρες· ὅτι μὲν τῷ
σῷ κράτει παραινοῦμεν τῷ
σῷ βασιλεῖ· χαίρομεν καὶ
αὐτοί· πλὴν ἀλλ' ὡς τιμω
ρίας διὰ Χριστόν· οὐχ ὡς τιμῆς τι
μῆς ἀξιωθησόμενοι· οὔ
τως γὰρ ἂν μετὰ πολλῆς τῆς
παρρησίας· τὸν φόβον τὸν
ἐκείνου καὶ ἄλλ' ἑκάστῳ ἡ
ματι παραταίνημεν· αὐ
τὸς γὰρ ἐστι· δι' οὗ βασιλεῖς
βασιλεύουσι καὶ τύραννοι
κρατοῦσι γῆς· αὐτὸς ὁ καὶ
πᾶν ἔθνος καθαιρῶν· καὶ
τὴν ῥωμαίων ἀρχὴν ὑψῶν.
καὶ ἔτι μᾶλλον ὑψώσων· βα
σιλεὺς γὰρ ἂν ἀσεβὴς μεθ' ἡ
μᾶς εὐσεβεῖς· καὶ ὁ βασι
λεύς· ποίας ἔφη μάταιο
θάνατοι μαντικὰς ἀνέγνω
τε βίβλοις· τὰ τοιαῦτα
μυθολογούσας· οἱ δέ·

οὐ μαντικὰς· ἀλλὰ προ
φητικὰς μᾶλλον εἶπον
ὦ βασιλεῦ· καὶ ὁ μαξιμ
ιανός· τί δέ· οὐχ ἡμεῖς ἐσ
μὲν εὐσεβεῖς βασιλεῖς· οἱ
τοσαύτῃ περὶ τοὺς θεοὺς
εὐσεβείᾳ χρώμενοι· ὥσ
τε καὶ τοὺς ἀπειθοῦντας
αὐτοῖς ὡς περὶ ἡμᾶς ἀμη
χάνοις ἐκδίδομεν κακοῖς;
ἐφ' οἷς ὁ μέγας Κλήμης τὸν
ἀγαθὸν ἀπόλουσι γόντος.
ἀλλ' ὦ βασιλεῦ εἶπεν· εἰ
μέν τις ἀγνοεῖ τῆς ἀσε
βείας μεταβολήν· ἐξ ὅτου
τοῖς προφήταις ταυτὶ
προηγόρευται. εἶχεν ἄν
σοι τὰ εἰρημένα λόγον
τινά· ἐπεὶ δὲ τὰ τῆς εἰ
δωλολατρείας ἔτι καὶ νῦν
ἐστι πολλαχοῦ τῆς οἰκουμέ
νης. δῆλον· ὡς ἕτερος ἂν
εἴη πάντως. ὁ τῶν ἀσε
βῶν βασιλέων καιρός·
Πρὸς ταῦτα· θυμῷ ληφθεὶς
ὁ Μαξιμιανός. τὴν

φωνὴν ἀθρόως ἐνεμύμυτο·
κάμινος τὸ αὐτίκα τῆς χαλ-
δαϊκῆς μείζων. τοῖς ἄλλοις
ἄληκτος· ἀλλὰ καὶ εἰς αὐ-
τὴν ὁμιληθέντας. ἡ θεί-
α χάρις τούτοις ἐδροσίζε·
μίκται μὲν γὰρ καὶ ἡ μὲν ῥα-
όλην. αὐτοῖς ἡ κάμινος εἶ-
χεν· ἦχος δ' εἰς ἐκεῖθεν
ἑορταζόντων ἠκούετο·
καὶ καπνὸς εὐώδης καὶ
ἡδὺς ἀνεφέρετο· ταῦτα
μηνύεται μαξιμιανῷ·
κἀκεῖνος ἐπιστάς· ἤδη
τῆς φλογὸς μαραινομένης.
ὁρᾷ σώους ὄντας αὐτοὺς τοὺς
ἁγίους· ὢ τοῦ θαύματος·
μηδὲ τρίχα τούτων τῆς
φλογὸς λυμηναμένης·
καὶ τούτοις ἀθρόως τῷ
οἰκείῳ ῥήματι παραστή-
σας. κἂν τοῦτο γοῦν ἔφη
γνωρίσατέ μοι· ὁποίαις
δή ποτε ἐπῳδαῖς. τὴν
τοῦ πυρὸς ἀφαιρεῖσθε
δύναμιν· οἱ δέ· οὐκ ἐ-
πῳδαῖς εἶπον· ἀλλὰ
μόνη τοῦ εἰπόντος εὐαγ-
γέλια· ὅτι· κἂν διὰ πυ-
ρὸς διέλθῃς. οὐ μὴ κα-
τακαυθῇς· πρὸς ταῦ-
τα πάλιν ὠργίζετο μα-
ξιμιανός· καὶ σύρεσθαι αὐ-
τοὺς ἐκέλευσε δημοσίᾳ·
καὶ ὑπὸ τῶν δημίων σπα-
ράττεσθαι καὶ τὰ ἔσχατα
ὑπομένειν· ἀλλ' ἐπὶ κακῷ
καὶ ταῦτα τῷ ἐκείνου ἐ-
γίνετο· πολλοὶ γὰρ τῶν ἀ-
πίστων· φρονήματι ὁρῶν
τὸ ἀδούλωτον καὶ ψυχῆς
ἀταπείνωτον. τὴν πά-
τριον ἐξόμνυντο θρησκεί-
αν· καὶ τῷ τῶν μαρτύρων
θεῷ προσετίθεντο· ἀ-
πορίᾳ γοῦν πάντοθεν
περισχεθεὶς μαξιμια-
νός· τέταρτον ἔτος αὐτοὺς
δεσμώτας οἰκεῖν κατα-
κρίνει τὴν φυλακήν· ἕ-
ως φησί· κἂν ὁ μεταξὺ
χρόνος ἐκλύσῃ τὸν

τὸν ὁμοῦ αὐτοῖς. Καὶ τῆς προ-
θυμίας τὸ διάθερμον ἀ-
παμιλλώη· ἀλλ' ἡ μὲν ἀπὸ
μαρτίας τῆς ἐλπίδι τῶν ἀ-
παρτήσαντα· ὁ γὰρ ἐστὶ Χριστοῦ
πόθος· καὶ ἡ τῶν μελλόν-
των ἐλπίς· ὡς παλάτι-
ον αὐτοῖς τὴν φυλακὴν
οἰκεῖν παρασκευάζον·

Μαξιμιανὸς οὖν ἔτι καὶ ταῦ-
τα μαθών· ὤκνει τὴν
εἰς ἔτι πρὸς αὐτοὺς συμ-
πλοκήν· πρόφασιν μὲν,
ὡς δὴ ἀναξίαν ὂν τῶν βα-
σιλικοῦ σχήματος· τὸ δ' ἀ-
ληθές· ὅτι τὸ ἐνδεὲς αὐτοῦ
καὶ ἀταπείνωτον τοῦ
φρονήματος· ταπεινοῦ-
σθαι αὐτῷ τὴν δόξαν ἐδόκει·
οὕτως οἱ ὡς κατεγνωσμένοι
παρῄσαν· πολλοὶ μὲν καὶ
ἄλλοι ἄρχοντες ἅμα καὶ
ἡγεμόνες· ἐκ πολλῶν συν-
ελθόντες ἐπαρχιῶν·
παρῆν δὲ καὶ σακέρδως
ἐπιφανὴς μὲν τὴν γενε-

μονίαν· ὁ ἐπιφανέστερος
δὲ πολλῷ τὴν ἀσέβειαν·

Τούτω Μαξιμιανὸς τοὺς
κατὰ τοὺς μάρτυρας ἐ-
πιτρέψας· καὶ ὅσοι τοὺς
πρὸ αὐτοῦ δεῖξαι φιλο-
νεικῶν· οὐκ ἐκ τῆς τῶν
μαρτύρων ἀνδρείας· ἀλ-
λ' ἐκ τῆς ἑαυτῶν ἀσθενεί-
ας μᾶλλον ἡττηθέντας·
ἐπὶ τοῦ βήματος προκα-
θίσας· παρεσκευασμένος αὐτοῦ
τοῖς συμμάχοις· ποικίλως
μετῄει τὴν πρὸς αὐτοὺς
συμπλοκήν· ἄρτι μὲν
ἐπιεικείᾳ καὶ ἀγαθῶν ἐ-
παγγελίᾳ· ἄρτι δὲ αὐστη-
ρίᾳ καὶ πικρῶν ἀπειλῇ·
πλήν· ἀλλ' ὡς τὸ πρῶτον
τοὺς μάρτυρας παρεστή-
σατο. σακέρδωτι παρί-
στασθαι λέγει· ὁ μὲν οὐδεὶς
Χριστιανῶν τῶν κατοι-
κούντων τὸν τόπον καὶ Γα-
λατίαν διέφυγεν· ἀλλὰ
πολλοῖς μὲν μὴ παραθέντ.

τιμῶντες καὶ δωρεῶν ἠ-
ξίωσαν· καὶ θεοῖς τὸ μέ-
γιστον ὠκείωσαν· πολλοὺς
δὲ τῶν ἀπειθησάντων
χαλεπῷ θανάτῳ παρέ-
δωκαν· ἀλλ' ὑμεῖς θύ-
σατε τοῖς θεοῖς· ὅπως ἂν
ἀναλόγως ὧν ἐπὶ τοσού-
τοις χρόνοις ἐπράξατε
κακῶν, ἀγαθῶν ἀπολαύ-
σοιτε· πρὸς ταῦτα οἱ
ἅγιοι· ὃν μέλλομεν ἡμᾶς ἀ-
ξίως ἀμείψασθαι καὶ τι-
μᾶν, Χριστῷ ἐπιμείνωμεν· ὃς
τοιαύτας δωρεῖται τὰς
δωρεάς· ὡς μηδὲ ἄξι-
α τοῦ νῦν καιροῦ τὰ πα-
θήματα εἶναι πρὸς τὴν
μέλλουσαν ἡμῖν ἀποκα-
λυφθῆναι παρ' αὐτοῦ δό-
ξαν· ἐφ' οἷς καὶ σακέρ-
δως τοῖς προλαβοῦσιν
ὁμοίως ἐποίει· καὶ ζεῦξαι
αὐτοὺς κατὰ τῶν ὤμων
ἐκέλευσεν· ἐπειδὴ δὲ ἀ-
νενδότους ἑώρα· καὶ ἤρα-

χεῖς τοῖς ξεσμοῖς ὁμοί-
ως ἐδίδοτο· ἕως· αὐτή
τε τοῖς παροῦσιν ἡ σύν-
θεσις τῶν μορίων ὡράθη.
καὶ πᾶσα διεμερεῖτο
τῶν ὀστῶν δ' ὅλων ἡ ἁρμο-
γή· σακέρδως οὖν· οὕτ(ως)
ἀθλίως ἥττητο τῶν μαρ-
τύρων, ὥστε καὶ ἅπερ
ἦν ἐκείνοις πάσχειν εἰ-
κός, αὐτὸς ὑφίστατο μᾶλ-
λον· οἱ μὲν γάρ, βαδίζον-
τες πρὸς τὴν φυλακήν,
ᾔεσαν ἐκείνου κελεύ-
σαντος· ὁ δὲ τῇ ἐκ τῆς
ἥττης αἰσχύνῃ καὶ ἀθυ-
μίᾳ λιποψυχῶν· καὶ ὑ-
πὸ πολλῶν διαβασταζό-
μενος, οὕτως αἰσχρῶς
ἀπεχώρει τοῦ βήματος·
μεταξὺ δὲ πρὸς τὴν φυ-
λακὴν τῶν ἁγίων πορευ-
ομένων· ἐκπίπτουσαι
σὺν αἵματι τούτων αἱ σάρ-
κες· τρέχειν ἁπανταχόθεν ἐπὶ τὴν συλλογ(ήν)

αὐτῶν τοῖς πταίουσι πα-
ρεσκεύαζον· ὥσπερ ὧν
εἶχον αὐτὴν κόρην· διὰ τοὺς
ὥσπερ χερσὶν ἀναιρου-
μένοι. εὐλογίαν ἐποίησαν
ὃν λαμβάνειν τιμάν· ἐ-
πεὶ δὲ πάντα φόνον καὶ
πεῖραν· καὶ σοφίσματα
καὶ τεχνάσματα σακερ-
δῶς ἐν μέσῳ καὶ ἄπρακτος
ἦν· καὶ τὸ τοῦ λόγου εἰς οὐ-
ρανὸν τοξεύειν ἐπιχειρῶν·
μαξιμιανὸς ταῦτα μα-
θών· καὶ πλάττων τοὺς σα-
κερδῶτος ἄθλους κα-
τεχέσας. οὗτος ἐστι σακερ-
δῶς ἔφη ὁ ὑπὸ πάντων
ᾀδόμενος; μάξιμος
οὕτως καὶ αὐτὸς ἡγεμὼν
τηνικαῦτα παρεστὼς μα-
ξιμιανῷ καὶ τῶν λεγομέ-
νων ἀκούων. δέομαι τοῦ
σοῦ κράτους ἔφη βασιλεῦ.
ὥστε κἀμοὶ τοῖς ἀνδρά-
σι τούτοις ἐγχειρισθῆναι· ὡς
αὐτοῖς ἐπιθύοιντο τοῖς
μεγίστοις θεοῖς· ὡς ἡ πρὸς
σὲ πάντας αὐτοῖς. ἡ κα-
κῶς ἀπαλλάξονται τοῦ ζῆν·
ἔφη ὧν κατανεύσαντος μα-
ξιμιανοῦ. ὁ γ' οὖν αὐτὸς
τοὺς μάρτυρας διαδέ-
χεται· καὶ τι καινὸν κα-
τ' αὐτῶν πλέκει μηχά-
νημα· ἐκ διαλειμμάτων
τοῦ τοῖς ὁμιλῶν· καὶ ὑποτι-
θέμενα καὶ συμβουλεύειν
αὐτοῖς φιλικῶς· ἀλλ' οὐ
βιάζεσθαι οὐδὲ ἀναγκά-
ζειν βιαίως· χρόνον
δὲ συχνοῦ διαγενομένου·
φανερὰν ὁ μάξιμος τὴν
αἰτίαν ἐποίει. τῆς δὲ ὀ-
λεθρίας ἐκείνης φιλίας·
Προσκαλεσάμενος γὰρ τοὺς
ἁγίους· χαίρετέ φησιν ἐμοὶ
φίλοι· οἱ τῶν ἀθανάτων
θεῶν ὡς γνησίους παῖ-
δας φιλοῦσι· πολλάκις
γάρ μοι καὶ χρησμοῖς ἐπὶ
καὶ ἐνυπνίοις ἔφησαν.
τῆς καθ' ὑμῶν ὀργῆς ἀ-

ναστέλλοντες· τὴν ἡμῶν
αὐθαίρετον γενέσθαι με-
τάνοιαν ἀναμένοντες·
ἢ δὴ καὶ γενήσεται μετὰ
μικρόν. ὡς ἐμοὶ τῆς πα-
ρελθούσης νυκτὸς ὁ μέ-
γας ἐν θεοῖς Διόνυσος
ἔδειξε· φέρε τοὺς ἄν-
δρας πρὸς ἡμᾶς ἐπισκή-
ψας· ἰδοὺ τοίνυν καὶ ὠ-
μὸς ἐντρεπτικῶς. καὶ ταῦτα
θυσιῶν παρεσκεύασται·
θύεται προσελθόντων
τῇ αὐτῶν εὐμενείᾳ·
Πρὸς ταῦτα οἱ ἄλλοι· φαμὲ
ρῶς εἰ πονῶ δίκας ἀν-
διδόασιν· ὅσας γὰρ ἡμέ-
ρας σοὶ προσφθέγγονται
οἱ θεοί σου, τοσαῦτα πάν-
τως καὶ ἐμμυξί· ποῖος
δὲ σοὶ καὶ παρ' αὐτῇ Διόνυσος·
ὁ χαλκοῦς ἢ ὁ λίθινος·
εἰ μὲν γὰρ τὸν ἐκ λίθου
λέγεις, ὅ τε ἱμεταμορφωτὸν
τον· ἢ θλασθέντα καὶ
εἰς οἰκοδομὴν ἐμβλη-

θέντα, ἢ ἐκκαυθέντα
καὶ εἰς ἄσημον μετασκε-
ασθέντα· εἰ δὲ καὶ ὁ
χαλκοῦς σοι διείλεκται,
θᾶττον ἂν καὶ αὐτὸς ἰὸς
ὑπηρετικοῦ σκεύους καλῶς
ἀναχωνευθείη· ταῦτα
τῶν μελλόντων εἰπόντων· ὁ
Μάξιμος· τὸ πρόσωπον
ὁμὲ ἐκ Διός· ὁ ὑπὸ ἡμῶν θε-
ὸς ἐν φαιμένῳ· κελεύουσιν·
ὀβελίσκοις τὸ ἄκρον ὀξέσι·
ποδιαίοις τὸ μῆκος· τὰς
ἀκμὰς ἄνωθεν ἔχοντας.
τῇ γῇ ἐμπεπηγμέναις· καὶ τὸν
μακάριον κληθέντα τοῦ-
τον ταῖς ἀκίσιν ἐπιτα-
θέντα· ξύλοις παχυτά-
τοις σφοδρότατα τυπτό-
μενον ἀναθαλλόντος δὲ· μόλυ-
βδον ζέοντα κατὰ κεφα-
λῆς ἐπιχεθῆναι· τούτου
δὲ γενομένου· ὁ μὲν γεν-
ναιότατος κλήμης τὰ
σπέρματα ἀποθέντι πο-
μένος· καὶ τοῖς ναοῖς τακα-

τῶν θερμῶν τοῖς ὀβελίσκοις διαπειρόμενος· οὐδὲ οὕτως ἔπαθέ τι ἄμεινον· καὶ ἀπαθὴς ἄλλος δὲ ὡσαύτως· ὑπερφυῆ τινα τὴν καρτερίαν ἐπεδείξατο·

Μάξιμος οὖν σὺν τοῖς περὶ αὐτὸν σιδήρων μόνον παράλογον θέαμα· τὰ στέρνα· τὴν καρδίαν· ὅλον ἐξῆς τὸ σῶμα διαπειρόμενον ἅμα· εἶτα· καὶ σφοδρῶς προστυπτόμενον ἅμα θερμῷ· καὶ οὐ καθὼς ἀπορρήξαντα τὴν ψυχήν. ἀκατάπληκτος ἦν· ὁ δὲ ὅμως τῶν ὀβελίσκων αὐτὸν ἐξαιρεῖται· ὡς ἱμάτιον παρ' αὐτοῦ θερμῶν διερρωγότα· καὶ μόνῃ τῇ φθογγῇ ζημίαν πείθονται· Καὶ πρὸς αὐτὸν λέγοντα· ἐγὼ κατὰ τὰ κἂν ἀρτίως τὸ ἡμέτερον σῶμα ἀνθυπέχω τὸν συναρμοζόμενον· καὶ τὰς ὑμῶν ἐπιβουλὰς καταισχύνονται· ἐκπλαγεὶς τοίνυν ἀποφράσας ὁ τύραννος· τοὺς μάρτυρας μὲν διαβαστάζομεν ἐν τῇ φυλακῇ παραπέμπει· αὐτὸς δὲ σαφῶς ἕκαστα τῷ βασιλεῖ ἀναφέρει· Μαξιμιανὸς δὲ ὁμοίως αὐτῷ τοῖς ὅλοις ἀμηχανήσας· οὐχ ὅτι μὴ ἐπείσθη τοῖς ἐγκλήμασιν· ἀλλ' ὅτι μηδὲ ἀμβλεῖναι αὐτοὺς δύναιτο· κελεύει παρὰ τῇ φυλακῇ πάσης οὕτως ἐρήμους προνοίας ἀπολιπεῖν· ἄχρις ἂν τὴν ἐκ τῆς φύσεως τελευτὴν ὑπομείνωσιν· ἀλλ' οὐδὲ οὕτως οἱ ἀσεβεῖς ἡσυχάζειν εἶχον· Ἀφροδίσιος γάρ τις πέρσης τὸ γένος·

Πολὺς τὴν ὠμότητα· ἐν|τος τὴν πρὸς αὐτοὺς ὑπέρχεται πάλιν· αἰτήσας γὰρ παρ' αὐτοῦ βασιλέως τὴν κατὰ τῶν μαρτύρων

ἐξουσίαν καὶ λαμπάδων. δεῖ-
πνα κατὰ τὸν οἶκον πολυ-
τελῆ παρεσκευάσθη· καὶ αὐτοὺς
ἐκάλει πρὸς τὴν ἑστίασιν·
ἵνα κεκμηκότας δῆθεν
τοῖς ἐπιπόνοις. θεραπεύ-
σῃ τοῖς ἐδωδίμοις· καὶ τὴν
αὐτῶν γνώμην μαλακωτέραν
ἐφαρμόσῃ· τῶν δὲ ἁγίων
των· ὡς ἔχομεν τὸν ὅσιον
ἐσθίομεν ἄρτον· οὐδὲ φαγεῖν
οὐκ ἐπιούμην πειράσῃ· ἀλ-
λὰ ζήσεσθε εἰς τὸν αἰῶνα.
κύριε μακάριε Διονύσιος τοῦτο
νομίσας· ἐκείνοις μὲν
τὴν φυλακὴν δίδωσιν εἰπών·
ὡς ἄρα τὸ λοιπὸν δεῖ-
πνον. ὁ δὲ ὑμῖν πρὸς ἐπαιθά-
νατος· ὁ περαύριον
μὴν ἐγὼ παραθήσω· δύο
δὲ λίθους τῆς ἑξῆς ἀπο
μύλωνος ἐναχθῆναι κε-
λεύει· ἑκατέρου δὲ αὐ-
τῶν. ἑκατέρου τῶν τρα-
χήλων περιδεθῆναι· καὶ
οὕτω λίθοις πάντοθεν

αὐτοὺς βαλλομένους διὰ
ἀμέσης τῆς πόλεως ἑλ-
κεσθαι· τοῦτο τῶν ἑλκόν-
των ἐπιφωνούντων· τοῖς
θεοῖς καὶ τοῖς αὐτοκράτορ-
σι πείθεσθε· ἀλλὰ τοῦτο
μὲν ὁ λόγον Ἀφροδίσιος ἐποί-
ει. ὅπως ἢ τῇ ἀτιμίᾳ περι-
αγωγῇ ταύτῃ ἐνδοῦναι πα-
ρασκευάσῃ τοὺς μάρτυρας.
ἢ τὸν ὄχλον ἐρεθίσῃ αὐτοὺς
διελεῖν· ἀλλ᾽ ὁ ἅμα καὶ
λίθων μαθεῖν καὶ ἀπο-
κρύψαι. κατ᾽ αὐτὸν τὸ σό-
φισμα περιετρέπετο· οἱ τῶν
γὰρ μάρτυρες· συμμαχόμε-
νοι μᾶλλον οὐκ αἰσχυνόμε-
νοι περιήγοντο· ἢ τὸ πολ-
ὺ ἐπὶ τὴν θέαν συρρέουσα·
καὶ ὁρῶσα τούτους ἀθύ-
μους τε καὶ τὰ σώματα
ὑγιεῖς· ὡς περὶ ἀπαθεῖς
αὐτοὺς καὶ ἀθανάτους εἶ-
ναι δοκοῦντας. τῇ εὐσεβεί-
ᾳ χαίροντες προσετίθεντο·
Οὕτως οὖν αἰσχρῶς κἀφρο-

Διονυσίου

4 2:

διοσίου ἠττηθέντος· ὁ βα-
σιλεὺς· πᾶσαν ἐλπίδα με-
ταμελήσεως ἀπογνούς· ἀλ-
λως τε· καὶ ὅτι πλείους
μᾶλλον ἐντεῦθεν ἐπισπῶν-
ται πρὸς τὴν εὐσέβειαν.
διηνεκεῖ αὐτοῖς καταψη-
φίζεται δεσμωτήριον· ὡς
ἂν τὸν ἅπαντα χρόνον
τῇ ἀνεξόδῳ φυλακῇ κατα-
μαρανθέντες. οὕτω τὴν
ζωὴν ἀπορρήξωσι· τοῦ
θῦ καὶ ταῦτα οἰκονομοῦντος·
ὅπως ἥ τε τοῦ κλήμεντος
δέησις τελεσθῇ. καὶ μείζο-
νες αὐτοῖς αἱ τῆς ἀθλήσε-
ως ἀμοιβαὶ γένωνται·

Πολλὸν τοίνυν οὕτω χρόνον
ἀποκεκλεισμένων· πολλοὶ
καὶ ἄλλοι τῶν ἀσεβῶν ὕ-
στερον τοῦ μαρτυρίου ἀρ-
ξάμενοι· πρὸ τούτων ἐτε-
λειώθησαν· οἱ μὲν τοῖς φυ-
λάττειν ὑπὸ μαξιμιανοῦ
κελευσθέντες τοὺς μάρτυ-
ρας· τῇ πολλῇ περὶ αὐτοὺς
ὀκλάσαντες προσεδρείᾳ·
ὅ τε καὶ κραδέως προσι-
ασι μαξιμιανῷ· καί τι πε-
ρὶ τῶν ἀρχομένων χριστιανῶν
δεσμωτῶν χρόνοις ἤδη
πολλοῖς ἐπὶ ταύτης ἠρω-
των· διὰ θανάτου ἀλκιθῶς
ἢ ἀθανάτων· μαξιμιανὸς
οὖν· πολλὰ τοῖς ἑαυτοῦ θε-
οῖς πρότερον βλασφημή-
σας· ὅτι μὴ τούτοις τῆς
παρούσης ζωῆς ἀπεξήγα-
γον· ἐπαγγελάτας αὐτοῖς
εἶναι μάθοι καὶ τῆς ἀγκυ-
ρανῶν πόλεως· λουκίῳ
αὐτοὺς ὀξέως ἐξαποστέλλει· τῷ ἐ-
κεῖσε τηνικαῦτα ἡγεμονεύ-
οντι· θεοῦ πάντως οἰκονομίαι·

Ἐκεῖνοι μὲν οὖν μετὰ χαρ-
ᾶς ἀπάραντες τῆς ταρ-
σοῦ· προθύμως πρὸς τὴν
εἰς τὴν πατρίδα φέρουσαν
ἤνυον· ὁμοῦ δὲ τὴν ἀγκυ-
ρανῶν εἰσδύον· καὶ τῷ ἡγεμόνι
λουκίῳ παρίστανται· ὁ δὲ
μηδὲ λόγου αὐτοῖς μεταδοὺς.

τοτὸ μὲν μὴ ἀσφαλῶς ἐν τῷ
ξύλῳ κατακλείεσθαι· λίθον
ἑκατέρου ἐκδήσας· ὡς μὴ
δὲ κινεῖσθαι τούτοις μὴ
δὲ ἀποτείνεσθαι τὰ σκέλη
δύνασθαι· τῆς ἑξῆς δὲ με-
ταστειλάμενος τὸν ἀγα-
θάγγελον· οἷα δὴ αὐτῷ φησὶν· ὡς
οὐ διὰ κακουργίαν ἀλλὰ
ψυχῆς ἀκολίαν καὶ τρόπων
ἁπλότητα. ὑπὸ τοῦ σοῦ
μύθοις ἠπάτησαι Κλή-
μεντος· ἀλλὰ τοῦτό σοι
τὸ ἀπόφθεγμα ἀγαθάγγελε·
χάρισαι πῶς τὸ καὶ ἡμῖν·
καὶ ἄγγελος ἀγαθὸς κατὰ
τὴν κλῆσιν γενοῦ. τιμῶ οἱ
κατὰ μὴν μικρὸν ἐπὶ προφη-
Πρὸς ταῦτα ὁ ἀγαθάγγελος·
ἐμοί φησι τὴν ἔνστασιν
ταύτην· οὔτ' ἀκολία γνώ-
μης. οὔτε κακουργία πε-
ποίηκε· καὶ δῆλον ἐν τάχει·
πῶς γὰρ ἂν πρὸς τοσοῦ-
τους ἂν ἀντέχομεν ἡγεμόνας·
ἐπειδὴ καὶ βασιλεῖς· οἳ καὶ

μετὰ Κλήμεντός μὲν· καὶ
μόνον ἀπολαυόντες. οὐδὲ
μιᾶς ἀποσχόμενοι μηχανῆς
μετὰ πάσης σπεύδοντες·
μήτε οὖν ἀκολίαν, μήτε
κακουργίαν· ἀλλὰ σοφίαν
μᾶλλον· καὶ ἀνδρείαν ὀνό-
μαζε τὰ τοιαῦτα· σοφί-
αν μὲν. διότι τῶν φθειρο-
μένων προτιμῶμεν τὰ ἄ-
φθαρτα· ἀνδρείαν δέ. διότι
ὡς ὑπὲρ ὑπομονῆς τιμὸς τοῦ
θανάτου καταφρονοῦμεν·
Οὔτε οὖν Κλήμης ἐμὲ ἀπέ-
στασέ με· ἀλλὰ Χριστός. ὁ διὰ Κλή-
μεντός με προσκαλεσά-
μενος· οὔτε ἐξηπάτησεν·
ἀλλὰ τῆς ἀπάτης μᾶλλον
ἀπέστησεν· ἧς ἀποστῆναι καὶ
ὑμᾶς εὔχομαι· ἀγαθὸς εἰ
βούλοισθε καὶ ὑμῖν ἄγγελος
τῆς ἀληθείας γενόμενος.
ταῦτα τοῦ ἀγαθαγγέλου δι-
εξελθόντος· ὁ ἡγεμὼν τῇ
μιᾷ πολλὴν ἀπειλήσας·
σιδηρᾶς περόνας ἰσχυρὰς

ἐκπυρώσας. κατὰ τῶν
ἐκείνου ὤτων ἐνέβαλλε·
καὶ λαμπάδας πυρὸς ταῖς
πλευραῖς ἑκατέραις προ
σῆγε· δριμείας οὖν ἐκ τῶν
ὤτων ὀδύνης στρεφούσης
ἔνδοθεν τὸν ἐγκέφαλον·
καὶ καπνοῦ καὶ σκοτοδίνης
αὐτὸν πληρούσης. ἐκαρτέ
ρει γενναίως ὁ μάρτυς· Χριστὸν
ὁμολογῶν· καὶ τοῦτον εἰς
ἐπικουρίαν καλῶν· δέσπο
τα κράζων Ἰησοῦ Χριστέ· μὴ στε
ρήσῃς με τῆς τῶν ἀθανά
των ἐκείνων ἀγαθῶν ἀπο
λαύσεως· ἀλλὰ δὸς ὑπομο
νήν μοι καὶ καρτερίαν ἐν τῇ
ὁμολογίᾳ σου. συναρίθμη
σόν με τοῖς δούλοις σου Κλή
μεντι· ὅτι ὁ ζῆλος ἐν ἐμοὶ ἦ
σχίσμου· ἡ δὲ ψυχή μου ὀπί
σου ἐκολλήθη· ταῦτα ὁ μὲν
ηὔχετο· θεοῦ δὲ ἅμα θεῖον
πηγὴ ἔβλυσε· καὶ γνοὺς ὁ ἡγεμὼν
ὡς οὐδὲν ἀνύει τῶν κα
τὰ γνώμην· ἀλλ᾽ ἐπιφαί

νεται ἕτερον μᾶλλον τὸν ἀθλη
τὴν ἀπεργάζεσθαι. ἀγαγὼν
αὐτὸν εἰς τὸν Κρυπτὸν κα
λούμενον τόπον· ξίφει τὸ
τοῦ τὴν μακαρίαν κεφαλὴν
ἀποτέμνει· καὶ ὁ μέν. τὴν
πρὸς θεὸν ἀπῆλθε πορεί
αν· ἀθλήσας· ἐπὶ μὲν βα
σιλέων. Διοκλητιανοῦ καὶ
Μαξιμιανοῦ· ἐπὶ δὲ ἀρ
χόντων. Ἀγριππίνου· Κου
ρικίου· Δομετίου· Σακέρδω
τος· Μαξίμου· Ἀφροδισί
ου καὶ Λουκίου· ἡ δὲ γε
θεοφιλὴς ἐκείνη καὶ φι
λόμαρτυς Σοφία· μητρικῇ
καὶ Ἀγαθαγγέλου διὰ τὸν μέ
γαν Κλήμεντα περικαι
ομένη. ἐπείπερ εἶδε μὲν αὐ
τὸν ὡς ἐπόθει τελειωθέν
τα. σὺν ἡδονῇ πολλῇ τὸ
μαρτυρικὸν ἐκείνου σῶμα
ἀνελομένη καὶ περιστεί
λασα. κατ᾽ αὐτὸν τὸν τῆς
τελειώσεως τόπον· ἐν
τάφῳ τιμιωτάτῳ

πρὸς τῇ τοῦ ἐκεῖσε ναοῦ εἰσόδῳ κατετέθη. Ὁ μὲν τοίνυν γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ Κλήμης· τὴν τοῦ συνάθλου τελείωσιν Ἀγαθαγγέλου μαθών, ὡς εἶχεν ἐπὶ τοῦ δεσμωτηρίου πρηνὴς ἐκτάδην τῷ ἐδάφει· ἐκώλυον γὰρ αὐτὸν ἀναστῆναι τό τε ἐν τοῖς ποσὶ ξύλον· καὶ ὁ ἐκδεδεμένος λίθος τοῦ σώματος. φωνὰς πρὸς τὸν Θεὸν εὐχαριστηρίους χαίρων ἀνέπεμπεν· ὁ δὲ ἡγεμὼν οὐδὲ περὶ αὐτὸν ῥαθυμότερον ἔσχεν· ἀλλ᾽ ἐν τῇ φυλακῇ πληγὰς αὐτῷ κατά τε τοῦ προσώπου καὶ τῆς κεφαλῆς πρὸς ταῖς ἑκατὸν ἑκάστης ἡμέρας ἐμπίπτειν ἐκέλευσεν· αἵματος μὲν οὖν καθεκάστην ἐξ αὐτοῦ κατήγοντο ῥύακες· ὡς καὶ τὸν ἐκδεδεμένον αὐτοῦ λίθον· καὶ πάντα τὸν ὑποκείμενον φοινίσσεσθαι τόπον.

Νυκτὸς δέ· φῶς τε περὶ αὐτὸν οἷον ἐξέλαμπε· καὶ ἀγγέλων ἐπιστασία ἐθεράπευε. Οὕτως οὖν αὐτοῦ τῇ φυλακῇ καὶ ταῖς καθημεριναῖς ἐκείναις πληγαῖς διακαρτεροῦντος ἐπὶ χρόνον συχνόν. ἑορταὶ μὲν ἤδη Χριστιανοῖς ἔμελλον ἐπιέναι· τὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θεοφάνια· ἡ δέ γε θεοφιλὴς Σοφία· σφοδρῶς μὲν καὶ ἀεὶ τῷ τῆς εὐσεβείας κινουμένη ζήλῳ· τότε δὲ καὶ θερμότερον ζέουσα πνεύματι. τολμᾷ τι γενναῖον καὶ ἀνδρικόν· καὶ παραλαβοῦσα πλῆθος τε οἰκετῶν· καὶ τοὺς τρεφομένους ὑπ᾽ αὐτῇ παῖδας. ἔνδον τοῦ δεσμωτηρίου γίνεται· καὶ λύσασα τὸν μάρτυρα τῶν δεσμῶν. ἐξάγει τῆς φυλακῆς· εἶτα·

καὶ στολὴν αὐτῷ περιθεῖ
σα λευκήν· καὶ τὴν ἐπω
μίδα περιβαλοῦσα· καὶ
χερσὶν ἐπιδοῦσα τὸ εὐαγ
γέλιον· οὕτως ὑπὸ πολ
λαῖς αὐτὸν λαμπάσι καὶ
θυμιάμασιν. ἐπὶ τὴν ἐκκλη
σίαν παρέπεμπε· λευκὴν
Καὶ αὐτὴ στολὴν ἐνδεδυ
μένη· καὶ χειραγωγοῦσα
κατὰ τὸ ἐπώνυμον μέρος.
ὁδοιποροῦντα τὸν μάρτυρα·
Κατὰ γοῦν τὴν ὁδὸν ὁ μέγας
κλήμης ὥσπερ ἤδη τοῦ
δεσπότου πρὸς ἑαυτὸν κα
λοῦντος αἰσθόμενος· τὴν
δεξιὰν εἰς τὸν οὐρανὸν ἀνα
σχών· ἣ γὰρ ἑτέρα εἶχε τὸ
εὐαγγέλιον. ὑπερηύχετο μὲν
τῆς κατὰ τῶν ἀνθρώπων αὐτὸν
σοφίας· ὑπερηύχετο τοῦ
κλήρου καὶ τοῦ ποιμνίου
παντός· ᾐτεῖτο τοῖς ἐπι
καλουμένοις αὐτὸν μετὰ
τὴν ἐνταῦθεν ἐκδημίαν.
ἀντίληψιν παρὰ κυρίου καὶ σω

τηρίαν· καὶ δεόμενος ὑ
πὸ τὰ τελευταῖα. εἰσῆλ
θε μετὰ τῶν παραπεμ
πόντων τὴν ἐκκλησίαν·
Ἐκεῖνοι μὲν οὖν μοχλοῖς καὶ
κλεισὶ τὰς θύρας ἀσφα
λισάμενοι· τοὺς γὰρ ἀσεβεῖς
ἐδεδίεσαν. ἄδυτοι ἦσαν
διὰ πάσης νυκτός· ὡς δὲ
ὄρθριος ἡμέρα παρῆν φαι
δρόν τε καὶ ἡδὺ λάμπουσα
ταῖς τῶν ἀξίων ψυχαῖς.
λαμπρῶς ὁ μάρτυς τὴν ἱ
ερὰν λειτουργίαν διατε
λέσας· καὶ τῆς ἀναιμά
κτου κοινωνήσας τοῖς πα
ροῦσι θυσίας. ἔσται· καὶ
γλυκὺ αὐτοῖς τὸ τοῦ Χριστοῦ
κλῆμα τὸν οἶμον τῆς δι
δασκαλίας ἀποστάζει·
περιδεεῖς δὲ αὐτοὺς καὶ
καταφόβους ὁρῶν διὰ
τὴν τῶν ἀνοσίων ἀπειλά
σιν· τὴν δειλίαν αὐτῶν ἐκ
μειλίκε· τὰ μέλλοντα
σημαίνεσθαι προειπών·

447

θαρσεῖτε ἀδελφοί· εἷς ἐξ ὑ-
μῶν οὐκ ἀπολεῖται· δύο
δὲ τιμίως σὺν ἐμοί. διὰ Χριστὸν τε-
λειωθήσονται· ἔπειτα·
συναθήσεται μὲν ἡ κατὰ χρι-
στιανῶν λύσσα· πᾶσα δὲ
πόλις καὶ χώρα τῆς ἐπιγνώ-
σεως πληρωθήσεται τοῦ Χριστοῦ·
ὁ δὲ καιρὸς οὗτος ἐγγύς· καὶ
τινὲς ἐξ ὑμῶν τὴν κατα-
στροφὴν τῶν διωκόντων ἡ-
μᾶς ὄψονται· ταῦτα τοῦ
μάρτυρος προειπόντος·
ἡ φιλόχριστός τε καὶ φιλό-
μαρτυς σοφία· διὰ τὴν
ἐπ' αὐτοῖς χαράν. χήρας τε
καὶ ὀρφανοὺς εἰς εὐωχίαν
ἐκάλεσε· καὶ ὡς ἡ χεὶρ εἶχεν
ἐδεξιοῦτο· καὶ διὰ δέκα
ἑξῆς ἡμέρας· ἐν ἑορταῖς
ἦσαν πάντες καὶ εὐπαθεί-
αις. καὶ Κλήμεντος τὴν
ἐπιδημίαν ἑόρταζον· ἦν
δὲ καὶ ἡ προθεσμία πα-
ρῆν· κυριακὴ δὲ ἡ ἡμέρα
τὸν ἆθλον τὴν ἀπὸ τῆς πα-

ρουσίας καλοῦσα ζωῆς. ὁ
μὲν ἐντυχὼν τὴν θείαν
ἱερουργίαν ἱερουργῶν· ὡς
δὲ πάντα ἐξετελέσθη τὰ
εἰωθότα· καὶ τοῦ ζωο-
ποιοῦ μετέσχον οἱ πιστοὶ
σώματός τε καὶ αἵματος·
ἐπὶ τῶν θείων δώρων τῆς
ἱερᾶς προκειμένων τρα-
πέζης· καὶ τοῦ μάρτυρος ὑ-
ποκεκλιμένου αὐτοῖς ἄχραν-
τος τὸν αὐχένα· μετὰ πλή-
θους στρατιωτῶν· ἄρχων
τις Ἀλέξανδρος ὄνομα
ἐξαίφνης ἐπιστὰς πάντων. κε-
λεύει τῶν ὑπ' αὐτὸν μένειν
ξίφει τὴν ἱερὰν καὶ θείαν
τοῦ Κλήμεντος ἀποτέ-
μνειν κεφαλήν· εἶτα καὶ
τὴν ἄχραντον προσφο-
ρὰν· ὁ σηκὸς οὐχ ὑπασιλ-
ἡ μακροθυμία. κατὰ γῆς
ἐρρίπτουν· καὶ ποσὶ μὲν ἤ-
λοις οἱ μὲν ἦλοι κατεπάτουν·
Οὕτω μὲν οὖν θύων ὁ μέγας
Κλήμης. θῦμα δεκτὸν αὐ-

τοῦ προσάγεσθαι τῷ θεῷ· τῶν
δὲ παρεστώτων· οἱ μὲν ἄλ-
λοι δακρύοντες ὑπεχώ-
ρουν· δύο δὲ μόνοι τῶν δι-
ακόνων· ὁ μὲν χριστοφόρος·
ὁ δὲ χαρίτων καλούμενος·
αὐτοῦ που παρὰ τῇ θείᾳ
τραπέζῃ· ὡς προηγόρευ-
σεν ὁ μακάριος. τὸ μακάρι-
ον τέλος ἐδέξαντο· ἡ μέν-
τοι πατρικὴ σοφία· ἕως δὴ καὶ
τὸν χρόνον εἶδε τελεσθέν-
τα· λαμπάδων τε πλῆ-
θος ἀνάπτει· καὶ ἡ διηχήσα-
ωδίας τὸν ἀέρα πληροῖ·
θείοις τε αὐτοῦ ὕμνοις ἐπά-
δει· καὶ οὕτω τὸν πολυπα-
θῆ καὶ πολύαθλον ἐκεῖνον
τοῦ φιλτάτου ἀνελομένη
νεκρὸν· ᾄσμασί τε καθα-
ροῖς καὶ συνόδοις περιέλιτ-
τε· καὶ ἐν αὐτῷ τῷ κατὰ τό-
το πομμαθῷ· ὃς ἄρα καὶ κρυ-
πτὸς ἐκαλεῖτο. λαμπρὸν
λαμπρῶς κατατίθεται·
ὅπου δὴ καὶ τὸν ἀγαθάγγελον
ἐν ᾗ χαμαὶ προκαταθέμε-
νη· ὅπως καὶ τάφος εἰς
τὰ σώματα πιστὰ ἀθλητῶν
ἡ αὐτὴ σκηνή. καὶ ταῖς τύ-
χαις ἐν ὁμοίοις ὑποδέξα-
το· πλησίον δὲ καὶ αὐτὸς
θάπτεται τοὺς συναθλήσαντ(ας)
τῶν μεγάλων κληθέντι δια-
κόνοις· ἔνθα καὶ μικρά τις
οἰκοδομεῖται ἐκείνων οἰκί-
α· εἶτα· παρακαθέσαι
σαυτῷ τοῦ κληθέντος τά-
φῳ. οὕτω πῶς ὑπεφθέγ-
γετο ταῦ γενναῖα ταυτὶ καὶ
φιλάνθρωπα καὶ περι-
παθῆ ῥήματα· ἀγρῶ μὲν
ὑμᾶς ὦ τέκνα ἐν τῷ κρυ-
πτῷ κατεθέμην· ἀλλὰ χ(ριστ)ῷ
ἐν τῷ φανερῷ πάντως δὴ
ἀναπαύσει. διὸ καὶ οὕτ(ως)
ἠθλήσατε· καὶ οἶκον ὑμῖν
ἄξιον ἀναστήσω· καὶ τὰ
σώματα ὑμῶν ἐν αὐτῷ ἀ-
ποθήσομαι· κἀμὲ δὲ τὸ
γῆρας ἤδη λοιπὸν καλεῖ
πρὸς ὑμᾶς· διὰ τοῦτο τῇ

ρηθεῖσαν εἰς δῶρον· ἵνα τῶν αὐ-
τῶν κοιμηθέντων ἡμᾶς. καὶ
καλὸν ἐμαυτῷ παράσχω
ἐντάφιον· ἀλλ' ὦ ζαθε-
ὑπὲρ ἐμοῦ φίλτατοι· τῆς
καὶ μητρὸς καὶ τροφοῦ καὶ ἱκέ-
τιδος. ὡς τὸ δω κηθῆναι κα-
θὰ ὑπερ ἐνταῦθα πλησιά-
ζειν ὑμῖν. ἡ μὲν οὖν πα-
ρὰ τοῦ τάφου μετὰ δακρύ-
ων τοιαῦτα ἐφθέγγετο.

Ὁ γε μὴν γενναῖος τοῦ Χριστοῦ μάρ-
τυς Κλήμης· διετέλεσεν ἀ-
θλῶν· ἐπὶ μὲν βασιλέων. Δι-
οκλητιανοῦ καὶ Μαξιμιανοῦ·
ἐπὶ δὲ ἀρχόντων. Δομετια-
νοῦ· Ἀγριππίνου· Κουρικί-
ου· Δομετίου· Σακερδῶτος·
Μαξίμου· Ἀφροδισίου· Λου-
κίου. καὶ Ἀλεξάνδρου· τε-
λειοῦται δὲ τρίτῃ καὶ εἰκο-
στῇ μηνὸς Ἰανουαρίου· ὡς
εἶναι τὸν πάντα τοῦ μαρ-
τυρίου χρόνον. εἰκοστὸν
αὐτῷ καὶ ὄγδοον ἔτος· ὅ-
περ ἐστὶν [illegible] τιμήματος κό-

ἰδίας ψυχῆς δεῖ ῥᾳθυμίας·
καὶ τοῖς μακροῖς τούτοις
ἄθλοις αἰδεῖσθαι· ὅσοι μὴ
δὲ βραχεῖαν τινὰ καιρὸν
ῥοπήν. ὑπομεῖναί τι τῶν
λυπηρῶν διὰ Χριστὸν ἀνεχό-
μεθα· ὃς καὶ παράσχοι
ταῖς τοῦ αὐτοῦ μαρτύρων
πρεσβείαις· τῷ πιστῷ ἡμῶν
βασιλεῖ. Τὰ κατὰ πεφ[illegible] τα·
Μακρότατον υἱὸν καὶ λυπῶν
ἀπαράδεκτον· Ἰσχυρὸν τὸν θέ-
μος καὶ ἐχθρῶν καὶ τὸν προσμάχον·
Χεῖρα κατὰ τῶν ἐναντίων δεκα-
ταρόμιστον· Ἀντὶ τὴν τοῦ τυ-
χὴν ἐν πᾶσι καὶ κατὰ πολλὴν κτῶ
Ἣν καὶ αὐτοκράτορα τῶν παθῶν
ἀναδείξειε· Λαμπρὰν αὐτῷ
ἐνδύων ἐσθῆτα πορφύραν·
Πρὸς γάμον τὸν ἄφθορον. ἐν τοῖς αὐ-
τὸν ἁγίαν πᾶσιν ἡτοίμασεν ἀ-
πᾶσιν· οὗ καὶ ἡμᾶς μεγαλά-
νοιμεν. εἰς δόξαν αὐτοῦ καὶ
ἀνυπομονάμενον· ὅτι αὐτῷ
ἡ δόξα καὶ τὸ κράτος. εἰς τοὺς
αἰῶνας τῶν αἰώνων ἀμήν +



† Βίος καὶ πολιτεία τῆς
ὁσίας Εὐσεβίας τῆς με-
τονομασθείσης Ξένης †

Ὁ καιρὸς καὶ ξένος τῆς θαυ-
μασίας Ξένης ὥσπερ ἀρχαία
μὲν καὶ σιωπῇ τετιμημένη· ξέ-
νην δὲ ὅμως καὶ ἀπορωτέραν πλου-
τεῖ τὴν διήγησιν· πρός γε
ἀρώμασι καὶ πόνοις καὶ ὠφε-
λείας λόγων. σχεδὸν τοὺς
πάντας ἢ τοὺς πλείονας
ὑπερνικῶσα κεῖν· αὕτη τοί-
νυν ἡ μακαριωτάτη γυναικῶν
καὶ τὴν γνώμην ἀνδρικω-
τάτη· τὸ μὲν γένος. ὑπερ-
ιλλούστριος ἦν· ὅσα δὲ εἰς περιδέ-
ξιότητα καὶ ὥρας ἀναφέρει· καὶ
γὰρ οἱ μὲν ἐπιφανεῖς ἀπὸ
πλούτου καὶ δόξης καὶ θεοσε-
βείας ἀγγέλμασιν· ἡ δὲ ῥω-
μαϊκὴ ἦν· ἡ περιφανεστέρα φήμη
καὶ μεγαλώνυμος· τὸ μὲν δὲ
ὡς ὢν πολλῷ μᾶλλον ἢ τὸ γένος
ἐπιφανής· προσόντι γὰρ καὶ
μόνη τοῖς πατράσι γενομέ-
νη. ἀξίαν τοῦ γένους ἔσχε
καὶ τὴν ἀναγωγήν· εὐσεβῶς
τραφεῖσα καὶ φιλαρέτως·
κράτους ἀπεστερῆσθαι·
οἴκους δὲ ἱεροὺς ἅπαν-
τας. διηρπασμένους κ(αὶ)

κη

βι ηα Τε

ίαν κατεχομένοις· μόνη δὲ
ἡ ἁγία ἀναστασία τοῖς ὀρθο-
δόξοις ἀνεῖτο· τάχα μὲν
καὶ αὐτὴ καταφρονηθεῖσα
διὰ σμικρότητα περιγρα-
φῆς. ὡς εἰδεῖεν ἂν οἱ θεα-
σάμενοι τὸ παλαιὸν αὐτῆς
τὸ μέτρον· ἔθ' ἴσως οὖν αὐτ
ὥσπερ τις δαυὶδ παρατάτ-
τεται· καὶ σφενδονᾷ τὰ
ἀλλόφυλα δόγματα λό-
γων ἁδρότητι· καὶ τοῖς
πιστοῖς πιστῶς ἐπαγγέλ
τὴν παρρησίαν· καθ' ἡ-
μέραν προσλαμβάνων
καὶ αἰχμαλωτίζων μετὰ
θεοῦ. τοὺς κακῶς ἐσπαρα-
ξάντας τὴν ἀλήθειαν· ὀ-
λίγου τοίνυν χρόνου δια-
δραμόντος· τοσαύτην τὸ
πλῆθος τὴν ἐπίδοσιν ἐ-
ποιήσατο. ὥστε μὴ εἶναι
ταῦτα συγκρίνειν τοῖς πρό-
τερον· ἀλλὰ κἀνταῦθα
τὸ ἱερὸν τελειοῦσθαι γράμ-
μα· ὁ οἶκος δαυὶδ ἐπορεύετο

καὶ ἐμεγαλύνετο. ὁ δὲ οἶκος
σαοὺλ ἐπορεύετο καὶ ἠσθένει·
ἦν οὖν ὁρᾶν. ποικίλην τινὰ
τῶν σωζομένων τὴν ἀ-
ταξίαν· οἱ μὲν γὰρ ἤδη ἐ-
σημάνθησαν. οἱ δὲ ἔμελ-
λον· οἱ δὲ ἤδη τελειωθέ-
ντες. ἄλλων ἦσαν θηρευταὶ
καὶ διδάσκαλοι· ἐπὶ τού-
τοις. τίς ἂν ἕτερος ἤνεγ-
κε· τῶν μὲν ἀρειανῶν τὴν
ὀργήν. τῶν δὲ πέλας τὴν
βασκανίαν· οἵτινες δέον
ἐπικουρεῖν· καὶ ἀγωνιζο-
μένοις συναγωνίζεσθαι.
τοῖς κατορθώμασιν αὐτοῦ
ἐδυσχέραινον· ὢ ζάμμα
τοῦ φθόνου. τῆς ἐκκλη-
σίας ποιούμενοι τὴν ἐ-
πίδοσιν· καὶ τοῖς ἴσοις κρα-
τεῖν οὐκ ἰσχύοντες ἠβου-
λόμενοι. κακίᾳ τὴν
ἀρετὴν ὑπερβαλεῖν ἡμιλ-
λήθησαν· οὕτως δὲ τὸν
τοῦ λωφήσαντος τοῦ κα-
κοῦ· ἐπιφύεται ὁ σίρος

ἀπολινάριος· ἰδίαν τινὰ
καινίζων κακοδοξίαν· τὴν
γὰρ ἐνανθρώπησιν μάλι-
στα μὴ δοξάζων· σαρκὸς
πρόσληψιν· καὶ ψυχῆς ἀ-
λόγου μόνον κ(αὶ) μὲν ἐδίδασκε·
ψυχῆς νοερᾶς τὴν οἰκο-
νομίαν ἀποτεμνόμενος·
Ἐλλόγιμος δὲ ὢν τὴν τῶν
ἑλλήνων παίδευσιν· κλέ-
πτει πολλοὺς τῇ ποικιλί-
ᾳ τῶν λόγων· παρῆσαν
οὖν ἁπανταχοῦ γῆς μα-
θηταὶ τῆς αἱρέσεως· ἕλ-
κοντες τοὺς ἀμαθεῖς ὥσ-
περ ἀγκίστροις εἰς τὴν ἀ-
πώλειαν· ἀνθισοῦν ἀγῶ-
νισμάχοις ὡς εἴχετο· ἐ-
λέγχων· ἐπιτιμῶν· πα-
ρακαλῶν· τοὺς μὲν ἐν
τῇ πίστει διαφυλάττων·
τοὺς δὲ ἐπανάγων· ὅθεν
ἐξενέμον· οἷα δὴ ὧν πέ-
φυκε συμπίπτειν ἐν τοῖς
τοιούτοις· ἢ τῆς τελείας
ὁμολογίας σαρκώσεως.

εἰς δύο υἱοὺς ἐνομίσθη
τοῖς ἀπαιδεύτοις διαιρεῖν·
Ἀεὶ οὖν τοῦ δήμου προσκαθε-
ζομένων τῶν φοιτητῶν
ἀπολιναρίου· καὶ ταῦτα
τοῦ ὁσίου κατηγορούντων·
ἴσχυσεν ἡ ἐπήρεια· ῥανὶς
γὰρ ἐνδελεχοῦσα κοιλαί-
νει πέτραν· καὶ ἐπειδὴ τὰ
τοιαῦτα τῆς τῶν πολλῶν
ἀκοῆς ὑψηλότερα· μηδὲ δυ-
ναμένων συνιέναι τῆς οἰ-
κονομίας τὸ βάθος· λύκοι
μὲν ἐπεφύοντο· ὁ δὲ ποι-
μὴν ὑπῆρχεν ἐν ὑποψί-
ᾳ τὴν ἀλήθειαν ἐκ παι-
δέων· οἱ οὖν τῆς ἀρείου
δόξης ὑπέρμαχοι· ὥσ-
περ οὐδὲ ἄγριοι κατὰ τοῦ
ὁσίου πάλαι τὴν ὀργὴν
παραθήγοντες· προσλα-
βόντες δὲ καὶ τὴν ἐπαλ-
γᾶσαν αὐτοῦ ταραχὴν καὶ
συκοφαντίαν ἐκ τῶν δοξα-
ζόντων τὰ ἀπολιναρίου·
ἐξάπτειν τε τὸν δῆμον

στέφανος δὲ λόγιοι λίθοις μὲν
τὸν ἄνδρα κατέλευσαν ὥσ
περ Ἰουδαῖοι τὸν στέφα
νον· πλὴν γε ἄστοχοι αὐτῶν
γράμμασι μαινόλαι· θυσκέ
παρ τος τὸν ἑαυτοῦ πρόμα
χον· συμπαιόμενοι δὲ αὐ
τὸν τῷ τοῦ ὑπατικοῦ πα
ρέργου σκάμματι· ὥς τινα
ταραχῶν καὶ στάσεων αἴ
τιον· ὡς τῆς ἀναλγησίας
ὡς τῆς ἰσχύος τοῦ στέφανος.
εἰ Γρηγόριος περὶ τοιούτων
ἐκρίνετο· ὁ καὶ τῆς τῶν ἄλ
λων ὀργῆς τε καὶ ἀταξί
ας ἠπιώτατος ἰατρός·
ὁ τῆς εἰρήνης ὑφαντής·
ὁ Χριστοῦ μαθητὴς τοῦ πρᾴου
καὶ ταπεινοῦ· καὶ μόνο
θεοῦ ὢν τοσ τὴν ἐπιείκειαν·
αὐτὸς δὲ καὶ περὶ τηλικοῦ
τοις Χαλκηδονίοις συναχόμ.
ἐκεῖνα ἐφρόνει τε καὶ ἐφθέγ
γετο· ὧν ἕνεκεν τοῦ ὀνόμα
τός σου κ(ύρι)ε· ἐὰν γὰρ καὶ
πορευθῶ ἐν μέσῳ σκιᾶς
θανάτου οὐ φοβηθήσο
μαι κακά ὅτι σὺ μετ' ἐμοῦ εἶ·
Κἂν τοῦ θεοῦ τοιγαροῦν μα
στίγων χωρὶς καὶ αἰκίας
ἀπελύετο· μάρτυς ἂν ἀ
κινδύνως μὲν, καὶ δίχα μώ
λωπων στεφανηφόρος·
τοσοῦτον μόνον εἰσενεγ
κὼν· ὅσον ὑπομεῖναι τῇ
προαιρέσει· ἂν μὴ παθεῖν
Χριστὸς συγχωρήσῃ· τοιού
τοις οὖν διαλάμψας ἀγῶ
σιν· ἤδη πᾶσιν ἦν ὑπερχε
καταφανής· ζηλωτὸς
μὲν τῇ παρρησίᾳ τῆς
ἀληθείας ζηλωτὸς δὲ
τῇ ἀρετῇ καὶ τοῖς τοσοῦ
τοις πόνοις ἀπόαλε
πιστὸς δὲ τῷ πλήθει τῆς
ἐκκλησίας· ὥστε καὶ
ἕτερον ἐπίσκοπον ὄντα
τῆς Ἀλεξανδρέων μεγα
λοπόλεως· Ἀθανάσιον
τοῦ πάνυ τὴν ποιμαν
τικὴν ἐκδεξάμενον· ἐ
πιστεῖλαι Γρηγορίῳ τῷ

493

μεγάλως. τὴν Κωνσταντί-
νου πόλεως ἀρχιερω-
σύνην αὐτοῦ κενῶσαι σπουδάζει·
καὶ λίαν γε ὀρθῶς καὶ δι-
καίως τοῦτον ἐπίσκοπον
εἶναι. τὸν τοῖς πόνοις
προεισενεγκόντα τοῦ ἀ-
ξιώματος· καὶ μισθὸν ἱ-
δρώτων τὸν θρόνον. ἀλ-
λὰ μὴ χάριν ἀνθρωπίνην ἀπε-
νεγκάμενον· τὸ μὲν οὖν
πλῆθος τῶν πεπραγμέ-
νων αὐτῷ ἀθρόως ἐπεισι-
όν μου τῇ διανοίᾳ· συγ-
χεῖ τὴν ἀκολουθίαν· καὶ
καθάπερ ἐν κυμάτων
ἐπαναστάσει· τῶν δ' ἑτέ-
ρων ἡ φορὰ καλύπτει τὰ
φθάσαντα· ἀλλ' οὖν ἅ-
παξ καταστὰς εἰς τὸν λό-
γον. οὐ προαποστήσομαι
τοῦ τέλους· τὸν Γρηγορί-
ου θεῖον λαμπάδων τῆς ἀλη-
θείας ἐπίκουρον. καὶ εἰς
τὸ σύγγνωμον ἀφορῶν τῆς
ὑμετέρας ἐπιεικείας·

Ἔγνω τις ἐν τῇ βασιλίδι
Μάξιμος· τὸ γένος Αἰγύ-
πτιος· τὸν τρόπον μάρυλ-
ρος· Ἰαννῆς τις νέος. οἷ-
ον κατὰ τοῦ Μωϋσέως σ-
τρηγορίῳ παρατάττεται· ὁ μὲν
οὗτος φιλόσοφος ὢν κυ-
νικὸς· τῇ βακτηρίᾳ καὶ
τῇ κόμῃ καὶ τῷ τρίβωνι
σεμνυνόμενος· καὶ μέ-
χρι τούτου ἔχων τὸ φιλο-
σοφεῖν· τὴν δὲ γαστριμαρ-
γίαν καὶ τὴν πλεονεξίαν
καὶ τὴν ἀναίδειαν· κύων
μᾶλλον ἢ κυνικός· καὶ τῶν
ἀντιθέτοις γνωρίμων
δὴν τί θηος· καὶ οἷον τὸν μα-
λακὸν ἀκούομεν. προσελ-
θὼν τῷ ἱερῷ ποιμένι καὶ
παρ' αὐτοῦ κατηχηθεὶς·
μεταμαθὼν τὴν ἀθεΐαν·
μέρος τῆς ἐκκλησίας κα-
θίσταται. ἀναγεννηθεὶς
τῷ βαπτίσματι· ἐλάμπει
ἂν δὲ ὑποκρινόμενος.
ὁμωρόφιός τε καὶ ὁμοτρά-

πόθος τοῦ ἀρχιερέως κα-
θίσταται· πάντα αὐτῷ εἶ-
ναι νομιζόμενος· Γρηγορίου
ὑπηρέτης· λόγων ἐπαινέ-
της· ὁμοίοις χριστιανοῖς
οὐ φαυλότατος· ὡς δὲ
πεῖραν τῷ χρόνῳ δέδωκεν·
ἄξιος ἐνομίσθη τοῦ μι-
ματος· τηνικαῦτα τῷ κλή-
ρῳ καταλέγεται· καὶ τὸν
Ἰούδαν ζηλώσας· ἀποστα-
σίαν ἐννοεῖ· κατὰ τοῦ διδα-
σκάλου ἐπιστρατεύων· συ-
νεργῷ χρώμενός τινι.
πρεσβυτέρῳ τῆς ἐκκλησί-
ας· ὃς μηδὲ ἐπιτιμηθεὶς
πώποτε· ἀλλὰ καὶ λίαν
ἐν τοῖς τιμίοις ὑπάρχων.
τῷ Μαξίμῳ τὸ δρᾶμα συ-
νεκαιωρᾷ· τὸ δὲ ἦν· ἐπί-
σκοπον καταστῆναι τοῦ
Βυζαντίου τὸν Μάξιμον·
Ἐπεὶ δὲ καὶ χρυσίου ἔδει
πρὸς τὰ τοιαῦτα· πόθεν
ὁ πόρος ἀκούσατε· πρε-
σβυτέρος τις ἐκκλησιάστης·

ἐκ Θάσου τῷ Βυζαντίῳ
προσορμισθείς· ἐκόμιζε
χρήματα· πλάκας μαρ-
μάρου προικονησίας ἐμ-
πορευσόμενος· τοῦτον ἑ-
λόντες· καὶ ὑποσχέσεσι
δελεάσαντες· εὔστροφον
γὰρ ἡ κουφότης πρὸς ἅ-
παντα καθίσταται· λαμ-
βάνουσι χρυσίον τῆς κα-
κουργίας συνέμπορον· καὶ
πέμπουσιν εἰς τὴν Ἀλε-
ξάνδρειαν· πείθουσι τὸν
Πέτρον ἀποστεῖλαι ἄνδρας
χειροτονῆσαι τὸν Μάξιμον·
καὶ δὴ θᾶττον λόγου ταῦ-
τα ἐπράττετο· καὶ παρῆ-
σαν ἀπ' Αἰγύπτου· οἳ τὴν
ἐπισκοπὴν ἐνδώσοντες·
οὗτος ὁ Πέτρος ἐκεῖνος·
ὁ πρὶν μὲν Γρηγόριον ἐν-
θρονίσας· νῦν δὲ χειροτο-
νῶν Μάξιμον· καὶ οὐδὲ τὸ
ἑαυτοῦ γράμμα δυσωπη-
θείς· εἰ μή τι τὴν ἀρετὴν τοῦ
ἀνδρὸς καὶ τὸ κλέος· ὡς

δῶν ἧκον οἱ παρ' αὐτοῦ στα-
λέντες· ὄρθρος ἦν· καὶ αὐ-
τοὶ παρῆσαν εἴσω τῆς ἐκ-
κλησίας· οὔτε ποιμένι ταῦ-
τα γνωρίσαντες· οὔτε πρε-
σβυτέροις· οὐ κλήρῳ· οὐ
τῶν ἐν τέλει τινί· οὐ λα-
ῶν πιστῶν· ἀλλ' αὐτίκα τῆς
χειροτονίας ἤρχοντο·
Ἀκοῆς δὲ γενομένης· ἀθρό-
ως παρῆσαν ἱερεῖς· κλῆ-
ρος· λαὸς ἔκκριτος· αἱ-
ρετικῶν σμῆνος· πάντες
γὰρ ἀθρόοι τε ὁμοίως καὶ φί-
λοι ὑπὸ μανίας ἀνήφθη-
σαν· τὴν ἀταξίαν αὐτῶν
καὶ τὴν μοχθηρίαν κατα-
πλαγέντες· κακία γὰρ ἄ-
μαχος· καὶ τοῖς ἐχθροῖς
πολλάκις τοῦ πάσχοντος·
πρὸς ἄμυναν δίδωσιν ἰσχύν [?]·
ὡς δὲ ὑπ' ἀνάγκης ἀνήνυ-
τα ἦν αὐτῶν τὰ βουλεύ-
ματα· ἡ γὰρ προπέτεια
τὰ μὲν δὴ μόνα αὐτοῖς ἐπετείχι-
σε· τί δρῶσιν· ἐξελθόντες

τὸν τῆς ἐκκλησίας· εἰς
οἶκον ἀφικνοῦνται χοραύ-
λου τινός· κἀκεῖ χειροτο-
νοῦσι τὸν Μάξιμον· συνερ-
γοὺς ἔχοντες τινὰς τοῦ λα-
οῦ καὶ συλλήπτορας· τοὺς αἰ-
τίους ἀταξίας τῆς ἐκ-
κλησίας ἐκκυβευλημένους [?]·
χαίρουσι γὰρ οἱ τοιοῦτοι ταῖς
ἐφημερίοις μεταβολαῖς·
Πρὸς μὲν τὰ καθεστηκότα
τῶν πραγμάτων ἀπεχθα-
νόμενοι· ἀεὶ καινοτομίας
ἐρῶντες· ἤδη δ' οὖν ἡ πόλις
θυμῷ ζέουσα· πάντες λέ-
γοι ὁπόσας λοιδορίας τοῦ
Μαξίμου κατέχεον· μέμ-
φόμενοι καὶ αὐτῷ Γρηγορίῳ·
ὁπόσης ἀμοίας [?] τὸν Μά-
ξιμον καὶ παρρησίας ἠξίου·
περιέπων [?] ἐγρηγορὼς αὐτῷ κἂν ταῦ-
θα εἰς ἀπολογίας ἀφορμὰς τὸ
δρᾶμα· τοιγαροῦν τοῦ
δήμου τὸ φλεγμαῖνον τῇ
φαρμακείᾳ τῶν λόγων κα-
ταπραΰνων· φησὶ πρὸς

αὐτούς· μή μοι τὸν ἄνδρα
τὸν περὶ χαλκεῶνα μέμφου· ἦν
γὰρ ἴσως χρηστὸς ἐκεῖνος φα-
μεὶς· αἰτίας ἔνοχος μὴ
προεγνωκὼς τὴν κακίαν. τί
ποτ' ἂν εἰκὸς τῆς χρηστότη-
τος ἀπολαύσας καὶ ἐπι-
βουλαῖς ἁμαρτανόμενος· οὐ
γὰρ τὸ μὴ προειδέναι τὴν
κακίαν ὑπεύθυνον· τοῦτο
γὰρ μόνου θεοῦ· πρὸς δὲ καὶ
νόμος ἡμῖν ἐστιν· ἅπασι
ἀνοίγειν τὰ σπλάγχνα. καὶ
στοργῇ πατρικῇ τῶν πιστῶν
ἀντιλαμβάνεσθαι·
τὸν γὰρ ἐρχόμενον πρὸς
με, Χριστός φησιν, οὐ μὴ ἐκβάλω ἔξω·
Μέγα μοι ἦν ὁ Ἕλλην Μά-
ξιμος βαπτιζόμενος. καὶ
τριάδα λατρεύων ἀνθ' Ἡ-
ρακλέους· μέγα μοι ἦν Μά-
νης μεταποιούμενος αἱ-
ρέσεως. εἰ καὶ τοῖς τελευταί-
οις ἔδειξε τὴν ἐν τοῖς πρώ-
τοις ὑπόκρισιν· ἀλλ' οὐ-
χ ἡμῶν δογματίζεται·

ται· οὐ γὰρ ἐνθυμήμασιν
ἐμβατεύομεν· οὐδὲ τὸ μέλ-
λον ὁρίζομεν· πλὴν ἐπιφρο-
σύνῃ θεοῦ εἰ τοῦτο χαρίσαι-
το· ἡμεῖς μὲν οἷον ὁρῶμεν
εἰς πρόσωπον· θεὸς δὲ εἰς
καρδίαν ὁ περιηκούσατε·

Τούτοις τοιγαροῦν κατεκά-
λει τὸ πλῆθος· καὶ τῇ ἐμοί-
δι μᾶλλον τῷ ἀρχιερεῖ προ-
σετέθησαν· τοῦ δὲ βασιλέ-
ως Θεοδοσίου· ὃς ὑπῆρχεν
ἐξ Ἱσπανίας τὸ γένος· ἐν
τῇ Μακεδονίᾳ στρατοπε-
δεύσαντος· καί τισι τῶν
ἑσπερίων πολεμίων τοῖς
βαρβάρων· λαβὼν Μάξι-
μος τὸ ψῆφος τῶν Αἰγυ-
πτίων ἐπισκόπων τῶν προ-
χειρισαμένων αὐτὸν εἰς
ἱερέα· ἐλθὼν εἰς Θεσ-
σαλονίκην· τῷ αὐτοκρά-
τορι προσεισιν· αἰτῶν
τῆς βασιλίδος τὴν ἐπισκο-
πήν· ἐκ γὰρ θεσμῶν ἐκ-
κλησιαστικῶν τοῖς χεῖρ

οὐκ ἐχόντων. πρόσταγμα τι βα-
σιλικὸν ἱερατεύειν διδόμεν-
θη· ὡς προσῆκον ἱερατεύειν.
ἀλλ' αὐτῷ φαμὲν μὴ ῥημάτων
ἀπολαύοντα· τὰ δὲ ἐκεῖθεν.
τοῦ βασιλέως αὐτοῖς ὀρ-
γισθέντος καὶ ἀπειλαῖς σφο-
δραῖς ἐκδιώξαντος·
Τί οὖν ὁ Μάξιμος· δύσμαχον
γὰρ ἡ φιλαρχία· ἐπὶ τὴν Ἀ-
λεξάνδρειαν ἔπλει· καὶ τοῖς
αὐτοῖς ἐγχειρήμασι· τιμὰς
τῶν οἰκείων τοῦ Πέτρου
ὑποκλέπτας χρυσίῳ· κἀ-
κεῖ μὲν ἐκ τῆς ἴσης μοχθη-
ρίας προσφέρεσθαι· ἢ γάρ
μοι φησὶ τῆς βασιλίδος
τὴν ἐπισκοπὴν περιποι-
ήσομαι· ἢ τῆς σῆς οὐκ ἀφέξο-
μαι· καὶ δὴ ἂν ἐπὶ προῦπτον
κακὸν ἐχώρησεν ἡ τόλμα.
εἰ μὴ ὁ τῆς Ἀλεξανδρείας
ὕπαρχος· δείσας στάσεις
καὶ φόνους· τὸν Μάξιμον
τῆς πόλεως ἤλασεν· ὁ
μὲν οὖν οὕτως ἄξια τοῦ
θράσους ἐδέξατο τἀπί-
χειρα· Γρηγόριος δὲ τῷ
πλήθει τῶν πόνων πιε-
σθεὶς· καὶ ἀπειρηκὼς πρὸς
τὰς ποικίλας φροντίδας.
οἷα δὴ εἰκός· τὰ ἐξιτήρια
τῷ λαῷ προσφθεγξάμενος·
μόνου θεσπίσας αὐτοῖς τηρεῖν
τὴν πίστιν ἣν παρειλήφα-
σιν· ἐργάζεσθαι τὴν ἀρε-
τήν. ἣν αὐτοῖς ἔργῳ τε καὶ
λόγῳ ὑπέδειξεν· ἐπεὶ
δὴ τοῦτο ἤκουσαν κλῆ-
ρός τε καὶ λαός· μία φωνὴ
παρὰ πάντων ἤρθη. τὴν
ἐκδημίαν τοῦ ποιμένος
ὀδυρομένων· ἦν τε ἰδεῖν
ἐλεεινὸν θέαμα· ἄνδρας·
γυναῖκας· νέους· γέροντας·
ἐλλογίμους· καὶ ἀμαθεῖς·
ἄρχοντας· ἰδιώτας· ἅ-
παντας οἰμωγῇ συμφώ-
νως κατεχομένους· καὶ τὴν
ὀρφανίαν οὐ φέροντας·
ὥστε τινὰ τὴν φωνὴν
ἄραντα· τολμῆσαι εἰπεῖν·

ὧν ὑπὲρ σῶν ἐκ καλλίστοις σέβαν
τὴν τριάδα· ταύτης
ἀκούσας τῆς φωνῆς ἐγεν
μάδας. ἐλαφῆς τῆς ὁρ
μῆς· καὶ ὑπεσχόμην συμπα
ραμένειν αὐτοῖς· μέχρις
ἂν ἐπισκόπων παρουσία·
καὶ γὰρ ἦν ἐλπιζομένη. προ
καλουμένη τιμῇ τῆς ἐπι
σκοπῆς ἄξιον· ὃς αὐτῶν
φροντίδων ἐλευθερώσει.
ἐπιτρέψῃ τοῦτο τὴν ἔ
ξοδον· οὕτως οὖν διελύ
θησαν· τῇ ὑποσχέσει θαρ
ρήσαντες· ὅρκοις μὲν οὐ
βεβαιωθέντες· τῷ δὲ
ἀξίῳ τοῦ τρόπου κατα
πιστεύσαντες· τὸ μὲν οὖν
δεινῶν μεῖζον αὐτῶν· καὶ χο
λῆς ἐκδοθείσης τοῖς πράγ
μασιν· ἀνθισάμε ἔλαμπε
τῆς τριάδος τὸ δόγμα·
διδασκαλίαις καὶ πόνοις
τοῦ μακαρίου πλατυνο
μένης εἰς πάντα τῆς
πίστεως. ἣν ἀπεγεώργει καλ

λιεργάτε καὶ τῆς μὲν ἐν
εργίας τιμιωτέραν·
Γεηπόνων μὲν γὰρ τῆς ἐκκλη
σίας τὴν ἄρουραν· τὰς
μὲν τύχας οἷον ἠροτρία.
τῶν μάκαν θῶν μὲν ἀπαλλάτ
των τῆς ἀσεβείας· τὰς
δέ· ὁμάλιζε προφητι
κῶς εἰπεῖν· ἄλλας.
ἐπείρετο τὸν θεῖον λόγον·
αἱ δέ· ἀρτίως ἔφυον τό
τε καὶ ἐρριζοῦντο· αἱ δὲ
ἤδη ἐπασάζοντο· καὶ οἷον
νόμασι διεζωννύμενο· ἄλ
λαι· πρὸς στάχυν ἀναβ[illegible]
ποιοῦντο· ἕτεραι δὲ ἐπιπαί
μοντο· καὶ πρὸς ἄμητον
ἦσαν ἑτοιμότεραι· τὰς
δέ· ἅλως εἶχε· τὰς δὲ
θημώνητις· ἀλλ᾽ αἱ τηλικ
μήσει τὸ ἀχυρῶδες καὶ ἀ
λογίας ἄξιον τῶν μὲν δογμά
των ἀπέβαλλον· χῶρα κα
θαιρόμεναι· ἕτεραι δὲ ἦ
σαν· ἔνδον τῶν ἀποθη
κῶν ἄξιαι· αἱ δέ· ἀρτι

ἤδη κατειργασμένος·
τοῦτο γὰρ πέρας τῆς γε-
ωργίας· σκοπὸν ἐχούσης
τῆς τροφῆς τὴν μετάλη-
ψιν· καὶ διὰ τοῦτο πονού-
σης τὸ καὶ τὸν ἄμητον ἐν-
θυμίως κομιζομένης· ἀλ-
λ' ὁ μὲν ἱδρὼς τοῦ ἀνω
τοῦ θῦ τοσοῦτος· καὶ εἰς τὸ
σύντονον σπορίαν ἐσπουδασ-
μένος· ἡ δὲ ἀπόλαυσις
οὐχ ὁμοία· οὐ γὰρ ὅσα τοῖς
ἔργοις μετεῖχε τῶν γεν-
νημάτων· ἀλλὰ προῖκα
χρηστὸς ἦν· τοῖς μὲν πό-
νοις καταπαλλόμενος.
ἀδιάπαυον δὲ τὸ ἔμβλι-
ον ἑαυτοῦ τιθείς· ὁ θέμενος
μέναι μὲν αὐτοῦ· πλέον
στέργεσθαι· πλέον δὲ ἐστερ-
γμένος· μᾶλλον ἀκούεσθαι·
Καὶ τοῦ θῦ προσάγειν πλεί-
ονας· οὐ θυμοῦ πλήσσον-
τι· ἀλλ' ἐπιεικείᾳ τὴν ἀ-
μαθίαν ἐκμοχλεύοντι.
κ(αὶ) ἀδοξίαν ταῖς τυχαῖς ἐμ-

ποιοῦντι διὰ τοῦ λόγου·
Οἱ μὲν γὰρ τῇ γλυκύτητι
τοῦ λόγου ἡλίσκοντο· οἱ δὲ
ἠσπάζοντο τῶν δογμά-
των τὸ ἀκριβές· ἄλλοι τοῖς
πόνοις τοῦ ἀνδρὸς καὶ
τῇ καρτερίᾳ ὑπέκυπτον·
ἕτεροι δὲ τὸ πρᾶον αὐτοῦ
δι' αἰδοῦς εἶχον· τοῖς δὲ
τὸ ἀνεπιτήδευτον τοῦ ἀν-
δρὸς καὶ φιλόσοφον συν-
ῆπτε πλέον· οἱ δὲ ὡς
καλέσαντα καὶ κατέχον-
τα τὸ θήραμα ἔθαλπον·
τὴν ἑαυτῶν περιέπον-
τες τῦφον· καὶ τὸ δὴ μεῖ-
ζον αὐτὸν τῆς ἀγχινοίας·
οὐ πᾶσι μέντοι ταὐτὰ κατε-
πίστευεν· ἀλλὰ τῆς δυ-
νάμεως ἑκάστου κατα-
στοχαζόμενος· ὥσπερ τις ἄριστος
ἰατρός· τῆς τῶν καμνόν-
των ἕξεως· κατάλληλον
τὴν φαρμακείαν διανέ-
μων ἑκάστῳ· καὶ μὴ τοῦ
βεβήλοις ἢ ἀσθενέσιν

⁘ ϛοο

ἀκοαῖς καταπιστεύομεν τοῦ
μυστηρίου τὰ τέλεια. μὴ
τὸ τῶν τελειωμένων ἀνδρῶν
ἀποκρύπτων τι· οἷον μια
σκαίνων αὐτοῖς τῆς ὠ
φελείας· τοῖς μὲν ἦν λέ
γειν δημοσίᾳ· ὅσοις ἀ
σχὼν ἢ πρὸς μεγάλ μέλλον
ἦν· τοῖς δὲ ἰδίᾳ τὰ
παίσματα ἐνεσφράγιζε·
τοῖς δὲ ἐπετίμα. οἷς τὸν
τὸ εἶναι λοιπὸν τελέως ἀρκτέον·
τοῖς δὲ κατορθοῦσι τὰς
ἐπῄνει· πατρικῶς τε καὶ
κηδεμονικῶς· οὐ γὰρ πρὸς
θεωρίαν ἀπέκοπτεν· ἀλλὰ ὁδὸν
ἐποίει τὴν ἀρχήν· διὰ τῆς αὐ
τοδιδαχῆς ἀρχομένοις προκο
πήν· ταύτῃ γὰρ ἡ ῥητορι
κὴ διαφέρει φιλοσοφίας·
ἡ μὲν γὰρ κολακεία ὡς
ποικίλη. ἐφ᾽ ἑαυτὴν τοὺς
ἀκροωμένους κλέπτουσα τὸν πλ
λαστὴν ὁμοίαν· ἡ δὲ τὴν
ὠφέλειαν τῶν ἀνθρώπων πε
ρισκοποῦσα· οἷον μὲν λι

τι τοῖς ἐπαίνοις τῶν λό
γων καταγλυκαίνουσα.
τὴν ἡδονὴν τῶν ἐπαίνων πρὸ
ἀρετῆς ἐφέλκει τοῖς ἐντυ
χάνουσιν· ἐν δὲ δογμά
των ὕψει καὶ θεολογίᾳ· το
σοῦτον μὲν αὐτῷ τὸ ὑπέριον τῆς
δυνάμεως. ὡς τῶν πολ
λῶν κατὰ πολλοὺς τοὺς
χρόνους θεολογησάντων
ἀνδρῶν ἐπὶ σοφίᾳ γνωρί
μων· μόνον τοῦτον μετὰ τὸν
εὐαγγελιστὴν ἰωάννην· θε
ολόγον ὀνομασθῆναι. καὶ
οἷον ἐξαίρετον αὐτῷ ταύτην
ἀποκληρωθῆναι προση
γορίαν· ἅπαν δὲ καλὸν
ἐν τῇ αὐτοῦ καρδίᾳ συνει
ληφότος. οὐδὲ τοῦ προφή
τ᾽ εἶναι ἀπολιμπάνεται· καὶ
τὸν λόγον μὲν οἶδα πιστοῦ
σθαι. ὅσοι τοῦ ἀνδρὸς τῆς
σοφίας κατατρυφᾶτε·
καλὸν μὲν τοῖς αὐτοῦ ῥητοῖς
καὶ τῇ συγγραφῇ τῶν αὐτῷ
πεπραγμένων. τὴν δὲ

ϛ φι'

καταικοσμεῖσθαι· ἐπειδὴ
ἡ λέξις οὕτως· ἐκ τοῦ λόγου
τοῦ εἰς τὴν παρουσίαν τοῦ
ἑκατὸν πεντήκοντα ἐπι
σκόπων· τοσοῦτον ποτὲ
τοῦτο τὸ ποίμνιον· Καίτοι
οὗτοι νῦν· οὕτως ἐκτεταμέ
νον καὶ πλατυνόμενον·
εἰ δὲ μὴ πω τέλεως· ἀλ
λ' ἔτι τοῦτό γε ταῖς κατὰ
μέρος ἐπιδιδὸν προσθή
καις· προφητεύω δὲ ὅτι
καὶ ἐπιδιδόν· τάχα δέ μοι προ
λέγει τὸ πνεῦμα τὸ ἅγιον· εἴ τι
προφητικὸς ἐγὼ καὶ προ
βλέπων τὰ ἐσόμενα προσθείς·
οὐκ εἰς μακρὰν δὲ καὶ τὸ προ
φητευόμενον ἐπληροῦτο·
μικροῦ θαλάσσης ψάμμον
τῷ πλήθει τῆς ἐκκλη
σίας μιμησαμένης· Καὶ
τὸ παράδοξον τῆς προφη
τείας· τὸ θαῦμα τῆς ἐκ
κλησίας ἐπὶ τούτῳ· ἐπεὶ
δὲ βασιλέως εὐσεβοῦς
διακηρυχθέντος τοῦ

ἡ δὲ ἀπηρημένου θεοδοσίου·
φῶς ἐλεύθερον τῇ ἐκκλη
σίᾳ ἐπέλαμψε· τί δεῖ καὶ
λέγειν· ὅσας παρηγορεῖς
λόγοις ἐφαίδρυνεν· ὅσον
ὀρθοδόξων θυμὸν κατε
πράϋνεν· ἀντιμετρῆσαι
τοῖς αἱρετικοῖς τὴν ποτὲ
κακίαν ἁμιλλωμένων· καὶ
τοὺς ἐν καιροῖς δυναστείας
διώξαντάς τε καὶ αἰκισα
μένους· ἐν καιροῖς μεταβο
λῆς τοῖς ἴσοις ἀντιλυπῆσαι·
Τί οὖν ὁ μακάριος ἔλεγεν·
οὐ ταῦτα τὸ ποίμνιον ἐ
μὸν Χριστὸς ἀπαιτεῖ· οὐδὲ τοῦθ'
ἡμᾶς διδάσκει τὸ εὐαγγέλιον·
καιρὸς οὗτος· ἐπιστρέψαι
τοὺς πεπλανημένους· γνώτω
σαν διδαχθέντες τὰ ἁ
μαρτήματα· πρὸς τὸ
σεβασθῶσαν τὸν κύριον· ἐξαλλά
ξωσαν τὴν ἀσέβειαν· Καὶ
τῇ ποίμνῃ μιχθήτωσαν·
τοῦτό μοι ἐκδίκησις· σω
θῆναι τοὺς ἀδικήσαντας·

καὶ ὁμολογῆσαι καλὰ εἶναι
ἃ πρώην ὑβρίζων ἐκάκιζεν· μακρο-
θυμήσατε τέκνα· ἂν γὰρ
μακρόθυμος· πολὺς ἐν φρο-
νήσει· καλῶς ποιήσατε
τοῖς μισοῦσιν ὑμᾶς· καὶ ἀ-
φήσετε αὐτοῖς τελέως τὰ
παραπτώματα· εἰ δὲ λί-
αν ὀξύθυμος ὑβρίζει καὶ δυσ-
κάθεκτος ἡ ὀργή· γενέσθω
παρ' ὑμῶν κἂν τὸ δεύτερον·
ἐάσατε ταῦτα χ(ριστ)ῷ· καὶ
τοῦ ἐκείνου δικαστηρίου πα-
ραπέμπετε· ἐμοὶ γὰρ ἐκ-
δίκησις· ἐγὼ ἀνταποδώ-
σω λέγει κ(ύριο)ς· τοιούτοις δὴ
λογίοις ἂν πείθει τὴν ἡσυ-
χίαν· τοῦ δὲ πολέμου λω-
φήσαντος· ὃς πρὸς τοὺς
ἑσπερίους σαρακηνοὺς συ-
νέστη· καταμόνας ἐκνενι-
κηκότος τῷ αὐτοκράτο-
ρι· δίκην τε αὐτοῖς εἰσ-
πραξαμένου τοῦ θράσους
ἀξίαν· αἰχμαλώτοις τε
λαμπρὸν τε καὶ φόροις ταῖς χα-

τι τοῖς ἡττημένοις· σωθεὶς
εἶναι παρεῖναι τῇ βασιλίδι
τοῖς θριάμβοις ἐπηρμέ-
νος καὶ γαυρούμενος· καὶ
τηνικαῦτα προσδέξασθαι
τὸν ἀρχιερέα γρηγόριον
ἔντιμος τε καὶ τῶν αὐτοῦ
θρόνων ἐπάξιος· καὶ δὴ
ἀλλ' ἐξ ἧς πλατυτέραν τὸ πε-
ρὶ αὐτὸν ἐνδείξασθαι πρό-
θυμον· καὶ τέλος ἀπεῖπεν·
ὢ ὕβρεως· σοί τε καὶ τοῖς ἱερεῦ-
σι τούτοις δι' ἡμῶν μόνον θεὸς ἐγ-
χειρίζει τὴν ἐκκλησίαν·
ἰδοὺ δίδωμί σοι τὸν οἶκον
τὸν ἱερὸν καὶ τὸν θρόνον·
ὁ δὲ μακάριος ὑπὸ χαρᾶς
ὡς πληρωθεὶς· ἀσπασά-
μενος τὸν αὐτοκράτορα
καὶ εὐχαῖς ἀμειψάμενος·
ἐξῄει τῶν βασιλείων· οἱ δὲ
ἀρχαῖοι· μέχρι γὰρ τοῦ χρό-
νου τοῦδε τὸν ἱερὸν καὶ
τεῖχον οἶκον· παρ' ἐκεῖ αὐ-
τὸν τοξιφήρεις· ὑπὸ βραχὺ
τοῦ πολεμεῖν ἠρημένοι

πρὸς τὸν μακάριον· καὶ
τὸν μὲν βασιλέα ἱκετεύων·
μὴ ἀφαιρεθῆναι τὸν οἶκον·
δεδοικότων ἀντιβαίνειν
τῷ κράτει· τῶν δὲ ὁσίων καὶ
τοῖς μετ' αὐτοῦ· θάνατον δὲ
ἀπειλούντων· δημοσίᾳ τε
ὁπλισθέντων· καὶ ἰδίᾳ
τινὶ ὑποθέμενοι· λάθρα
προσελθόντι· διὰ τῶν
σπλάγχνων τοῦ ἀρχιερέως
τὸ ξίφος ὠθεῖν· καὶ ἦν μὲν
σύστασις τῶν πολεμίων. τοσαύτη
περιουσίας δὲ γινομένης· ὁ
λαὸς τοῦ θεοῦ ἅμα τῷ ποι-
μένι ἤδεσαν· τὸν ἱερὸν οἶκον
ἀπολειπόμενοι· ἦν μὲν οὖν θροῦς
τε πόλις καὶ τάραχος οὐ-
χ ἥττων. ἡ πόλις πορ-
θουμένης ἐκ πολεμίων
ἐφόδου· πολλῶν ὁπλοφο-
ρούντων ἐν πλατείαις τε καὶ
διορόφοις καὶ τριορόφοις
ὄντων· πολλῆς τε οἰμω-
γῆς γυναικῶν καὶ παιδίων
συμμιγνυμένης· ἐδόκει

δεῖν καὶ ὁ βασιλεὺς ἅμα
τῷ μακαρίῳ εἰς τὸ μέσον·
Οἵα δὲ πολλαῖς σημαίνειν
ἀμίμοις πράγμασι· προ-
ϊούσης γίνεται σκότος.
μετ' ὀλίγης τὸν ἡλιακὸν κύ-
κλον ὑποδραμούσης· καὶ
τὸ σημεῖον ἑορτῆς τε καὶ
φαιδρότητος τοιαύτης
ὑπάρχον ἀλλότριον· τοὺς
μὲν ἀρειανοὺς ἐποίει θαρ-
σοτέρους. ὡς τοῦ θεοῦ μὴ
ἐνδοκοῦντος τῇ μεταθέσει
τοῦ οἴκου· τυχὸν δὲ πιστῶν.
ἀνίαν ἐπέδειξεν ὑποσημαί-
νουσαν· ὡς δὲ τῆς ἱερᾶς
κιγκλίδος ὁ ποιμὴν καὶ
ὁ βασιλεὺς εἰσπαρέδυ-
σαν· ἠρέθη τε φωνὴ μία πα-
ρὰ πάντων ἀθρόως· δα-
κρύων τε καὶ χειρῶν ἐκ-
τάσεις. ἀθρόως τοῦ μεθύσ-
ἐξελθόντος προνοίᾳ
θεοῦ· ἐκλάμπει ἡλιακὸν
σέλας. τὸν ἱερὸν οἶκον κα-
ταυγάσαν· καὶ τῶν ἀέρι φω-

παθεῖν τε καὶ τῶν ἄλλων διάνοιαι, τὴν δυσφημίαν εἰς φαιδρότητα συμμετέβαλον·
τόν τε βασιλέα ἱκέτευον ἐγκαθιδρῦσαι τὸν ἀρχιερέα τῷ θρόνῳ. ὁ δὲ μακάριος μὴ βου-
λόμενος ἐκεῖσε καθιδρυνθῆναι· αὐτὸς ἐν τοσούτοις ἐκφωνεῖν· ὑπὸ τῆς ἐγκρατείας καὶ
τῆς ἀσθενείας οὐχ οἷός τε ὤν, προσφωνεῖ τῷ πλήθει διά τινος λέγων αὐτοῖς· ὦ τέκνα
μου, καιρὸς ἀγνωμονοῦντας τὴν χάριν ὁμολογεῖν ἐφ' οἷς ἐχαρίσατο ἡμῖν ἡ τριάς. περὶ
δὲ τοῦ θρόνου εἰσαῦθις ἀναλαβώμεθα. ταῦτα ὁ μὲν λαὸς δεξάμενος, ἐπραΰνετο. ὁ αὐ-
τοκράτωρ δὲ τῆς μετριότητος τοῦ ἀνδρὸς κατεπλήττετο. καὶ οὕτω μὲν ἡ πανήγυρις διε-
λύθη. ἀφοσιώσειν τε πλείστων παρασχομένων χρῆναι καὶ ἀσφάλειαν ὥστε καταμαθεῖν
τῶν τε ὅπλων τὴν παρασκευὴν καὶ τῆς μανίας τὸ ὀξύ. ἓν δὲ μόνον γυμνωθὲν ξίφος.
Δυνάμει τῷ πάλιν ἐμβληθῆναι τῇ ξιφοθήκῃ. πλήν γε οὖν εἰς τέλος συνεχωρήθη μὴ ἐνι-
δρυθῆναι τῷ θρόνῳ. καίπερ γὰρ οὐκ ἐθέλοντα καὶ ἰσχυρῶς ἀπαναινόμενον, ὅμως ἐνίδρυ-
σε τῆς ἀρχιερωσύνης τοῖς θώκοις ἀρχιερέων πλῆθος. τὰ δὲ μικρὸν ὕστερον. ὁ μὲν οὖν
βασιλεὺς τῷ ἀνδρὶ ἐγγενηθεὶς· πρὸς αὐτὸν τιμὴν καὶ αἰδῶ ἀπονέμων· καὶ γὰρ ἦν οὐδὲ
παιδεύσεως ἄμοιρος· ὁποῖον ὡς εὐσεβὴς ὁ ἀνὴρ καὶ πρᾶος εἴπερ τις ἄλλος. αὐτὸς δὲ θεῷ σχολά-
ζειν μᾶλλον ἢ βασιλεῖ τῶν καλῶν εἶναι οἰόμενος, οὐ συχνῶς ὡμίλει τοῖς βασιλείοις. φι-
λαργυρίαν δὲ τοὺς παρισταμένους τῷ βασιλεῖ νοσοῦντας ὁρῶν· καὶ τοὺς δῶρα χαριζομένους
ἀποδεχομένους· τῶν δὲ οἷος ἦν οὗτος μάλα καταφρονοῦντας· διά τοι ταῦτα ταῖς προ-
σευχαῖς καὶ ἀγρυπνίαις καὶ διδασκαλίαις προσεῖχε· καὶ ἀσθενῶν θεραπείαις καὶ
ἐπισκέψεσι, θεῷ τούτοις καθαίρων ἑαυτὸν καὶ τὸ ποίμνιον. ποτὲ δὲ καὶ πρὸς ἀγροὺς ὑ-
πανεχώρει τὴν ἡσυχίαν ποθῶν· καὶ τὸ συνεχὲς τῶν πόνων ταύτῃ ἰώμενος· ὡς ἂν
αὐτῷ τὸ σῶμα πρὸς τοὺς ἐφεξῆς πόνους μὴ ἀποκάμοι. αὐλαῖς δὲ βασιλέων, χρονίως
Ἐνέβαλλε· τὸ τῆς παροιμίας ᾆσαι καὶ περιπόντως ἐκμελετήσας· σπάνιον εἴσαγε
σὸν πόδα πρὸς σὸν φίλον ἵνα μὴ πλησθείς μισήσῃ σε. τοσαύτης δὲ ποιμὴν ἐκκλησί-
ας ἀποδειχθεὶς· καὶ παραλαβὼν προσόδους τε καὶ πάντοθεν τῶν κειμηλίων πλῆ-
θος, μίαν δραχμὴν ἐνταῦθεν οὐ προσεκτήσατο. καίτοιγε βουλομένῳ καὶ ταλάντων
ἀφθονίαν αὐτῷ περιποιεῖσθαι ἂν ἐξεγένετο. οὐ λογισμοὺς προσόδων ἢ διοικήσε-
ων παρὰ τῶν οἰκονομησάντων τὰ τῆς ἐκκλησίας ἐπεζήτησεν· οὐκ ἀναγραφὰς
σκευῶν ἱερῶν. κατὰ πολιτικῶν μᾶλλον ἢ ἐκκλησιαστικῶν ἀνδρῶν τὸ ἔργον τοῦτο
(ὑπολαβών.

ἔξαρχον τῶν ἐπισκόπων. τοῦτον καὶ πάντας ἐν παιδεύσει καὶ ἠθῶν καθαρότητα ὑπερ-
φέρειν τῆς συνελεύσεως. καὶ μὴ ἀπαύστως πειρᾶσθαι λογοθετοῦντας πείθειν. συνεχεῖ δὲ
πόνῳ γῆρας τε καὶ ἀσθένειαν ἤδη καταπτόμενος, ἀρρωστήσας ἐπὶ τοὺς ἐκποδὸς ἦν.
καὶ δὴ τοῦ δήμου πλῆθος ἀθρόως ἐπεισῆλθε τῷ δωματίῳ ἔνθα κατέκειτο. οἷα δὲ φιλεῖ
συμβαίνειν τοῖς ποθουμένοις. ἐπιτρέψας ἐπὶ τοὺς ἐκποδὸς τοὺς πόδας εἰς τοὔδαφος οὕτω
σὺν καθέζετο. τί βούλεται πυνθανόμενος ἡ αὐτῶν παρουσία. οἱ δὲ χάριν ~~ἣν τῶν πόνου~~
~~σιν~~ ὁμολογήσαντες τῷ θεῷ ἐπὶ τοῖς γεγενημένοις. καὶ ὑπὲρ τοῦ βασιλέως ὑπεραξάμενοι
εἵνεκεν τοῦ νεὼ καὶ τῶν ἁγίων ἱερῶν οἴκων. καὶ τῆς ἐκκλησίας τῶν ὀρθοδόξων. πάν-
των δὲ τούτων αἴτιον προσειπόντες τὸν ποιμένα, γεγηθότες ἀπῄεσαν. νεανίας δέ τις
ὑποληφθεὶς. καὶ ταῖς ἑαυτοῦ χερσὶ συμπιέσας αὐτοῦ πόδας, ὀδυρμοῖς καὶ δάκρυσιν ἱκέ-
Τευε τὸν μακάριον συγγνῶναι αὐτῷ τὸ πλημμέλημα. τοῦ δὲ πυνθανομένου τί τὸ λε-
γόμενον εἴη, οὐδὲν ἀπεκρίνατο. πλὴν τοῦ θρηνεῖν καὶ συγγνώμην αἰτεῖν. τῶν δὲ πα-
ρισταμένων τις ἔφη. οὗτός ἐστιν ὁ σὸς φονεὺς ὥσπερ. ὃς ἔμελλεν ἐν σκαιωρίας πρώην κα-
τὰ τῶν σῶν ἐγκάτων ἐλαύνειν ξίφος. καὶ ὁ Χριστὸς σου σαφῶς ἀντελάβετο. γνώμης δὲ τῆς
αὐτῶν εἵνεκεν, τὸ δρᾶμα ἐξετελέσθη. ταύτῃ τοι προσπίπτων βοᾷ ἐπὶ τῇ τόλμῃ μετα-
μελόμενος. αὐτίκα δὲ ὁ πατὴρ οἷα πατήρ, τάδε φησί. γένοιτό σοι Χριστὸς ἀμενηνὴς ὦ φίλτατε.
καὶ δώῃ σοι συγγνώμην αὐτός, ὁ κἀμὲ περισώσας. μόνον εἰς ἀπολογίαν τῆς τόλμης,
ἐμὸς γενοῦ. τὴν αἵρεσιν βδελυξάμενος, θεῷ τε πρόσελθε. καὶ δούλευε αὐτῷ δουλεί-
ᾳ εἰλικρινεῖ ἑκουσίῳ. ἡ οὖν πόλις ἀκούσασα τῆς ἀποκρίσεως τὸ μακρόθυμον, πλέον
ἐπ᾽ αὐτῷ ἐξήφθη φιλοστοργίᾳ. ὑπὸ δὲ τὸν καιρὸν τοῦτον ἐκ πάσης τῆς ὑπὸ Ῥωμαίοις
ἀρχῆς. πλὴν Αἰγύπτου καὶ τῆς ἑσπερίας, συνῆλθεν ἡ τῶν ἑκατὸν πεντήκοντα ἁγία
Σύνοδος. ἀρχιερέα καταστῆσαι τῇ βασιλίδι ἐπίσκοπον. καὶ τὰς αἱρέσεις τὰς ἐν τῷ μετα-
ξὺ τῶν Ἀρειανικῶν χρόνων ἀναφυείσας, ἐξωθῆσαι τῆς ἐκκλησίας ψήφῳ οἰκου-
μενικῆς συνελεύσεως. τὰ μὲν οὖν κατὰ τῶν αἱρέσεων. προαπεποίησεν ὁ μέγας
Γρηγόριος ἐν πολλῷ τῶν χρόνων ὡς πρὸ θῆρας ἐπιβούλους τοῦ ποιμνίου τῆς ἐκκλησίας
ἀποδιώκων. καὶ αὐτῆς δὲ παρούσης τῆς ἁγίας συνόδου ὁμοίως συνηγωνίσατο.
ἡ δὲ ἁγία σύνοδος αὐτὸν ἐνεθρόνισεν. ἡγεμόνα ἔχουσα τὸν μέγαν ποιμένα τῆς
Ἀντιοχέων Μελέτιον. ἄνδρα εὐσεβῆ μὲν τὴν πίστιν. καὶ ἐν τοῖς χρόνοις τοῦ Ἀρειανικοῦ

κράτους ἐξελαθέντα τῆς ἐκκλησίας· πλεῖστά τε κακοπαθήσαντα· σὼ ἐβη ἐξο-
ρία πολυχρονίῳ παραδοθῆναι· τὸν δὲ τρόπον, τί δεῖ λέγειν· ὁποῖός τις ὑπῆρχεν· ὁ
γὰρ αὐτὸς πρᾶός τε ἦν καὶ δραστήριος· σώφρων· δίκαιος· ἀνδρεῖος· σοφός· καὶ πρὸς
πᾶν τῆς ἀρετῆς κάλλος ἀπεξεσμένος· τούτου δὴ ψήφῳ γνώσει καὶ συμβουλίᾳ, σύνοδος ἡ
ψῆφος ἐκύρωσε τὴν προεδρίαν τῆς βασιλίδος τῷ Γρηγορίῳ· ὁ δὲ καὶ ἐπεὶ τὰ ἄλλα
δυσχεραίνων πρὸς τὴν ἐπισκοπήν· πόθῳ μὲν τῆς ποίμνης· καὶ τὸ μονάζειν ἐν τῇ τῆς
βασιλίδος κρατήσοι, δυνατὸς ἔσεσθαι τὰς ἐν κύκλῳ τῆς οἰκουμένης ἔριδας.

Ὥσπερ ἀπὸ σκοπιᾶς τινὸς καταμανθάνων διαλύειν· καὶ πρὸς ἕνωσιν ἀμφοῖν ταῖν
χεροῖν ἀγωνιζόμενος διεστώσας τὰς ἐκκλησίας, εἵλετο δέξασθαι τὴν ἐπισκοπήν· τοῦ δὲ
ὁσίου Μελετίου τελευτήσαντος τὸν βίον ἐν τῇ βασιλίδι, γίνεται αὐτῷ τιμὴ προπεμ-
πτήριος, ὥστε πᾶσαν ἐπ' αὐτῷ ἐκχυθῆναι τὴν βασιλίδα· πολλὰ δὲ καταγαγεῖν
δάκρυα· καὶ τηνικαῦτα ἐν πρώτοις ὅσον δὴ πλῆθος ἐπιγνωσθῆναι τοὺς ἄσκους·
αὖθις φιλονεικία περὶ τοῦ θρόνου· καὶ πρὸς ἀλλήλους ἐξυγομαχοῦν ἐπίσκοποι·
καὶ οἱ μὲν τὰ ψηφισθέντα δίκαια εἶναι κρίνοντες, βέβαια μένειν ταῦτα ἐβούλοντο·
οἱ δὲ ἀντέπιπτον πρὸς τὰ ἤδη δεδογμένα καλῶς· ὁ δὲ Γρηγόριος ὡς ἅπαξ τὴν
καθέδραν δεξάμενος, μετεποιεῖτο αὐτῆς· πρὸς αὐτοὺς χρώμενος τοιοῖσδε λόγοις·
ἐγὼ ποιμένες ἱεροὶ καὶ τίμιοι· τὴν ἀρχὴν οὐκ ἐθέλοντι τῆς βασιλίδος ἡγήσασθαι·
ἀλλὰ καὶ πόνοις τε καὶ ἱδρῶσιν ἐμοῖς ἐπάγη τε καὶ ηὐξήθη τῶν τῆς δὲ ἐκκλησιῶν,
ἤρκει μοι ταῦτα θησαυρίζειν παρ' αὐτοῦ τὴν ἀντίδοσιν ἀναμένοντι· ἐπεὶ δὲ
πόθος τε ποίμνης καὶ ὑμῶν κοινὴ ψῆφος δέξασθαί με τὴν καθέδραν ἐξεβι-
άσατο· οὐ μοι δοκεῖ τε τοῦτο ὀρθῶς νῦν πράττειν· ἀνατρέποντες τὰ οἰκεῖα· πρὸ

Τὸ μὴ δὲ ἅπαντας συμφωνεῖν· ἀλλὰ τοῖς μὲν δοκεῖν κρατῆσαι τὰ ἤδη δόξαντα·
τοῖς δὲ οὐ δοκεῖν· ἐγὼ δὲ οὐ πλούτου· οὐδὲ ὑψηλῆς ἐφιέμενος καθέδρας τάδε
φημί· οὐδὲ βασιλίδος χρηματίζειν ἐπίσκοπος· ἀλλὰ πρῶτον μὲν ὀρφανίαν τέ-
κνων φέρειν ἀπαθῶς, δυσχερέστατον· καὶ ἠλιθίων τὸ πάθος· ἔπειτα μηδὲ ζητεῖτε
ὑμεῖς φθόνῳ τινὶ ἢ κουφότητι ἕτερα πράττειν τῶν προεγνωσμένων· εἰ δὲ
νικᾷ παρ' ὑμῖν τὰ νῦν καὶ τὰ πρώην ὡς ἔωλα καταφρονεῖται, ἀλλ' ὅπως τῆς ἐ-
πισκοπῆς ἐξίσταμαι· βουλεύεσθε· πράττετε τὰ καθ' ἑαυτοὺς περιϊστάμενα.

ἐμοὶ δὲ ἀγαπητὸν ἡ ἐρημία καὶ πάλαι καὶ νῦν. οὐ γὰρ καὶ θεοῦ ἄρξουσιν οἱ τῶν θρόνων
ἀποστερήσοντες. ταῦτα εἰπών. καὶ αἰσθόμενος τοὺς πολλοὺς προβολὴν ἄλλου
σπουδάζοντας, αὐτὸς ἀπολιπὼν τὸν οἶκον ἔνθα κατέμενεν, ἄλλον περισκοπεῖ
πόρρω τῆς ἐκκλησίας. τούς τε θορύβους ἀποδιδράσκων καὶ τὰς ὀχλήσεις τῶν συνε-
λαστῶν. πολλοὶ γοῦν ἐκ τοῦ λαοῦ ἐκεῖσε συνέρρεον. δακρύοντες. ἱκετεύοντες.
ἀντιβολοῦντες ἐλεῆσαι τὸ ποίμνιον. ὃ πόνοις τε καὶ ἱδρῶσι τοσούτοις ἐξέθρεψέ
τε καὶ ηὔξησε. δὸς τὴν χάριν ἔλεγον τοῖς σοῖς φιλτάτοις. καὶ ὡς τὸ ἀκμαῖον σου
τῆς ζωῆς προαναλώσας ἡμῖν, δώρησαι καὶ τὸ λειπόμενον. ἵν᾽ ἔχοιμεν λείψανον τὸ
σὸν σῶμα. οἱ τῇ σῇ διδασκαλίᾳ πεφωτισμένοι. τούτοις ὁ φιλότεκνος πατὴρ
ἐμαλάσσετο μέν, ἡ πόρ ἀδὲ ὅπερ δράσαι. καὶ τὸν θρόνον ἐξελθὼν παρὰ τὸ αὐτῷ πρέπον οἰ-
κονομῆσαι. τούτων δὲ τὸν τρόπον τοῦτον ἐχόντων, παρῆσαν ἐπίσκοποι ἐκκλη-
μένοι ἔκ τε αἰγύπτου καὶ μακεδονίας εἰς τὸ βυζάντιον. ἐπὶ τῆς εἰρημένης ἐκδη-
μούσης συνόδου. καὶ δὴ οὗτοι ὡς χωρὶς τῆς αὐτῶν γνώμης καθιδρυθέντος τοῦ
μακαρίου γρηγορίου. πάθει ἀνθρωπίνῳ κατασχεθέντες, ἀντέλεγον τῇ ψήφῳ. οὐ-
χὶ γρηγόριον μισοῦντες ὡς αὐτὸν συνέπεσθον κρυφίοις δηλώμασιν. ἀλλὰ τοὺς κα-
θιδρύσαντας ἀμυνόμενοι. ὡς δίχα γνώμης αὐτῶν δεδωκότας τὸν θρόνον. ὁ δὲ
μακάριος ἐπὶ τὸ αὐτὸ πάντων συναθροισθέντων τῶν ἐπισκόπων. κατὰ τὰς
ἐν μέσῳ τῷ συλλόγῳ τάδε φησίν. ἄνδρες συμποίμενες τῆς ἱερᾶς ποίμνης
χριστοῦ. αἰσχρὸν μὲν ἂν εἴη καὶ παντελῶς οὐ χρηστόν. εἰς τοὺς ἄλλους εἰρήνην παιδεύον-
τες αὐτοὶ πρὸς ἀλλήλους πόλεμον ἤρασθε. πῶς δ᾽ ἂν ὁμονοεῖν ἑτέρους πείσοντες.
αὐτοὶ ὄντες περὶ τὰ δοκοῦντα ἀσύμφωνοι. ἀλλ᾽ ἱκετεύω ὑμᾶς πρὸς τῆς τριάδος
αὐτῆς. καλῶς τε καὶ εἰρηνικῶς διαθέσθαι τὰ πρὸς ἀλλήλους. εἰ δὲ ἐπ᾽ ὑμῖν ἐγὼ τῆς
Διαστάσεως αἴτιος, οὐκ εἰμὶ σεμνότερος ἰωνᾶ τοῦ προφήτου. βάλετέ με εἰς τὴν
θάλασσαν. καὶ παύσεται ἀφ᾽ ὑμῶν ὁ κλύδων τῶν συμφορῶν. αἱροῦμαι παθεῖν
ὅ τι ἂν βούλησθε. καίπερ ἀθῷος ὤν, τῆς ὑμῶν ἕνεκεν ὁμονοίας. θρόνου ἐξω-
σατε. πόλεως ἀπελάσατε. μόνον τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ὡς ὁ ζαχαρί-
ας φησὶν ἀγαπήσατε. ἔρρωσθε ἱεροὶ ποιμένες. ἢ τῶν ἐμῶν πόνων μνημο-
νεύοντες μὴ ἀπολήξητε. ταῦτα εἰπόντος. αἰδώς τις αὐτοὺς εἶχε τοῖς εἰρημένοις

καταφυγεῖν τάχιον [illegible] ἐπὶ τὴν καππαδοκῶν βαδιούμενος, ἐξῄει τοῦ συλλόγου.
συμμιγῆ χαράν τε καὶ κατήφειαν. τὸ μὲν ὅτι τῶν πόνων ἅμα ἀπαλλαγήσοιτο.
τὸ δὲ τοῦ ποιμνίου χάριν ὅπως αὐτὸ καταλείψειεν. ἐλθὼν δὲ εἰς τὰ βασίλεια, ᾐ-
τεῖ χάριν τοιάνδε εἰπὼν πρότερον. σὺ μὲν ὦ βασιλεῦ ὢν τὴν ἐκκλησίαν εὐεργέ-
τήσας, ἀντιμετρήσοι σοι χ(ριστὸ)ς ἐν ἡμέρᾳ ἀνταποδόσεως. ἣν δὲ νῦν αἰτῶ χάριν ὦ κρά-
τιστε παρακαλοῦμαι μὴ ἀπαρνήσῃ. οὐ περὶ χρημάτων ἱκετεύω. οὐδὲ ποθῶ πολυτελῆ
θυσιαστηρίοις ὑφάσματα. οὐ συγγενῶν ἀρχάς. ἀλλ' ἱκετεύω τῶν πόνων ἀνα-
βιῶναι. ληγέτω δὲ καὶ ὁ φθόνος. εἰρηνευέτωσαν οἱ ἐπίσκοποι, σοῦ μάλιστα τοῦ
τοσοῦτον σπουδάζοντος. παῦσον τῶν ἱερέων τὸν πόλεμον. ὁ στήσας βαρβάρων θρά-
σος τὰ μέγιστα τρόπαια τοῦ σοῦ κράτους. ἐγκόσμησον τῇ συμφωνίᾳ τῶν
ἐπισκόπων. ταύτην ἐγὼ δωρεὰν αἰτοῦμαι. ταύτην τελευταίαν μοι παρέχεις
χάριν. θαυμάσας δὲ τὰ εἰρημένα ὅ τε αὐτοκράτωρ καὶ οἱ τῆς συγκλήτου βουλῆς.
οἷα σφοδρῷ τῷ περὶ αὐτὸν πόθῳ συντετηκότες, μόλις ἀπέλυσαν αὐτόν. τὴν
ἔξοδον ἐπιτρέψαντες. ἐνδημοῦντος δὲ αὐτοῦ ἔτι τῇ βασιλίδι, καθίσταται εἰς
τὴν αὐτοῦ ἐκκλησίαν ὑπὸ τῆς συνόδου. νεκτάριός τις ἐπίσκοπος ταρσεὺς ὑπάρ-
χων τῆς κιλικίας. αὐτὸς δὲ προσκαλεσάμενος τὸν κλῆρον. καὶ τοῦ λαοῦ τοὺς ἐκ-
κρίτους. νουθετήσας τε αὐτοὺς φυλάττειν τὴν παρακαταθήκην τῆς πίστεως. καὶ
τὰς ἐντολὰς τοῦ θ(εο)ῦ κατεργάζεσθαι. ἀσπασάμενος πολλά τε κινήσας ἅπα-
σι δάκρυα, τῆς ὁδοιπορίας εἴχετο. ἔρχεται δὲ εἰς ἀριζὸν χωρίον καππαδοκίας.

Ὅπερ ἐκέκτητο ἐκ πατρικοῦ κλήρου κατέσχεν ἑαυτόν. πολλοῦ δὲ χρόνου παρω-
χηκότος. ἀφ' οὗ βασίλειος ὁ μέγας πρὸς τὸν θ(εὸ)ν ἐξεδήμησεν ἐκ τοῦ βίου τούτου
πρὸς ὑψηλοτέραν ζωήν. μεταθέμενος τὰ παρόντα. γράψας τὸν ἐπ' αὐτῷ ἐπι-
τάφιον, εἰς τὴν καισαρέων ἧκεν ἱερὰν μητρόπολιν. καὶ προσφωνήσας τὸν λόγον
τῇ ἐκκλησίᾳ, ἐβάδιζεν οἴκαδε. χρόνον δὲ πλεῖστον τῆς περιόδου αὐτοῦ ἀπο-
λειφθέντος. διὰ τὴν ἐν τῇ βασιλίδι διατριβήν. δύο γὰρ καὶ δέκα ἔτη λόγος
αὐτὸν ἐν τῷ βυζαντίῳ πεποιηκέναι. συνέβη τῶν ἀπολιναρίου μαθητῶν
τινὰς εἰς τὴν δευτέραν ἐπαρχίαν τῶν καππαδοκῶν. πολλοὺς μὲν ἐξαπα-
τῆσαι τοῖς λόγοις τῆς ἀσεβείας. τολμῆσαι δὲ μέχρι καὶ τοῦδε προελθεῖν.

ὥστε καὶ ἐπισκόπους ἐν τῇ χώρᾳ χειροτονεῖν. ἡ αὐτὴ δὲ τῆς Ναζιανζοῦ καθαίρειν
οὖν τὴν Ναζιανζὸν τοῦ τοιούτου ἄγους ὡς τάχιστα. λίαν δὲ ἱκετευόμενος προσθεῖναι
Τῆς πειθοῦς· οὐ δέχεται τὴν ἐπισκοπήν. μάλα γὰρ τὸν ἡσύχιον μετεδίωκε βίον·
καί τινα Εὐλάλιον τῆς Ναζιανζοῦ ποιμένα κατέστησεν· ὃν ἔσχε μάλα γ' ἐν τοῖς τιμίοις
θεράποντα περὶ αὐτὸν καὶ μέτριον τὸ ἦθος ὑπάρχοντα. αὐτὸς δὲ ἀσθενὴς ἀκριβού-
μενος ἐν Ἀριανζοῖς ἀνέψυχεν. ὅθι πορεῖν δὲ οὐχ οἷός τε ὢν ἐπέστελλε Κληδονίῳ
τῷ πρεσβυτέρῳ· ἀνδρὶ θεοσεβεῖ καὶ θεράποντι γνησίῳ θεοῦ· καὶ ἑτέροις πιστοῖς·
ὥστε μὴ παραδέχεσθαι τὸν λύμον τῆς αἱρέσεως. τάς τε χειροτονίας ἀθετεῖν τῶν
Ἀπολιναριστῶν· ὡς ἀθέσμους καὶ ἀλλοτρίας τῆς καθολικῆς ἐκκλησίας. ἤδη
δὲ οὐ μέχρι τοῦ ψιλῇ διαμαρτυρίᾳ πρὸς αὐτοὺς χρήσασθαι· ἀλλὰ καὶ διεξοδι-
κώτερον ἔγραφε καθ' ἓν ἀνατρέπων τὰ τῆς ἀσεβείας Ἀπολιναρίου ἀμβλώ-
ματα. τοῦτο δὲ δηλοῦσι σαφῶς αἵ τε πρὸς Κληδόνιον δύο ἐπιστολαί· οὐχ ἥκιστα
δὲ καὶ οἱ ἔμμετροι λόγοι οὓς καταλέλοιπε. ἐπειδὴ τῶν ἐμμέτρων ὧν ἐμνήσθην
καὶ πρώην, διττὸς αὐτῷ γέγονεν ὁ σκοπός. πρῶτος μέν, ὅπως τὴν ἄθεσμον
Ἰουλιανοῦ τοῦ τυράννου νομοθεσίαν, μικρὰν καὶ ὡς δὴ καὶ ἀνίσχυρον ἀπελέγξῃ·
κελεύουσαν μὴ μετεῖναι Χριστιανοῖς τῆς ἑλληνικῆς παιδείας. δεύτερος δέ· ἐ-
πεὶ ἑώρα Ἀπολινάριον γράψαντα πολυστίχους βίβλους ἐν διαφόροις μέτρων
καὶ τούτοις κλέψαντα τοὺς πολλοὺς εἰς τὴν αἵρεσιν ὡς ἐλλόγιμον δῆθεν, ἀναγ-
καῖον ᾠήθη ἐν Ἀριανζοῖς ἡσυχάζων μετὰ τὴν ὑποστροφήν· καὶ σχολὴν ἄγων
διὰ πραγμάτων ἀπηλλαγμένος, τηνικαῦτα γράψαι τὰ ἔμμετρα. ὅθεν μοι
Εὕρηται ἡ πλείστη ὕλη τῆσδε τῆς ὑποθέσεως. ἐνταῦθα ἠρεμήσας χρόνον τινά·
καὶ καθάρας τὸν βίον φιλοσοφίᾳ· γενόμενός τε ἐν θεωρίᾳ μείζονι, μετατί-
θεται τὴν ἐπίκηρον ταύτην ζωὴν ἐν βαθείᾳ τῇ πολιᾷ, πρὸς τὴν ἀμείνω καὶ ὑψη-
λοτέραν κατάστασιν· ἧς ἐνταῦθα μόγις ἂν ἀρεθείη καὶ τὰ ἰνδάλματα. ἐμοὶ
μὲν οὖν τὰ τῆς εἰς αὐτὸν τιμῆς εἰς δύναμιν ἀφοσίωται· ὅσον τὸν πόθον ἀποπλη-
ρῶσαι πρὸς τὸ ἀγαθόν· ἢ τῶν τὰ ἐκείνου ποθούντων· ἢ ὥστε ἐν ὀλίγῳ συνειλη-
φότας ἔχειν βραχεῖάν τινα τοῦ βίου ἀναγραφήν. τὸ γὰρ ἅπαντα ἐνδιηγεῖ-
σθαι ἢ πρὸς ἀξίαν, οὐκ οἶδα εἴ τις καὶ τῶν ἄγαν ἐπὶ σοφίᾳ θαυμαζομένων

ποιῆσαι τὸ σχῆμα τὸ ἐν αὐτῷ θέμενος τῷ μακάριε πάτερ· καὶ τῆς σκιώδους τῆς ἀληθινῆς ἐπόπτα
ἠμύσα· ἔνθα φωνὴ ἀγαλλιάσεως καὶ σὲ ὑμνούντων μετὰ ἀγγέλων τε καὶ ἁγίων,
μέμνησο γρηγορίου τοῦ σοῦ· βραχέα σοι τάδε φιλοσοφήσαντος· εἰ γὰρ καὶ τῆς δυνά
μεως ἐνδέων τῆς ἀξίας ἀπολιμπάνομαι· καὶ ταῦτα ὑπὲρ σοῦ λέγων, ἀλλ' οὖν γε
μέμφη τῇ προθυμίᾳ· σοὶ γὰρ ἔστιν ἐκ μνήμης ἱερᾶς φωνῆς· καὶ θεοῦ λέγουσα φι
λονεικεῖν τὸ κατὰ δύναμιν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Βίος καὶ πολιτεία τοῦ ὁσίου Ξενοφῶντος· τῆς συμβίου καὶ τῶν τέκνων αὐτοῦ ἀρκαδίου καὶ ἰωάννου: εὐλόγησον δέσποτα:

Ξενοφῶν ὁ θαυμάσιος, ἔφυ μὲν ἐκ ταύτης τῶν πόλεων· ἣ πασῶν τῶν ἄλλων· καὶ
λάμπει καὶ μεγέθει καὶ θέσει καὶ τοῖς ἄλλοις κρατεῖ· ἧς οἰκιστὴς ὁ πρῶτος ἐν χριστιανοῖς
βασιλεὺς κωνσταντῖνος ὁ μέγας· ὁ τῆς εὐσεβοῦς πίστεως ὁμολογητὴς ἅμα καὶ βεβαι
ωτὴς εὐσεβέστατος· ὅπερ οὖν ἡ πόλις ἐν πόλεσι, τοῦτο καὶ ξενοφῶν ἐν ἀνδράσι·
πρῶτος ἐν ὡραβίου· καὶ τὴν ἀρετὴν ἀπαράμιλλος· ὃς τῆς συγκλήτου βουλῆς
ὑπάρχων· καὶ τῶν τὰ πρῶτα φερόντων εἰς δόξαν οὐδενὸς δεύτερος, ἔτι καὶ πλούτῳ
πολὺς ἦν· καὶ κατὰ τὸν θεῖον ἰὼβ· τοῖς δοκοῦσι τούτοις ἀγαθοῖς ἀνθηρούμενος·
ὡς καὶ αὐτὸν δικαίως μετ' ἐκείνου λέγειν· ὅτι ἐχέοντό μοι αἱ ὁδοὶ βουτύρῳ· τὰ
δὲ ὄρη μου ἐχέοντο γάλακτι· ἀλλ' ὅσῳ πλούτῳ λαμπρὸς ἦν, τοσούτῳ δὴ τῷ φρο
νήματι ταπεινός· καὶ πλούτῳ βρίθων τῆς ἀρετῆς μείζονι· οὐδὲ δεῦτο γὰρ ξενο
φῶν οὐ τῇ λαμπρότητι μόνον τῶν κατὰ κόσμον ἰὼβ· ἀλλὰ καὶ πολλῷ πλέον
τῇ τῆς ἀρετῆς ὁμοιότητι· προσθήσω δ' ὅτι καὶ τοῖς πειρασμοῖς· καὶ τῇ παρακλή
σει καὶ λύσει τῶν πειρασμῶν· ὅπερ ἐστὶ τῆς πολλῆς ἀγαθότητος τοῦ θεοῦ· καὶ τῶν ἀ
μερὲς βλέπον τῶν ὀφθαλμῶν ἐκείνου πρὸς τοὺς οὕτω δι' ἀρετὴν πάσχοντας·
ὁ τοίνυν θεῖος οὗτος ἀνήρ· οὔτε τοῦ πλούτου καὶ τῆς περιφανείας μακάριον
ἑαυτὸν ἡγεῖτο· οὐδὲ καύχημα ἴδιον ὁ σοφὸς ἐποιεῖτο τὴν ματαιότητα· μᾶλλον
μὲν καὶ οὕτως ἔχοντας, ἀθλίους ἔκρινε καὶ λίαν ἐπεδεῖς τὴν διάνοιαν·

ἀλλ' ἐν τούτῳ Ξενοφῶν ἐνόμιζεν ἑαυτὸν μακαρισμοῦ ἄξιον, ἐν τῷ [illegible] ἐπιγι-
νώσκειν τὸν κύριον· καὶ αὐτὸν φοβεῖσθαι· καὶ τῶν ἐντολῶν αὐτοῦ περιέχεσθαι· καὶ διὰ
τοῦτο μᾶλλον δόξαν ἔσχε καὶ πλοῦτον ὥς φησιν ὁ θεῖος Δαβὶδ ἐν τῷ οἴκῳ αὐτοῦ· βού-
λεται γὰρ οὗτος ἀντιδίδοσθαι καὶ ταῦτα πολλάκις τοῖς φοβουμένοις τὸν κύριον· πάντα τῆς
πολλὰ καὶ δυναμένης καὶ δωρουμένης τοῦ ἀγαθοῦ δεξιᾶς· συνάπτεται δὲ αὐτῷ

Καὶ νόμῳ γάμου γυνὴ τῶν εὖ γεγονότων· Μαρία ταύτῃ τὸ ὄνομα· ἣ καὶ βίου τρό-
που κοινωνὸς αὐτῷ γίνεται· καὶ δύο παῖδας τῷ μακαρίῳ γεννᾷ· ὧν τὸν μὲν Ἰωάν-
νην· Ἀρκάδιον δὲ τὸν ἕτερον ὀνομάζεις, πολλὴν εἶχε καὶ ἀμφοτέρων πρόνοιαν· ὥσ-
τε μὴ τῆς οὐσίας μόνον τῆς πατρικῆς· ἀλλὰ καὶ τῆς ἀρετῆς καὶ τῆς παιδείας κληρονόμους
αὐτοὺς ἀποδεῖξαι· ἢ καὶ πλοῦτον εἰδὼς οὐδὲν τοῖς κεκτημένοις· καὶ ποιεῖν ἔχειν
αὐτὸν μᾶλλον· ἢ ὑπ' ἐκείνου κακῶς ἔχεσθαι· καὶ ὅσῳ ἐστὶ ~~[illegible]~~ δουλοπρεπέ-
στερον· ἢ ἀναλίσκειν ἐπισφαλέστερον· ἀμφότερα γὰρ ἴσην ἔχει τὴν ἀτοπίαν·
λόγου καὶ καιροῦ λείποντα· ἤτοι τὸ δαψιλῶς ῥέειν ἔνθα μὴ δεῖ· καὶ τὸ φειδωλὸν εἶναι
καὶ μικρολόγον· ἔνθα τὸ σπείρειν ἐπ' εὐλογίαις ὥς φησι Παῦλος, ἐπαινετὸν καὶ
μακάριον· διὰ τοῦτο καὶ πάσης αὐτοὺς παιδείας πληροῖ· ὅση τε τῆς ἑλληνικῆς
φιλοκαλίας ἐστὶ τὴν γλῶτταν ἀσκοῦσα· καὶ ὅση τῆς καθ' ἡμᾶς φιλοσοφίας· τά τε ἤ-
θη κοσμοῦντα καὶ τὴν ψυχὴν πρὸς φιλοθεΐαν ἀνάγουσα· ἐπεὶ δὲ καὶ νόμων αὐτοὺς
ἐβούλετο γνῶσιν ἔχειν, πρὸς πόλιν Βηρυτὸν ἐκπέμπει· ἐκείνη γὰρ τότε
πολλὴν ἔχουσα περὶ τοὺς νόμους μελέτην ἀνδράσιν ἦν θέα· πρὸς ὄντος φιλόπαι-
δος ἐπιδείξας ἔργον· ἢ ὧν ὁμιλίας ὑπομεῖναι στέρησιν αὐτὸς ἀνασχόμενος· ἢ
ἐκείνους ἀποστερῆσαί τινος τῶν σπουδαίων καὶ ὠφελίμων· ἐπεὶ δὲ περὶ ταύτην
αὐτὴν ἄσκησιν τῶν παίδων ἀσχολουμένων· ὁ πατὴρ νόσῳ περιπίπτει δεινῇ·

Καὶ ἡ μὲν νόσος, ἦν πάλιν θανάσιμος· ἡ δὲ τῶν παίδων στέρησις, καὶ θανάτου πλέον
ἐλύπει· μὴ οὕτω φθάσας ἀθέατος ἀπέλθοι καὶ ἀνομίλητος· φίλτατα τῶν ὄψεων
ὁμιλίας ποθεινοτάτης· διὰ τοῦτο καὶ μετακαλεῖται τάχιον· καὶ αὐτοὶ παρῆ-
σαν οὐχ ὡς μακρὰν, πόθου πτεροῖς κουφιζόμενοι· καὶ τὸ πολὺ τῆς ὁδοῦ βρα-
χὺ τῇ θέρμῃ τῆς ψυχῆς ποιούμενοι· οὐ γὰρ ἐφιλοῦντο μόνον· ἀλλὰ καὶ οὐδὲν
ἧττον ἐφίλουν· οὐ τὸ πᾶν ἔχον τε ἁπλῶς ἐν τῆς φύσεως· ἀλλὰ καὶ ἀφορμὰς

εἰς προθυμότητα ἤλασεν· ἀπὸ τῆς ἀρετῆς γέμοντες· ὡς εἶναι τούτους φιλοπάτορας υἱούς,
περισσῶς ἀληθῶς φιλόπαιδος· ἰδὼν δὲ τοὺς παῖδας· καὶ πρὸς γλυκεῖα μὲν ὄμματα
προσβαλών, ῥάων εὐθὺς γίνεται· καὶ κουφοτέρας ὥσπερ τῆς νόσου διὰ τὴν παρ' αὐτῶν
ἡδονὴν αἰσθάνεται· λύει γὰρ πολλάκις ἀφόρητος ὑπερβολὴ νόσον σώματος· ὥσ-
περ καὶ μικροῦ δεῖν ἐκκαλεῖται, μέγεθος ἀθυμίας· περιλαβὼν οὖν τοὺς παῖδας· καὶ
ὅλος αὐτοῖς ἐκ περιχαρείας περιχυθεὶς· καὶ ἅμα μὲν ἡδονῆς πληρούμενος τῷ τοὺς
φιλτάτους ἰδεῖν· ἅμα δὲ καὶ εἰς λύπην τῆς ἐρημίας τούτων, διὰ τῆς τοῦ θανάτου μνή-
μης ἐπανιών, πολὺς ἦν καὶ παντοδαποῖς τοῖς πάθεσι μεριζόμενος· τοῦτο μὲν
ἀγαλλιῶν· τοῦτο δὲ καὶ περιαλγῶν καὶ κατηφείας μεστὸς γινόμενος· νῦν μὲν ἡ φθ
Δομῆσα ἀσπαζόμενος· νῦν δὲ δακρύων τὰς παρειὰς πληρούμενος· ἀρτιφωνὰς ἀ-
χαριστηρίους προσπέμπων θεῷ· ἀρετῆς ἀμείνονος καὶ τῆς ἐναλλαγῆς φύσεως· εἶτα καὶ λό-
γον ἤδη τεῖνε τὸ πρὸς αὐτοὺς καταρτίζειν ἔτι πρὸς ἀρετὴν βουλόμενος αἰσχύνης ἄξιον
εἶναι ὑπολαμβάνων· ἀφθάρτων μὲν πραγμάτων κληρονόμους τοὺς παῖδας καταλι-
πεῖν· μὴ πολλῷ δὲ μᾶλλον ἥσσω πλέον τὰς ἐντολὰς αὐτοῦ καὶ τὰς παραινέσεις· κλῆρον αὐ-
τοῖς ἀφεῖναι παρὰ πολὺ τιμιώτερον· ἐμοὶ μὲν οὖν ἔλεγε τέκνα ὁ ἀνθρώπινος ὡς
βίος πρὸς τέλος ἤδη χωρεῖ· εἰ βούλεσθε δὲ περὶ χάριτας ἀποδοῦναι· βούλεσθε
δὲ οἶδα πολὺ τὸ πρὸς ἡμᾶς φίλτρον ἔχοντες· ταύτην ἐμοὶ ἀπόδοτε πασῶν χα-
ρίτων προτιμωμένην· ἡ δὲ ἐστι τοῖς θελήμασιν ὑμᾶς ἀκολουθῆσαι θεοῦ· καθὸ καὶ
ἤδη ἀκολουθοῦντες ἐστέ· καὶ ὀπίσω τῶν ἐντολῶν αὐτοῦ καὶ τῶν θελημάτων πορεύ-
εσθαι· ὃ βούλομαι λέγειν, οὐ διὰ τὸ φοβερὸν· ἀλλὰ ἐπαγάγεσθαι πλέον ὑμᾶς γλι-
χόμενος· εἰ γὰρ βουληθῆτε καθάπερ ὑπόδειγμα τι χρήσασθαι τῷ ἐμῷ βίῳ· καὶ πρὸς
Αὐτὸν ἀφορῶντες ὡς εἰκόνα δὴ καὶ ἀρχέτυπον· οὕτω τὰ καθ' ἑαυτοὺς ῥυθ-
μίζειν· ἴσως οὐ πολλῶν ἄλλων δεήσεσθε διδασκάλων· ἄλλως τε δὲ καὶ τὸ πα-
ράδειγμα ἐγγὺς ἕξετε· καὶ μᾶλλον αὐτῷ πιστωθήσεσθε· εὐμαθέστεραι γὰρ
αἱ τῶν οἰκείων διδασκαλίαι· λόγῳ τε καὶ πράξει γινόμεναι· καὶ πολλῷ πλέ-
ον τῶν ἄλλων τὸ πιθανὸν ἔχουσιν· οἶδα τε γὰρ οἷα μοι πρὸς πάντας ἀναστρο-
φὴ γέγονε· καὶ ὅπως ἐκ πάντων οὐκ ἀγάπης μόνον ἀλλὰ καὶ τιμῆς ἐτύγχα-
νον ἀπολαύων· οὐκ ἀλαζονείας χάριν καὶ τύφου κενοῦ· ἀλλ' ἐπιεικείας.

Καὶ τρόπων χρηστότητος· οὐκ ἐξύβρισα πρός τινα οὐδαμῶς· οὐ λαθροδήκτην ἀφῆκα
γλῶσσαν· οὐκ ἐφηλλάμην τῷ πενεστέρῳ τινί· οὐ λάθρα κατελάλησα τοῦ πλησίον.
σκανδάλου κατέστην οὐδενὶ αἴτιος· τῷ θυμῷ κατὰ τῶν ὑπηκόων οὐδ᾽ ὅλως ἐφῆκα·
ἔχθραν ἢ ὀργὴν κρυπτὴν ἐν καρδίᾳ οὐκ ἐμασσόμην· ὥσπερ δὲ τῇ γλώσσῃ, οὕτω καὶ
τοῖς ὀφθαλμοῖς φυλακὴν ἐθέμην· οὐ γυναικὶ προσῆλθον πλὴν τῆς ὑμετέρας
μητρὸς· καὶ ταύτῃ, μέχρι τοῦ τεκεῖν τοὺς φιλτάτους ὑμᾶς· εἶτα συνθήκας ἀλλήλοις πρὸς
ἁγνείαν ἐθέμεθα· καὶ τούτων δὲ τὴν μίμησιν εἴ γε βούλεσθε καρποῦσθαι τὰ ἀπὸ τῶν ἐ-
μῶν ἕξετε· ὀρφανοῖς προσέχειν· χηρῶν προΐστασθαι· νόσῳ πιεζομένους ἐπισκέπτε-
σθαι· ἀδικουμένους ἐκ χειρὸς στερεωτέρων ῥύεσθαι· μὴ ἀσεβεῖν· ἱερεῦσιν ἀπονέμειν
τιμήν· μοναχοὺς καὶ μάλιστα τοὺς ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς
ὀπαῖς τῆς γῆς, πάσης ἀξιοῦν προνοίας· οὐ μὴν ἀλλὰ καὶ περὶ τοὺς δούλους ἐπιει-
κῶς ἔχειν καὶ φιλανθρώπως· διὰ τὸν ὑπὲρ ἡμῶν νόμοις ἀφάτου φιλανθρωπίας δούλου μορ-
φὴν ἐνδυσάμενον· καὶ τῶν μὲν νέων, ὡς ἰδίων προνοεῖν τέκνων· τοὺς γηραιοὺς
δὲ καὶ προβεβηκότας, ἐλευθερίας μὲν ἀξιοῦν· πλὴν μηδὲ οὕτως ἀπολύειν προνοί·
ἀλλ᾽ ἄχρι τέλους τὰ τῆς τροφῆς αὐτοῖς χορηγεῖν· φίλοις εἶναι πιστούς· ἐχθροῖς ἀμνησι-
κάκους· κακοῦ δὲ ἀνταποδοτικοὺς οὐδενί· οὕτω βιοῦντες, ἵλεών τε τὸ θεῖον ἐφ᾽ ὑμᾶς

Ἕξετε· καὶ μακρότητος ἡμερῶν ἀπολαύσεσθε· τούτων οἱ παῖδες ἀκούοντες,
δάκρυά τε θερμὰ τῶν ὀφθαλμῶν καταχέαντες· καὶ τὴν τοῦ πατρὸς στέρησιν φο-
ρητὴν αὐτοῖς εἶναι λέγοντες οὐδαμῶς, ἠξίουν καὶ χείλεσι καὶ ὀφθαλμοῖς καὶ τοῖς
σχήμασι μὴ ἐγκαταλιπεῖν αὐτούς· ἀλλ᾽ αἰτῆσαι παρὰ θεοῦ καὶ ἔτι τὴν ἐν τῷ βίῳ
ζωήν· καὶ γὰρ ᾔδεσαν οἵα τῷ πατρὶ πρὸς θεὸν ἡ διὰ τῶν ἔργων τῶν ἀγαθῶν οἰκείωσις·
οὕτω γὰρ ἔλεγον καὶ τελευτὰς ἡμᾶς ὀφθῆναι παρασκευάσεις τῶν σῶν ἐντολῶν·
ἐκεῖνος οὖν μέγα τι καὶ βύθιον ἀπὸ τῆς ψυχῆς στενάξας· ἀφ᾽ οὗ εἶπεν ἡ κλίνη
με αὕτη ἔσχε τῇ νόσῳ κάτοχον, τοῦτό μοι δέησις πρὸς θεόν· καὶ τῇ νυκτὶ ταύτῃ
ἀμφοτέροις ἡμῖν ἐπράχθη ἡ αἴτησις· τοῦτο γὰρ εἶδον σαφῶς δι᾽ ἀποκαλύψεως.

Κελευσθεὶς ἔτι περιεῖναι τῷ βίῳ· ἤκουσαν οἱ παῖδες· καὶ καθεκτοὶ οὐδ᾽ ὅλως ὑφ᾽ ἡ-
δονῆς ἦσαν· ὥσπερ οὐ τοῦ πατρὸς εἰς ἔτι ζῆν μέλλοντος, ἀλλ᾽ αὐτῶν μηδέποτε θανεῖν
ὡρισμένων· ἐπεὶ δὲ καὶ τῆς νόσου κρείττων ἦν ὁ πατήρ· καὶ ὑγείας ἀπήλαυε

καθαρᾶς· καὶ δὴ καὶ ταῦτα μετασχηματισμένων τῶν ὀνειράτων· ἐπιτρέπει αὖθις τοὺς παῖ-
δας, τὴν εἰς Βηρυτὸν ὁδεύειν· ὥστε τοῖς ἠργμένοις ἤδη τῶν μαθημάτων ἐπιθῆ-
ναι πέρας· ὑμεῖς μὲν ἄπιτε τῶν παιδεύσεων, καὶ τούτου ὑμῖν τοῦ ἔργου μελήσει·
ἐμοὶ δὲ περὶ γάμων ὑμετέρων φροντὶς ἔσται· καὶ ὅπως θᾶττον ἐπανελθόντας,
γυναιξὶν ὑμᾶς συνάψω ταῖς προσηκούσαις· ἔφη, καὶ εἰς πλοῖον αὐτοὺς ἐμβαλὼν ἀ-
πέπεμπεν· ἀλλὰ προσέχειν ἤδη τοῖς ῥηθησομένοις ἐπιμελῶς δεῖ· ἐνθένδε γὰρ προ-
κύπτον ὁρῶ τοῦ λόγου τὸ χαριέστατον· ὁμοῦ μὲν καὶ τὸ ποικίλον τῆς τοῦ θεοῦ προνοί-
ας καὶ χρηστότητος ὑπεμφαῖνον· ὁμοῦ δὲ καὶ τῶν προκειμένων ἡμῖν εἰς διήγησιν τὴν θαυ-
μασίαν οἰκονομίαν· εἶχε μὲν τοὺς παῖδας ὁ πλοῦς, καλῶς μέχρι τινὸς καὶ πρᾴῳ τῷ
πνεύματι φερομένους· εἶτα λαίλαπος ἀθρόον τῇ νηῒ προσπεσούσης· κλύδων ὅτι μέγιστος
καὶ χαλεποῦ γενομένου· καὶ τῆς θαλάσσης μὲν ἐξαίσιόν τι καὶ φρικῶδες μυκησαμένης·
τῶν κυμάτων δὲ δεινῶς ἐπεγειρομένων· ἡ ναῦς ὑπέρ ἤδη τῶν ναυτῶν ἀπελοιώτων· οἱ μὲν
ναῦται σπουδῇ τὰ ἱστία καθέντες ἐφέροντο· οἱ παῖδες δὲ· καὶ ὅρα ῥίζης ἀγαθῆς ἀγαθὰ
βλαστήματα· πάντων ἀπογνόντες τῶν ἄλλων, πρὸς θεὸν ἀφεῖσαν ἔβλεψαν· τὴν μόνην ἀλη-
θινὴν βοήθειαν· αὐτὸν ἐπικαλοῦντες εἰς προστασίαν· οὐκ οἰκείων μὲν ἔργων· ἀλλὰ πατρι-
κῆς ὑπομιμνήσκοντες ἀγαθοεργίας· καὶ οὕτω μᾶλλον δυσωπεῖν ἔγνωσαν· μὴ
ἀναπλέγοντες ἔργων πατρῶν ἡμῶν δέσποτα· καὶ δι' αὐτοὺς μὴ ἐάσῃς ἐν ἡμίσει ἡμε-
ρῶν ἡμῶν εἰς βάθη τῆς θαλάσσης ἡμᾶς καταδῦναι· μηδὲ καταποντισάτω ἡμᾶς
Καταιγὶς ὕδατος· μὴ ἐπιλάθῃ τῶν οἰκτιρμῶν· μὴ ἐπιλάθῃ τῆς χρηστότητος ἀνεικάστου·
βλέψον ἐκ ναοῦ ἁγίου σου· ἐκ φρικτοῦ κατοικητηρίου σου τῆς ἀφράστου μεγα-
λειότητος· καὶ ἴδε πῶς ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως δεόμεθα ἀεὶ
τῆς ἀηττήτου χειρός· καὶ μὴ παραδώσῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου· ἀλλὰ ποί-
ησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου· καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου ἐξελοῦ
ἡμᾶς· εἰς δόξαν τῆς μεγαλωσύνης σου· οὐ γὰρ οἱ νεκροὶ αἰνέσουσί σε· οὐδὲ πάν-
τες οἱ καταβαίνοντες εἰς ᾅδην· ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσωμεν τὸ φοβερὸν
ὄνομά σου· καὶ τοιαύτη τῶν ἱερῶν παίδων ἡ πρὸς θεὸν δέησις· παισὶν ἑτέροις πο-
λλῷ πρότερον δεηθεῖσιν ὁμοίως ἔχουσα· οὐκ ἐν πυρὸς καμίνῳ κειμένοις· ἀλλ' ἐξ ὕ-
δατος σωθῆναι θερμῶς δεομένων· ἐπεὶ δὲ ὁ κλύδων οὐδὲ κατὰ μικρὸν ἐνεδίδου·

θεοῦ κρίμασιν ποιεῖ αὐτὸς· οἱ δὲ τὰ ἐκείνων θαυμασίως οἰκονομοῦντος· καὶ ὁ μὲν δεινὸς ὅσον οὔπω προσδόκιμος ἦν· οἱ ναῦται μὲν ἀπεπίσαντες ἤδη τῇ ἐφολκίδι περὶ αὐτὴν ἤλλαντο· καὶ ἔνθα ἂν αὐτοὺς ἦγε τὸ πνεῦμα, διδόντες ἑαυτοὺς ἤγοντο· οἱ δὲ

Παῖδες ἐπὶ τῆς ἄνωθεν ἐπεγνώκεσαν βοηθείας· καὶ ἅπαν τὸ παρὸν αὐτοῖς γενέσθαι τῶν ἀχρήστων ᾤοντο· ἀγνοοῦντες βαθυτέρας λόγους οἰκονομίας· καὶ τὸ ἄβυσσον εἶναι πολλὴν τὰ τοῦ θεοῦ κρίματα· ὥσπερ ἐν ὀφθαλμοῖς ἤδη τὸν πικρὸν θάνατον ὁρῶντες, ὅλοι τοῦ πάθους ἐγίνοντο· καὶ περιλαβόντες ἀλλήλους· καὶ χερσὶ χεῖρας καὶ πόδας ποσὶ συμπλέξαντες· ὄμμασί τε ὄμματα· καὶ στόμα στόματι περιθέντες, ἀσπασμοῖς τε πυκνοῖς τὸ πάθος παρεμυθοῦντο· καὶ δακρύων πηγαῖς ἀλλήλους κατέκλυζον· καὶ τὴν μακρὰν ἂν ὥσπερ στέρησιν ἀπωδύροντο· εἶτα δ' ἐμόν(?) τι καὶ γοερὸν ἀναμώξαντες· βοῇ τε τὸ πάθος σημαίνοντες τῆς ψυχῆς· καὶ οἷον πικρότερον καὶ αὐτοῦ τοῦ θανάτου τὸν χωρισμὸν λογιζόμενοι· χαῖρε φίλη πατρὶς ὄψις· χαῖρε μῆτερ, ἔλεγον· συγγενῶν φίλων ἡδονὴ χαῖρε· οὐκέτι παρ' ἀλλήλοις ἐσθίειν(?) ἥξομεν· οὐκέτι τὰς παρ' ἀλλήλων ἀφοσιώσεις ἕξομεν· φεῦ ἀδελφὲ φίλτατε· φεῦ ὄψις ἡδίστη· φεῦ ὅπως ὀδυνηρῶς διασπώμεθα· τί ποτε ἄρα ἡ συμφορὰ γονέων ἀγαθή(?)· τί ἡ πρὸς τοὺς πένητας ἀποιίαι(?)· αἱ πρὸς τοὺς φιλαρέτους ἄνδρας καὶ μοναχοὺς θεραπεῖαι· οὐδὲ γὰρ τούτων οὐδεμία πρὸς θεὸν ἀνέβη ἀλλ' ἢ ἀνέβη μέν· ἰσχυροτέρα δὲ ταύτης ἡ τῶν ἡμετέρων ἁμαρτιῶν ὤφθη δύναμις· φεῦ ὅπως παραθρηνοῦντες πρὸ μικροῦ θνήσκοντα· ἐμέλλομεν μᾶλλον αὐτοὶ παρ' ἡμῖν(?) γενέσθαι δακρύων πρόφασις· θρῆνος οὐκ ἔχων πέρας· πένθος ὅλῳ βίῳ παρατεῖνον(?).

Νόμιζον· ἀπολήψεσθαι περὶ τοὺς παῖδας ὡς ἐλπίδας· πλήρεις μαθημάτων· πλήρεις παιδείας· ὧν οὐδὲ θανόντων κόνιν ἔξεστιν ἰδεῖν· γάμους τῶν υἱῶν ὄψεσθαι περιῶς(?) εἴχες μουσῶν(?)· καὶ τὸν ὑμέναιον ᾀδόμενον ἐπ' αὐτοῖς ἀκούσεσθαι· οἱ δὲ οὐδὲ τεθνηκότας ἀλλ' ἀθεάσῃ(?)· οὐδὲ ἀσπάσῃ τὰ τελευταῖα· δίγονον(?) γονεῦσι παῖδας προοιχομένους ὁρᾶν· ὑμῖν δὲ οὐδὲ τοῦτο δίδωσιν ὁ φθόνος· οὐδὲ ἔξεστιν ὑμῖν οἱ γηραιοὶ παίδων ὑμετέρων θάψαι σώματα· ὦ δέσποτα πάντων καὶ βασιλεῦ· εἰ μὲν ἡμῶν ἤδη καταψηφίσω τὸν θάνατον· οὐκ ἐμὴ(?) παρελθεῖν ἡμᾶς ἀρτίως ἔκρινας; ἀλλ' ὁμοῦ τοῦτον ἀνώδυνον ὑπελθεῖν· ἓν ἀμφοτέρους κῦμα καλυψάτω· ἓν θηρίον θα

λάπτεις τάφος ἀμφοτέροις γενέσθω. καὶ τοιοῦτοι μὲν οἱ τῶν παίδων λόγοι. τῆς δὲ
νηὸς ἤδη καθόλου περιρραγείσης· ἑκάτερος αὐτῶν ὁ μὲν σανίδος· ὁ δὲ ἄλλου τῶν ξύ
λων λαβόμενος· τῷ πελάγει ἑαυτοὺς ἐπέτρεψαν· μόνοις μὲν ἀγνοίαις ἑπόμενοι· μά
μασι δὲ θείοις σωζόμενοι παραδόξως· ἐκδέχεται τὸν γὰρ οὖν ὁ τύπος οὕτω φερομένους
αὐτούς· τὸν μὲν ἰωάννην, τὸ ποσὸς ὃ λέγεται μαλμεφεθάν· ἡ πέτρα πυργία
δὲ τὸν ἀρκάδιον· πλὴν ἑκάτερος θατέρου τὴν σωτηρίαν οὐκ εἰδὼς, οὐ μᾶλλον ἔχαι
ρεν ἐφ' ἑαυτῷ, ἢ ἐπὶ τῷ τοῦ ἀδελφοῦ κινδύνῳ ἠνιᾶτο. ὁ τοίνυν ἰωάννης πολλοὺς
ἀνελίττων λογισμοὺς ἦν· ὅποι παραφίζεται σκοπῶν· καὶ πῶς ἄρα τὰ κατ' αὐτὸν
διαθήσει· οὕτω διαμελετῶντα, μοναχὸς ἀγαθὸς ἐπιστὰς· ἐν πρώτοις ὥσπερ σπερμάτων
ἔχοντας ἀφορμάς· ὁ γὰρ πατὴρ ἔλεγεν· ὁ ἐμὸς ἀεὶ τὸν μονήρη βίον μακαρισμοῦ
ἠξίου· καὶ τὰ κατὰ βούλημα τῷ θεῷ, δουλεῦσαι μὲν μᾶλλον αὐτῷ πτωχείαν ἅμα
καὶ ταπείνωσιν ὑπελθόντα· ὁδοὶ γὰρ ἀπλανεῖς αὗται πρὸς ἐκεῖνον φέρουσαι
θεραπείαν, ἢ ἐν πλούτῳ καὶ ἀπάτῃ τὸν βίον διενεγκεῖν· ὁ τῆς πλατείας ἐστὶ
καὶ ὁδηγούσης πρὸς τὴν ἀπώλειαν· καὶ ταύτῃ μὴ δὲ ἀκουσθῆναί με τῆς μεγά
ἐκείνου χειρὸς δεόμενον· μὴ δὲ τὴν ζάλην εἰς γαλήνην μεταβαλεῖν· ἀγαθὸς
γὰρ ὤν, οἶδε πολλάκις καὶ παρορᾶν ἀγχομένους, ἐπ' ἀγαθῷ τῆς ψυχῆς.
καὶ κεῖνα μᾶλλον αἰτουμένοις παρέχειν· ὅσα καὶ πρὸς αὐτὴν ἀνήκει πα
ρὰ πᾶν τὸ κέρδος· δεῖ οὖν με μοναστηρίῳ προσελθεῖν καὶ ψυχῆς φρον
τίσαι· καὶ αὐτοῦ δὴ τούτου, ὅπως θεῷ εὐάρεστος ἔσομαι· ὃς οὐ κλύδωνος μόνον
τοῦ θαλαττίου, ἀλλὰ καὶ πολλῷ μᾶλλον τοῦ βιωτικοῦ κλύδωνος σώσας ἡ
μᾶς, λόγοις ἀρρήτοις εἰς ὁδὸν ἤγαγε σωτηρίας. οὕτω σκοπήσας καὶ διανοηθεὶς,
εὐχῇ δίδωσιν ἑαυτόν· ἐβούλετο δὲ ἢ εὑρεθῆναί πῃ καὶ τὸν ἀδελφὸν ἀρκά
διον· ἢ τὴν ἴσην αὐτῷ ἑλέσθαι τοῦ βίου διαγωγήν. ὅπερ ὡς ἐν κεφαλαίῳ
ἦν· ἵνα μὴ κατὰ σῶμα μόνον εἴη· ἀλλὰ πολλῷ μᾶλλον καὶ κατὰ ψυχὴν σωζόμενος.
πρόσεισι τοιγαροῦν ἑνὶ τῶν κατὰ τὸν τόπον μοναστηρίων· καὶ ὁ ἐπὶ τῶν πυ
λῶν τεταγμένος ὡς εἶδεν αὐτὸν ὁ μὲν ὥστε εἶδε, καὶ εὐθὺς ἐδέξατο.
ἱμάτιόν τε δίδωσι· γυμνὸς γὰρ ἦν· καὶ τραπέζης αὐτῷ κοινωνεῖν λίαν ἱλα
ρῶς καὶ προθύμως. τοῦ θεοῦ δὲ ταῦτα καλῶς τῷ ἰωάννῃ διαθέντος τὰ περὶ
αὐτὸν φέρ' ἴδωμεν.

ἔπειτα μετὰ τὸ φαγεῖν καὶ ὁμιλίας ὁ μοναχὸς ἀπετόλμησε· πόθεν εἶ, ἀδελφέ, φίλε, εἰπέ·
ὁ δὲ, οὐκ εὐγενείας· οὐ πλούτου· οὐκ ἄλλου τοῦ τῶν ἐπισήμων καὶ περιφανῶν
μνησθεὶς· ὡς περ ἤδη τὸ μετριοφρονεῖν κατορθώσας, ἀπὸ τῶν ἀτελεστέρων
ἑαυτὸν βούλεται παριστᾶν· ἀλλ' ὅς εἰμι λέγων ξένος καὶ ταπεινός· ναυαγίῳ δὲ περι-
ληφθεὶς ἀμέλει εἴτε τῷ θείῳ χρησάμενος· καὶ ταῖς ἀρχαῖς ταῖς ὑμετέραις διασω-
θεὶς, ἀπερρίφην ἐνταῦθα· τούτων ἀκούσας ὁ μοναχὸς, προσετίθει· τί δέ
σοι τὸ μετὰ ταῦτα σκοπός· καὶ ὁ Ἰωάννης· εἰ καὶ θεῷ ἔφη τοῦτο δοκοῦν καὶ μὴ
ἀπάγει με τῆς προθέσεως τὸ ἀνάξιον, μοναχὸν γενέσθαι· ἐπεὶ γὰρ ὡς τὸν λόγον
ἀκούσας ὁ πυλωρός· καὶ τὸν Ἰωάννην ἐμακάρισε τῆς ἐπιθυμίας· ὁ δὲ, ἀλλ' εἰ
δυνατόν μοι ἔφη ἐνταῦθα τέλος ἐπιθεῖναί μου τῇ προθέσει; καὶ ὁ μοναχός·
Προσαγγεῖλαί μοι δεῖ τῷ προεστῶτι· καὶ ὅπερ ἂν αὐτὸς ἐπιτρέψει, τοῦτο σε
ποιῆσαι· καὶ πέρας ἀγαθὸν τῷ πράγματι ἀπαντήσει· προσήγγελε τῷ κα-
θηγουμένῳ ὁ μοναχός· μετακαλεῖται ὁ Ἰωάννης, καὶ εἰς ὄψιν αὐτῷ ἔρχεται.
ἡδονῆς τε αὐτῷ γίνεται πρόξενος, ὅσης διὰ τὴν ἐπιφαινομένην τῷ
προσώπῳ χάριν ἐκ τοῦ κάλλους τῶν ἀρετῶν· ἀκούει πλεῖστα ὁ Ἰωάννης
τῶν εἰς ὠφέλειαν ψυχῆς συντεινόντων· εἶτα κατηχεῖται τὰ τῆς μοναχικῆς
ἀκριβείας· κείρεται τὴν κόμην· συναποκείρεται πᾶν εἴ τι κοσμικὸν ἦν
καὶ πρόσγειον· τὰ τῶν μοναχῶν περιβάλλεται· μετὰ τῶν ἄλλων καὶ τοὺς
συνάδοντας τῷ ἐπαγγέλματι τῆς περιβολῆς λογισμούς· καὶ ἦν οὕτω νηστεί-
αις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς διακαρτερῶν· τὰ μὲν ἄλλα εὔθυμος·
μόνῃ δὲ τῇ περὶ τὸν ἀδελφὸν φροντίδι κατώδυνος τὴν ψυχήν· ᾤετο γὰρ
αὐτὸν τοῖς ὕδασι δεινῶς ἐναποθανεῖν· ἐλάνθανε δὲ τὸν γενναῖον ὡς ἐκεί-
Νου θεὸς καὶ Ἀρκαδίου πάντων ἦν. ἀμφοτέρους γὰρ ἔμελλεν ἀρέσκειν θεῷ.
διὸ καὶ ἀμφοτέρων θεὸς ἐκήδετο· τούτου τοιγαροῦν τῇ χάριτι καὶ ὁ θεῖος
διασωθεὶς Ἀρκάδιος· καὶ γῇ τῆς Τετραπυργίας ἀποδοθεὶς ὡς προέφημεν,
χάριν ὁμολογεῖ θεῷ τῷ σώσαντι· ἐδεῖτο δὲ καὶ αὐτὸς περὶ τοῦ ἀδελφοῦ·
τῆς αὐτῆς τυχεῖν δεξιᾶς ὁδηγοῦντι καὶ φύλακος· καὶ τοῦτον ἰδεῖν ὀφ-
θαλμοῖς, πρὶν ἢ τὸν βίον ὑπεξελθεῖν· ἀδελφοὶ γὰρ ἦσαν οὐ τὰ σώματα

μόνον, ἀλλὰ καὶ τὰς ψυχάς· μετὰ δὲ τὴν ἀρχὴν ἄπεισιν εἰς κώμην τινά, ὡς δῆθεν χρημάτων, ἄρτου δεόμενος· ἢ εἰς χεῖρας ἑτέρων βλέπων, οὗπερ ἀπήλαυον οἱ πρὸς πολλῶν δεομένων γαστέρας ἐμπλῆσαι· λαβὼν οὖν καὶ φαγὼν καὶ ἰσχύσας, ὕπνῳ προσέσχεν· ὁ δὲ ὕπνος, ὄναρ αὐτῷ εἶχεν ἐπιφανέντα τὸν ἀδελφόν· καί τί δὲ δῆτ' ἐμμέτρως εἰς ἀδελφὲ λέγοντα· ὃς ἐν Χριστῷ ζῶ· τοῦτο γοῦν ἀληθῶς πιστώσας, μηδὲν τὸ μὴ ταῦτα λυποῦ· ἐπεὶ τοίνυν ἀφῆκεν αὐτὸν ὁ ὕπνος συνεὶς τὸ φανέν, χαρᾶς ἐπληροῦτο καὶ τῷ θεῷ χάριν ὡμολόγει· εἶτα σκοπῶν ἦν καθ' ἑαυτὸς καὶ λογισμοὺς στρέφων περὶ τοῦ τί δεῖ ποιεῖν· ἄν

Τί ἐπιθυμῶ γὰρ οὕτως· ἀπελεύσομαι πρὸς τοὺς τεκόντας; ἀλλὰ λύπης μᾶλλον αἴτιος αὐτοῖς ἔσομαι μόνος ὀφθείς· ἀλλὰ πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν πορεύσομαι; ἀλλ' ἀβουλήτως καὶ ἀποστρόφως ἔχω τῆς διδαχῆς, τοῦ ἀδελφοῦ στερηθείς· τί οὖν ποιήσαιμι· τῶν πρῶτον μου ἆθλον ὁ τῶν μοναχῶν βίος ἔδοξεν ἐπαινετὸς καὶ μακαρισμοῦ ἄξιος, τοῦτον ἑλέσθαι με δεῖ· καὶ οὐ καὶ ἂν διαμαρτοίμι τῆς καλῆς γνώμης καὶ τῶν ἀγαθῶν. οὕτως εἰπὼν, ὁδοῦ τῆς πρὸς τὰ ἱεροσόλυμα εἴχετο· γενόμενος δὲ ἐκεῖσε, καὶ τοὺς ἁγίους διελθὼν τόπους· ἔπειτα καὶ τοῖς μοναστηρίοις σχεδὸν ἅπασι προσιών, ἐν ὅσῳ ταῦτα μετῄει, συναντᾷ γέροντί τινι τῶν μεγάλων· οὐκ ἀσαφῆ τῆς ἀρετῆς σύμβολα· ἔν τε τοῦ βαδίσματος τε καὶ καταστήματος καὶ τῶν ὀφθαλμῶν δυναμένῳ παρέχειν· ᾧ προσδραμὼν ἡδέως καὶ ἀσπασάμενος, δεῖξαι ὑπὲρ ἐμοῦ λέγει· πολλῇ γὰρ ἀθυμίᾳ βάλλομαι τὴν ψυχήν· ἀλλὰ μὴ ἀθύμει ὁ γέρων φησί· ὅ γὰρ ὁ πατήρ σου καὶ ἡ μήτηρ· καὶ ὁ ἀδελφὸς ὁ σός, ζῶσιν· ἀλλὰ καὶ πάντες οἱ μετὰ σοῦ τῷ δεινῷ κλύδωνι περισχεθέντες, ἐσώθησαν· καὶ οἱ μεθ' ὑμῶν δὲ ὄντες παῖδες, ἀπαθεῖς κακοῦ διέμειναν· καὶ τῷ τῶν μοναχῶν σχήματι ὥσπερ δὴ καὶ ὁ ἀδελφός σου κατεκοσμήθησαν· ἐπήκοος δὲ γέγονε καὶ θεὸς τῆς εὐχῆς· καὶ μέλλεις αὐτοὺς πρὶν ἢ τὸν βίον ὑπεξελθεῖν, ὄψεσθαι· ἤκουσε ταῦτα ὁ θεῖος ἀρκάδιος· θεοῦ δὲ καὶ τοῦτο πάντως ἦν· καὶ τῆς τοῦ ἀγαθοῦ χάριτος· ἣ παρακαλεῖ τὰς ἐν λύπῃ ψυχάς· καὶ τὴν παρ' αὐτῆς δρόσον ἴαμα ταύταις ὥσπερ δίδωσιν· ἤκουσε τοίνυν καὶ πιστεύσας,

τοῖς τοῦ γέροντος προσπίπτει ποσίν· ἐδεῖτό τε ἰσχυρῶς· ἰδοὺ λέγων ἅπαντά σοι τὰ

τὰ καθ' ἡμᾶς ἐξεκάλυψα· μὴ τοιγαροῦν ἀπώσῃ· ἀλλ' ὅπως ἄν σοι δοκοίη μετ' ἐμοῦ ποί-

ησον· καὶ τὴν ταπεινήν μου σῶσον ψυχήν, τὸ τῶν μοναχῶν σχῆμα [illegible]·

πρὸς ταῦτα ὁ γέρων· ἀλογήτως ὁ θεῖος ἕπεσθαι ἀκολουθεῖν ἐκέλευσε· καὶ ἀπαγαγὼν τὸν ἄν-

δρα εἰς τὴν λαύραν, ἣ λέγεται τοῦ Σουκᾶ· καὶ κατὰ τοὺς μοναχοὺς αὐτὸν περιστέλλει· εἶ-

τα καὶ τὸ κελλίον αὐτῷ δίδωσι τὸ ἀρχαῖον· ἔνθα δὴ καὶ ὁ γέρων χρόνους οὐκ ἐλάττ-

ους ἢ πεντήκοντα διενεγκὼν ἦν· καὶ συνδιατρίψας ἐνιαυτὸν ὅλον· καὶ [illegible] ἔχων ἀπ-

Τὰ δὲ διδάξας αὐτόν· παραδούς τε κανόνα, ἔξεισιν εἰς τὴν ἔρημον· ποιμὴν γὰρ ἦν·

ἐπαγγειλάμενος τρίτον ἤδη παρελθόντος ἔτους, αὐτὸν ὄψεσθαι· ὁ μὲν οὖν θεῖος Ἀρκά-

διος τὸν κανόνα παραλαβών, εἴχετο σπουδαίως· καὶ προθύμως αὐτὸν ἤνυε·

χρόνων δὲ ἤδη δύο παρῳχηκότων· ἀλλὰ προσέχειν ἐνταῦθα μάλιστα δεῖ· ἵν' ὡς

περὶ τὰ λυπηρὰ μαθόντες ἠλγήσαμεν, οὕτω καὶ τοῖς χαριεστέροις προσχόντες, εὐ-

φροσύνῃ τὰ σκυθρωπὰ λύσωμεν· ἐπεὶ τοίνυν δύο χρόνοι παρῆλθον· ὁ πρὶν αὐ-

τοῦ παντάπασιν οὐκ εἰδὼς οἷα δὴ τοῖς ἐκείνου παισὶ συνέβη· ἑνὶ τῶν οἰκετῶν

αὐτοῦ γράμματα ἐγχειρίσας, ἐκπέμπει· γνῶναι διψῶν, τί ποτ' ἂν εἴη τοσού-

του χρόνου γράμματα αὐτὸν μὴ δέξασθαι παρὰ τῶν φιλτάτων· ἤδη δὲ τῷ ἀπε-

σταλμένῳ τὴν Βηρυτὸν φθάσαντι, διεγνώσθη τοὺς αὐτοῦ κυρίους εἰς τὴν πόλιν μὴ

ἀπαντῆσαι· ὑπολαβὼν οὖν πρὸς Ἀθήνας αὐτοὺς χωρῆσαι, τῆς αὐτῆς εἴχετο κἀκεῖ-

νος· ἀπιὼν δέ, καταλύει πρός τινι πανδοχείῳ· ἔνθα βλέπει ἕνα τῶν ὁμοδούλων αὐτοῦ

κατὰ μοναχοὺς περιεσταλμένον· ᾧ προσελθὼν καὶ γνωρίσας καὶ λαβών, ποῦ φησιν

οἱ ἀμφοῖν ἡμῶν κύριοι· ἐστέναξε μὲν ἐκεῖνος ἀκούσας· καὶ δακρύων τὰς ὄψεις ὑπο-

Πλησθείς, φεῦ εἶπεν οἷα ταῖς σαῖς ἀκοαῖς ἐρεῖν βούλομαι· ἐν τῇ θαλάσσῃ γὰρ οἱ ἡ-

μῶν κύριοι ἐλεεινῶς ἀπολώλασιν· ἐγὼ δὲ μόνος ὡς γε οἶμαι διασωθείς, [illegible]

[illegible] λυπηροτέραν, τὸν μονήρη βίον μετελθεῖν εἱλόμην· θανεῖν ὡς περὶ ἡ-

αὐτὸς διὰ τῆς δὲ τῆς ἀγωγῆς προκρίνας, ἢ ζῆν· οὐδὲ γὰρ ἔκρινα συμφέρον εἶναι

πρὸς τὸν δεσπότην ἡμῶν τὸν αὐτῶν [illegible] ἐπανελθεῖν· ἄγγελος πονηρός· ὁ τῆς

δυστυχής· [illegible] καὶ δικαίως ἐπίφθονος· [illegible]

μον· νῦν οὖν ἐπὶ τὰ Ἱεροσόλυμα τὴν πορείαν ποιοῦμαι· ἐκεῖνος ἀκούσας καὶ

ὅλος γεγονὼς τοῦ πάθους· πλήττων μὲν ἀμφοτέραις τὸ στῆθος· δεινὸν δὲ ἀνακλαυσάμενος·
καὶ τῶν κυρίων ἐπιμνησθεὶς οἰκέτου χρηστοῦ καὶ ἀμώμου μόνος, ἀφίησι φωνήν· οἴμοι κύριοί
μου λέγων· τί τὰ γεγονότα ταῦτα· τίς ἡ πικρὰ καὶ δύσφημος περὶ ὑμῶν ἀκοή· ποία
γλῶττα τῶν ὑμετέρων περὶ τὸν ὑμῶν οἰκτισμὸν ἀπαγγέλλει θάνατον· τί με ὀφθαλμοὶ τοῦ
Αὐτοῦ βλέπειν καὶ τὴν τῆς μεσ ὑμῶν ὄψονται· τίς οἶδε πικρὰν ἐκείνων καὶ τὴν φθοράν·
ἐνδύμασι σκοτεινόν· δάκρυα θερμὰ τῶν ὀφθαλμῶν ἀπορρέοντα· κόμην κατὰ κε-
φαλῆς χεομένην· πολιὰν ἀθλίως ὑβριζομένην· οὕτω περὶ πάθους ἀνακλαύσας,
ἠβούλετο μὲν ἀγχόνῃ τραπέσθαι· καὶ μὴ πρὸς τοὺς δεσπότας ἐπανελθεῖν· μηδὲ ἄγγε-
λος αὐτοῖς γενέσθαι τοιαύτης ἀπαισίας ἀγγελίας· τῶν παρόντων δὲ μᾶλλον ὑπο-
στρέψαι παραινούντων· ἀλλὰ καὶ αὐτὸς συνιεὶς ὡς τὰ γεγονότα μὲν ἅπαξ γεγόνει·
καὶ ἀμήχανον ταῦτα μεταβαλεῖν· αὐτὸν δὲ παρήκοον ὀφθῆναι δεσποτικῆς
ἐντολῆς· πρὸς τῷ μηδὲν τῷ πράγματι βοηθεῖν δύνασθαι· καὶ θεομισῆ καὶ ἀ-
πάνθρωπον· ἄλλως τε δὲ καὶ δείσας μὴ καὶ δεσποτικὴν ἀρὰν φθάσας ὑποπεσεῖν· ἐξώ-
λειαν ἑαυτῷ ἂν ὅπως περιποιήσοι, ἐπανῄει πρὸς τοὺς δεσπότας· φθάσας δὲ
τὸν οἶκον καὶ εἰσελθών, σύννους καὶ σκυθρωπὸς ἐκάθητο· κρύπτειν μὲν ὡς
δυνατὸν ἦν τὸ πρᾶγμα βουλόμενος· καὶ μηδὲν πρὸς οὐδένα περὶ ὧν ἔμαθε
φθεγξάμενος· τρανότερον δὲ γλώττης τῇ κατηφείᾳ τῆς ὄψεως· ποῦ γὰρ ἦν δυ-
νατὸν κρείττω εἶναι τοιούτου κακοῦ, σκυθρωπὰ ὄντα τὰ ἐγνωσμένα δηλῶν·
ἐν τούτου λόγος διέρρει πρὸς τοὺς ὁμοδούλους· καὶ ὑπεψιθύριζον τὰ ῥήματα πονη-
ρά· ἀληθεῖν πάντως τὴν τοῦ οἴκου κυρίαν, ἀμήχανον ἦν· μετακαλεσαμένη
γοῦν τὸν ἀπεσταλμένον, πῶς ἔχει τὰ τέκνα ἡμῶν ἤρετο· ὁ δὲ καλῶς εἶπε· τῆς δὲ
Τὰ γράμματα ἀπαιτούσης, ἐκεῖνος ἀπολέσθαι κατὰ τὴν ὁδὸν ἔφασκεν· ἐπά-
ταξεν αὐτὴν ἡ καρδία· καὶ ὑποψίας μεστὴ γέγονε· καὶ τὰ σπλάγχνα δεινῶς
ἐταράττετο· ὅρκοις τοιγαροῦν τὸν παῖδα περιειλήφει ἀφύκτοις· ἦ μὴν τὸ ἀληθὲς ἐξειπεῖν·
ὁ δὲ βαρὺ ἀλγήσας καὶ πένθος στενάξας· δακρύων τε πληρωθείς, οἴμοι ἔφη κυρία
ἐμή, ὅτι τοὺς παῖδας τοὺς σοὺς τοὺς ἐμοὺς δεσπότας· τοὺς φωστῆρας φῶ τοὺς καλούς,
ὅτε τὸ λοιπὸν οὐδαμῶς· ἔργον ἤδη θαλάσσης γεγενημένους· τούτων ἐκείνη ἀκού-
σασα, μαλακὸν οὐδὲν πέπονθεν· οὐδ' ἀγεννές· οὐδὲ γυναικεῖον· ἀλλ' οἷον μὲν

δεῖξαι βουλομένη· ὅτι παίδων τοιούτων μήτηρ ἦν ἀληθῶς, ηὐχαρίστει φανερῶς τῷ θεῷ· καὶ σιωπὴν πᾶσαν τῷ πάθει παραγγείλασα, αὐτοῖς ἐχρῆτο τοῖς τοῦ Ἰὼβ ῥήμασι μετὰ τῆς αὐτῆς παρρησίας· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω δὴ καὶ ἐγένετο· ἑσπέρας δὲ ἤδη γενομένης· τοῦ θείου Ξενοφῶντος μετὰ τῆς συνήθους λαμπρότητος καὶ δορυφορίας ἀπὸ τῶν βασιλείων ἐπανελθόντος· τραπέζης τε ἤδη παρατεθείσης· εἰώθει γὰρ ἅπαξ τῆς ἡμέρας ἐν ἑσπέρᾳ τροφῆς ἅπτεσθαι, ὡς ἔμελλε μὲν ἡ γυνὴ τὰ τῆς ἀγγελίας· καὶ κοινωνὸν τὸν

δʹ ἄνδρα τῶν τῆς ψυχῆς κακῶν ὕστερον ἐξῆν λαβεῖν· ἐβούλετο δὲ ὡς οἷόν τε κούφην αὐτῷ καὶ μετρίαν τὴν λύπην παρασκευάσαι· λέγεται γὰρ οὖν αὐτῷ καὶ ὑπομιμνήσκει περὶ τῆς τοῦ παιδὸς ἐπανόδου· ὁ δὲ καὶ πρὸς τοῦτο δόξαν ἐδίδου θεῷ· καὶ ποῦ φησιν οὗτος· νόσος εἶπεν αὐτὸν ἐν τῆς κατὰ τὴν ὁδὸν ταχέως εἶχε ταλαιπωρίας· κἀκεῖνος· ἀλλ' ἐνεχθήτω ἔφη τὰ γράμματα· ἡ δὲ μεγάλη πλέον ἡμῖν ἄρτου τὸ γνῶναι ἔχον· εἰώθει δὲ καὶ τοῖς γράμμασιν ἐντάξει· ἀκούσῃ δὲ καὶ ὡς μὲν ὁ παῖς ἔχει σώματος ἕξει πεῖν· ἡ πρὶν παρακρούσασθαι λόγοις τὸν θεῖον Ξενοφῶντα ἡ βοηθός· ἐνέκειτο γὰρ ἀπαιτῶν τὰ γράμματα· καὶ νῦν μὲν λέγων ἐνεχθήτω μοι ταῦτα· γνῶναι βουλομένῳ πῶς ἔχοι μετὰ τῶν παίδων· αὔριον δὲ ὡς σὺ ἔφης, τῶν δι' ἀγγελιῶν τῆς ἀκούσομαι· ἡ δὲ καὶ τῆς ὠεστ τοῦ ἀνδρὸς συμβαλλομένη· καὶ τῶν σπλάγχνων ἡττωμένη δριμέως· γλώττης μὲν καὶ ἐπεκράτησεν· καὶ εἶπεν ὅλως οὐδέν· ἐφθέγξατο δὲ τοῖς δάκρυσι· συνεὶς οὖν ὁ θαυμάσιος Ξενοφῶν· ἀσθενοῦσιν ἔφη τὰ τέκνα ἡμῶν; ἡ δὲ ἄκροις ἔτι τὸ τοῦ λόγου δακτύλοις ἅπτεται τῆς συμφορᾶς· καὶ ὁ μὲν βούλει σὺ μὴ κρύπτεις ἑκών· εἴθε γὰρ ἠσθένουν οὕτω καὶ ἐλπὶς ὑπελείπετο· νῦν δὲ οἱ παῖδες οἱ σοὶ φασί, τῇ θαλάσσῃ ἀπώλοντο· ἤκουσε μὲν ἐκεῖνος· καὶ ἀτεχνῶς ἔδειξεν ὅτι ψυχῆς γενναίας αἱ συμφοραὶ βάσανος· εἴη γὰρ ἔφη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας·

εʹ Ἔπειτα καὶ τὴν γυναῖκα παρακαλεῖν ἐπειρᾶτο· μὴ δὲ αὐτὴν ἀφιλοσόφως καὶ ἀγεννῶς καὶ ἀνδρὸς οὕτω θεοφιλοῦς ἀναξίως ἔχουσαν· μὴ λυποῦ λέγων· οὐ γὰρ ἐάσει θεὸς τοιαύτῃ περιπεσεῖν ἡμᾶς συμφορᾷ· οὐδὲ πικρῶς οὕτω λυπῆσαι τὴν ἐμὴν ἀνέξεται πολιάν· ἐπεὶ μηδὲ μίαν αὐτοῦ τῶν ἐντολῶν ὡς οἶμαι ἀμελῶς παρῆλθον· πλὴν ἀγρυπνητέον τήνδε τὴν νύκτα· καὶ τὴν αὐτοῦ χρηστότητα καὶ τοῖς οἰκτιρμοῖς ἐξιλεωτέον· κἀκεῖνος περὶ τῶν παίδων εἰ τεθνήκασιν ἄπερ ἐμὴν ἐν

τοῖς ζῶσιν [illegible] αὐτοῖς ἀκριβῶς ἐπ' αὐτῷ τὸ τοῦ θείου Ἱερεμίου πέρας ἐλά-
μβανεν· εὐλογημένος γὰρ ἄνθρωπος, ὁ πεποιθὼς ἐπὶ τῷ κυρίῳ· καὶ ἐξῆς ἐπὶ σαυτ·
καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα· καὶ μετ' ὀλίγον αὖθις ἐν ἐνιαυτῷ ἀβροχίας
οὐ φοβηθήσεται· καὶ οὐ διαλείψει ποιοῦν καρπόν. ἀρχομένων οὖν παρ' ὅλην τὴν νύκτα
καὶ τοῦ θεοῦ δεομένων αὐτοῖς· ἐπεὶ περὶ ἤδη περὶ αὐγὰς ἦν ἡ ἡμέρα· καὶ πρὸς ὕπνον αὐτοῖς ἡ-
ττῶντο οἱ ὀφθαλμοί· οὐκ ἔτι λοιπὸν πρὸς τὴν συνήθη στρωμνὴν ἤ τε καὶ κλίνην ἐ-
βλεπον· ἀλλ' ἀντὶ ταύτης, ὑπηρέτει τὸ ἔδαφος· ἅμα γοῦν ὕπνου ἐγεύοντο· καὶ ὤ-
φθησαν ἀμφοτέροις οἱ παῖδες ὑπὸ ὄψιν παριστάμενοι τῷ Χριστῷ· ὁ μὲν Ἰωάννης, στέ-
φανον πολυτελῆ λίθων τιμίων· καὶ θρόνον ἔχων· καὶ σκῆπτρον δεχόμενος·
ὁ δὲ Ἀρκάδιος, στέφανον καὶ αὐτὸς ἀναδεδεμένος ἐκ ποικίλων ἀστέρων καὶ λαμ-
προτάτων· σταυρόν τε τῇ δεξιᾷ κατέχων· καὶ κλίνην ἔχων εἰς ἀνάπαυσιν καὶ
στρωμνήν· ἐκ τούτου συνιέντες τοὺς παῖδας αὐτῶν τιμῆς μεγάλης ἠξιῶσθαι
παρὰ θεῷ· καὶ τοῦτο δὲ διδαχθέντες παρὰ τῆς χάριτος, ἐν Ἱεροσολύμοις αὐτοὺς
εἶναι· τἄλλα πάντα μὴ πραθέμενοι· καὶ χρυσίον λαβόντες συχνόν· ἀλλοί-
χάριν καὶ παρακλήσεως τῶν χρείαν ἐχόντων· ὁδοῦ τῆς ἐπ' αὐτὰ φερούσης
εἴχοντο· ἐπεὶ δὲ καὶ κατέλαβον· τοὺς ἁγίους περιελθόντες τόπους· καὶ τοῦτο
μὲν προσαχθῇ· τοῦτο δὲ καὶ διανομῇ χρυσίου· συνεργὸν τὸ θεῖον τοῦ προκει-
μένου κτησάμενοι· ἔπειτα καὶ τὰ μοναστήρια διελθόντες, οὐδαμοῦ τοῦ ποθου-
μένου ἐτύγχανον· οὔτε μὴν τοὺς παῖδας τοὺς ἑαυτῶν εἶχον ἰδεῖν· ἐντεῦθεν ὁ
πόθος αὐτοῖς θερμότερος ἀνεφλέγετο· τῇ παρατάσει τοῦ χρόνου κρυφίως ὑ-
ποτρεφόμενος· οἷον γὰρ τοῖς δεινὸν ἐν ζῶσι τέκνα τὰ οὕτω φίλτατα· οὕτως ἀπη-
πασθέντα ὑπὸ πάθων τοιαύτης, τυχόντα τῆς οἰκειώσεως· ἐνὶ δὲ συναπτῶσι τῶν οἰ-
κετῶν· οἳ καὶ συναπόδημοι τοῖς ἐκείνων παισὶν ἐτύγχανον· μοναχικὰ περι-
ειβεβλημένοι· οὓς καὶ ἀπὸ τῆς μορφῆς ἀναγνόντες· καὶ μὴ δούλους μὲν·
ἀλλ' ὁμοδούλους ἑαυτῶν· ἢ καὶ τιμιωτέρους εἶναι κρίναντες· τοῦτο μὲν τῷ σχή-
ματι τῆς περιβολῆς· τοῦτο δὲ καὶ τῷ περιόντι τῆς αὐτῶν μετριοφροσύνης·
γόνυ κλίναντες, προσκυνοῦσιν αὐτοῖς ἀλαβῶς προσῆγον· τοῦ δὲ βαρυνο-
μένου τῇ τῆς τιμῆς ἀμετρίᾳ· οὐ σοὶ τοῦτο ὁ θεῖος ἀπεκρίνατο Ξενοφῶν·

ἀνὰ τῷ σχήματι τῷ σῷ· καὶ τῇ δι' αὐτοῦ σφραγῖδι τῆς πρὸς θεὸν οἰκειώσεως. ἐπειδὴ
πυνθανόμενοι περὶ τῶν παίδων, οὐδὲν πλέον εἴχομεν μαθεῖν, ὅτι μὴ τὰ ἐν θα-
λάσσῃ μόνον συμβάντα· ὅπως γὰρ αὐτοῖς διεσώθη ζωὴ ἢ διηνεκεῖ μένος οὐδὲ ποσῶς.

Οὐ παρὰ τοῦτο ῥαθυμότεροι γεγόνασιν· οὐδὲ ὅλως τὸν πόθον ἤμβλυναν· ἀλλ' ἔ-
τι καὶ μᾶλλον τῇ περὶ τοὺς παῖδας ἐπιθυμίᾳ τὰ σπλάγχνα διακαιόμενοι· ἐρά-
μης εἴχοντο· δόξαν οὖν αὐτοῖς καὶ περὶ τὰ τοῦ Ἰορδάνου μέρη ἐπιφοιτῶν· ἅμα μὲν
περὶ τῶν υἱῶν ἐκζητοῦντες· ἅμα δὲ καὶ τὴν χεῖρα διαφιλῶς ῥέουσαν τοῖς δεομένοις
προτείνοντες· ἀπιόντες δὲ συναντῶσιν ἐκείνῳ τῷ θαυμαστῷ γέροντι· ὃς καὶ
τὸν Ἀρκάδιον ἀποκείρας· καὶ τὰ τῶν μοναχῶν αὐτῷ περιβαλὼν ἦν· τούτῳ
προσελθόντες· καὶ τῶν ποδῶν ἐκείνου τῶν ἱερῶν ἁψάμενοι, ἐδέοντο· ἀρχῆς
αὐτοῦ ἀξιῶσαι τῆς πρὸς θεόν· ἐπεὶ οὖν ὁ γέρων ἀπρόθυμον ἑαυτὸν εἰς τοῦτο πα-
ρέσχε· καὶ ἤδη ηὔξατο, πρὸς ὄνομα τούτοις ἐκ καλλ' ὡς χάριτος θείας· προστι-
θεὶς καὶ τὴν ἐν χερσὶν ὑπόθεσιν· μάλα διορατικῶς καὶ θεοφορήτως· δεῖ δὲ οὖν
ὡς προελέγχθησαν, ἰδιωτικώτερον αὐτὰ παραθέσθαι· τίς ἡ ἀνάγκη σε λέγω
τὸν κῦριν Ξενοφῶντα· καὶ τὴν κυρὰν Μαρίαν τὰ Ἱεροσόλυμα καταλιπεῖν·
οὐδεὶς ἕτερος πάντως, ὅτι μὴ ἡ τῶν τέκνων στοργή· μὴ οὖν ἀθυμήσητε· ζῶσι
γὰρ ἀληθῶς ζῶσιν ὑμῶν τὰ τέκνα· ὥσπερ δὴ καὶ θεὸς ὑμῖν ἐφανέρωσεν· ἀλλ' ὑ-
πάγετε καὶ τὰς εὐχὰς ὑμῶν ἀπόδοτε τῷ θεῷ ἐργάται τοῦ ἀμπελῶνος αὐτοῦ·
ἐπανιόντες δὲ τοὺς παῖδας ὑμῶν ὄψεσθε· οὕτως εἰπὼν, ἐκείνοις μὲν ὁρίαν ἐ-

Παξάμενος ἀφῆκε· πολλὴν αὐτῶν εἰς τὴν καρδίαν καταχέας τὴν ἡδονήν· ὅτε
γὰρ οὕτω διορατικώτατα περὶ αὐτῶν ἐξεῖπεν, πίστιν αὐτοῖς παρεῖχε καὶ
περὶ τῶν υἱῶν· καὶ ὅτι μετὰ μικρὸν ὄψονται τοὺς φιλτάτους· αὐτὸς δὲ εἰς τὴν
τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν ἀπελθὼν ἐν γειτόνων τοῦ Γολγοθᾶ, ἐκάθισεν ἐ-
πὶ ἐδάφους· καὶ ἰδοὺ πρόσεισιν ὁ Ἰωάννης ἀμνησαζόμενος· ὃς ἐπειδὴ ἴδοι τὸν γέρον-
τα· αἰδεσθεὶς καὶ μόνον ἀπὸ τῆς ἐπιπρεπούσης αὐτῷ ἀρετῆς, προσκύνησιν
εὐλαβῶς ἐδίδου· καίτοι ἀγνοῶν τὸν ἄνδρα μὴ δὲ ἀγνοούμενος· ὥσπερ ἤδη
καὶ ὁ λόγος δηλώσει· αὐτίκα γὰρ αὐτὸν παραχρῆμα ὁ θαυμάσιος γέρων· ἀλογη-
τε καὶ καλέσας ἐκ τοῦ ὀνόματος, ἐπεὶ παρ' ὑ καὶ προσηνεῖ τῇ φωνῇ· ποῦ

καθὰ τὸ μακάριον τοῦ ... Ἰωάννην φησίν· ἰδοὺ γὰρ ὅ,τι περ ἡ μήτηρ σου τὰ ζῶντα θα
κατέλαβον ἐπιζητοῦντές σε· οἶδα δὲ ὅτι καὶ αὐτὸς σὺ τὸν ἀδελφὸν τὸν σὸν ἐκζητῶν ἐλή-
λυθας· θάμβος ἐπῆλθε τὸν Ἰωάννην, οὕτως ἐκ προνοίας εἰρηκότος τοῦ γέροντος·
καὶ ἐπεὶ πολὺς αὐτὸν εἶχε πόθος τοῦ ἀδελφοῦ· ἁρπάσας τὸ λεχθὲν αὐτίκα. ἤ-

Ποῦ ἄρα, ποῦ ἔφη ὁ ἀδελφὸς ὁ ἐμός· ποῦ ζῇ δὲ ὅλως; ὢ ῥήματος ἡδίστου· ὢ γλυ-
κείας γλώττης· ἀκούσω τὸ τάχος ποῦ τὸν ἀδελφὸν ὄψομαι· ὁρᾷς ὅπως ἐμπέπρη-
σμαι τὴν καρδίαν; ὅπως ἐκτέτηκα καὶ ἐμμανής εἰμι δι' αὐτόν; καὶ ὁ γέρων· κά-
θεζου παρ' ἐμοί, ἔφη· καὶ ὄψει θᾶττον τὸν ἀδελφόν· ὀλίγον παρ' αὐτὸ μεταξὺ ἦν·
καὶ παρῆν εὐθὺς ὁ Ἀρκάδιος ὠχρὸς ἄγαν καὶ κατάξηρος· μόλις τὸ ζῆν προσεῖναι τ-
οῖς ῥήμασι μόνοις καὶ τῇ φωνῇ πιστούμενος· τοσοῦτον ἐγκρατείας ἐφόρει ποι-
τῆς σώφρονος καὶ σεμνῆς· προσελθὼν οὖν τῷ γέροντι πλησίον ἀναλαβὼν καὶ μετρί·
ἰδοὺ τρίτον ἔτος φησὶν ἐξ οὗ τὸν ἀγρὸν τὸν σὸν οὐδὲ μιᾶς παρ' ἐπισκοπῆς ἠξί-
ωσας· καὶ αὐτὸς ἀκάνθας καὶ τριβόλους ἀνήνεγκε πλείστας· λείπεται οὖν πο-
λλὰ κοπιάσαι πρὸς τὴν αὐτοῦ κάθαρσιν· οὐ κἀγώ γε εἶπεν ὁ γέρων· ἀλλ' ἡμέ-
ραν ἑκάστην ἐπισκεπτόμενος αὐτόν· καὶ πολλῆς ἠξίουν ἐπιμελείας· καὶ οἶ-
μαι ὡς οὔτε ἀκάνθας οὔτε μὴν τριβόλους ἀνῆκεν· ἀλλὰ σαφῶς ὕλην καλὴν ἤ-
σι τὸν ὥριμον· οἷς ἄρα καὶ ὁ βασιλεὺς ἥδεται τῶν ἁπάντων· καὶ οὕτω μὲν ὁ θεῖος
εἶπεν ἀνήρ· μὴ προσθεὶς δὲ δηλῶσαι τὴν ἀδελφότητα· ἠγνόησαν γὰρ ἀλλή-
λους ἔκ τε τῆς μεταβολῆς τῶν ἐνδυμάτων καὶ τῆς πολλῆς τοῦ σώματος τήξεως·
πρότερον ἐβούλετο τούτοις τὸν ἀναγνωρισμὸν ἐμβαλεῖν· πόθεν τοιγαροῦν
ὁρμῆσαι τῷ Ἰωάννῃ φησίν· ὁ δὲ μὴ πόσης ἂν εἴποις τῆς μετριοπαθείας καὶ

Ταπεινώσεως, τῇ αὐτῇ ἐχρῆτο φωνῇ· ἣν καὶ πρότερον τὸν αὐτὸν ὑποστὰς
καὶ διασωθεὶς τῇ μονῇ προσῆλθεν· ἄνθρωπός εἰμι λέγων ξένος καὶ ταπεινός·
ἐπιδεὴς ἐλέους θεοῦ καὶ τῶν σῶν ἁγίων εὐχῶν· οὕτω διάπυρος ἐραστὴς ἦν
τοῦ μετρίου· καὶ ἵνα τὸ τῆς θείας γραφῆς εἴποιμι πρὸς τὸ χρηστότερον ἐ-
κλαβών, γέγονεν αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται ἡ ταπείνωσις· πρὸς
ταῦτα ὁ γέρων· ναί φησιν· ἀλλ' εἰπέ τό τε γένος τὸ σὸν καὶ τὴν χώραν·
καὶ τὴν ἀνατροφήν· ἵνα καὶ οὕτω θεὸς δοξασθῇ· ὁ τοίνυν Ἰωάννης λόγου

ἀψάμενος, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εἶπε· καὶ τὴν δ' ἡ γλῶττα γνωρίσματα τὰ πρὸ
τῆς συγγενείας τῷ ἀδελφῷ παρεῖχε· συμμαρτυρούσης αὐτοῖς καὶ συμφθεγ-
γομένης τῆς ὄψεως· εἰ καὶ τοὺς χαρακτῆρας ἀσαφεῖς εἶχεν αὕτη, πολλῆς ἀμ-
βλυωθέντας κακοπαθείας· ὡς δὲ καὶ περὶ τὴν διήγησιν τοῦ τε πλοίου καὶ
τοῦ κινδύνου κατέστη· καὶ ὁ πάλαι ἀδελφὸς αὐτῷ ἦν· οὗ καὶ προσόνομα μνη-
θεὶς ἐξετάζει τε καὶ δάκρυα κατέσταξε τοῦ προσώπου· μὴ ἐνεγκὼν ὁ δ' ἄρα καὶ δῖος
Τὴν τῆς φύσεως τυραννίδα· ἀναστὰς καὶ τῷ γέροντι προσπεσών, οὗτος ἔλε-
γε πάτερ ὁ ὁμὸς ἀδελφὸς Ἰωάννης· οὗτος ὁ φίλτατος· οὗτος ἐκεῖνος ὁ τὴν
αὐτήν μοι συμπλεύσας, καὶ τὸ αὐτὸ ναυάγιον ὑποστάς· καὶ παραδόξως
ὡς ὁρᾶν ἔχοιμι συνδιασωθείς· καὶ νῦν ἐμοὶ παραδοξότερον ἐπιφανείς.
ὢ θείας οἰκονομίας· ὢ θεοῦ κριμάτων ὑπερφυῶν· ὢ πάντα λόγον νικώ-
σης προνοίας· καὶ ὁ γέρων· κἀγώ σε δ' ᾔδειν φησίν· ἀλλὰ τούτου χάριν ἐ-
πέσχον· ἵν' ἀλλήλους ὑμεῖς οἴκοθεν ἐπιγνῶτε· καὶ οὕτω μὲν ὁ θεῖος ἀνήρ.
οἱ δὲ εἰς περιπλοκὰς ἐχώρουν· καὶ περιβαλλόντες ἀλλήλους· καὶ τὰ ἀδελ-
φὰ φίλτρα τούτοις μὲν προσφθεγξάμενοι, τοῦτο δὲ καὶ περιπτυξάμενοι·
εὐχήν τε παρὰ τοῦ θείου γέροντος αἰτησάμενοι· κοινὴν τὴν εὐχαριστίαν
ἀπεδίδοσαν τῷ θεῷ· οὐχ ἧττον τῆς τοῦ κινδύνου διαφυγῆς. ἢ τῆς ἀλλήλων θέ-
ας καὶ συναφείας· καὶ τούτου μᾶλλον τῆς διὰ τοῦ τοιοῦδε σχήματος καὶ τοῦ
βίου πρὸς θεὸν εἰσαγωγῆς τε καὶ οἰκειώσεως· ὥστε συμβαίνειν πολλα-
πλῶς ἠδέσθαι αὐτοὺς καὶ θεῷ τὴν χάριν ὁμολογεῖν· ὑπὲρ τῆς ἑαυτῶν·
Ὑπὲρ τῆς ἀλλήλων δηλαδὴ σωτηρίας· ὑπὲρ τῆς εἰς ἓν πάλιν συναγωγῆς· ὑπὲρ
τῆς εἰς τοιοῦτον βίον ἀναγωγῆς τε καὶ τελειώσεως· ἀλλὰ τὰ μὲν ἐκεί-
νων οὕτως· βούλεται δὲ καὶ ἡμῖν ὁ λόγος ἤδη τοῖς ἀδελφοῖς, συνάψαι
καὶ τοὺς γεννήτορας· συνάπτομεν δὲ οὕτως· οὔπω γὰρ δύο παρῆλθον
ἡμέραι· καὶ αὐτοὶ παρῆσαν φιλοτίμῳ χειρὶ τὰς διανομὰς ποιούμενοι.
πρός τε τὸ ἅγιον φημὶ τοῦ κρανίου ὄρος· καὶ τὸν ζωηφόρον τάφον
Χριστοῦ τοῦ θεοῦ ἡμῶν· ἔπειτα ἀξιοῦσιν, ὁ θεῖος ἐκεῖνος συνετὰ γέρων· ὃς
καὶ τοῦ ζῆν αὐτοῖς τοὺς παῖδας διεβεβαίωσε· καὶ ὅσον οὔπω θεατὴν

ἔσεσθαι.

ἔσεσθαι. τούτων γοῦν προσελθόντες, καὶ τὴν ἐνδόντες τιμήν, τέλος ἤτουν τῆς ὑποσχέσεως. καὶ τὰ σφῶν τέκνα ἠξίουν ἰδεῖν. ἡνίκα δὲ ταῦτ᾽ ἐλέγετο, οἱ γενναῖοι παῖδες ὅπως ἐνῆν ἔσω τῷ γέροντι παρεστῶτες. ἀλλ᾽ ἐπισχόντος αὐτοὺς ἐκείνου. μηδέπω ἐπιδεῖν ἐντελλάμενος. μήτε μὴν δήλους ἑαυτοὺς τοῖς γεννήτορσι καταστῆσαι. πρὸ καὶ διέμενον αὐτοῖς ἄγνωστοι. μηδὲ ἐν τῆς ὄψεως ὑποσημηνάσης. διὰ τὸ μαρανθῆναι τῇ ἀμέτρῳ κακοπαθείᾳ. ὡς καὶ ἤδη φθάσαντες ἐδηλώσαμεν. πάντως δ᾽ οὖσι τῶν μόνον. ἀλλὰ καὶ γλώττης πολλῷ μᾶλλον ἐγκρατέσιν ἦσαν. οὐδὲ γὰρ μέτριον ἦν οὐδὲ κοῦφον. τῶν πατέρων αὐτοὺς ὁρῶντας ἐφιεμένους μετὰ δριμυτάτης ἐπιθυμίας. καὶ οὕτω μὲν αὐτοὺς ποθοῦντας. οὕτω δὲ ποθουμένους, ὑπομεῖναι τὴν σιωπὴν καὶ μὴ μόνον μηδὲν φθέγξασθαι. ἀλλὰ μηδὲ δάκρυον ὑπὸ ἀμέτρου περιχαρείας ἐξενεγκεῖν. ὃ καὶ τῆς βίας κρεῖττον ἦν ἔτι

Φανερῶς τῆς παντάρισης φύσεως. ἐπεὶ οὖν οἱ θαυμαστοὶ παῖδες τοὺς ἑαυτῶν ἐπιγνόντες πατέρας, αὐτοὶ παρ᾽ ἐκείνοις διέμειναν ἄγνωστοι. ἄπιτε ἔφησε πρὸς αὐτοὺς ὁ γέρων τῆς κεχαρισμένης καὶ γλώττης καὶ ψυχῆς, καὶ νῦν ἡμῖν ἑτοιμάσοντες τράπεζαν. ἥξομαι δὲ αὐτὸς μετὰ τῶν δύο μου μαθητῶν. τῶν δὲ συμπαρακληθησομένων ὑμῖν. καὶ τὸ λοιπὸν ἀπάξω παρὰ τὸν τόπον ὑμᾶς, ἐν ᾧ τοὺς φιλτάτους υἱοὺς ὄψεσθε. ἥσθησαν ἐκεῖνοι τοῦτο ἀκούσαντες. οὐ μᾶλλον ἐπὶ τῷ ἐπαγγελθῆναι τοὺς παῖδας ἰδεῖν, ὅσον ἐπὶ τοὺς ἀξίους κριθῆναι ἀνδρὸς ἑστιάτορας ὀφθῆναι τοιούτου. ἑώρων γὰρ οὐ κατὰ τὸ γένος καὶ τὴν περιφάνειαν τὴν οἰκείαν, ἀλλ᾽ ἐς τὴν ἐκείνου πρὸς θεὸν οἰκείωσιν. πολλῷ τιμιωτέραν πλούτου καὶ εὐγενείας, ἀρετὴν εἶναι νομίζοντες. ἐκείνων τοιγαροῦν οἰχομένων. ὁ γέρων τοῖς παισίν, ἀπίωμεν ἔφη συνεστιασόμενοι τοῖς γονεῦσι τοῖς ὑμετέροις. ἐπεὶ μηδὲν ὑμεῖς βλαβήσεσθε παρὰ τοῦτο. φημὶ γὰρ ὅσον ἂν καὶ δι᾽ ἀρετὴν ὑπελθεῖν τοκέας, τοῦ μέτρου τῶν πατέρων ὑμᾶς μηδαμῶς ἐφι-

Κοισθε. ὥστε οὐ βλάβην ἀλλ᾽ ὠφέλειαν μᾶλλον ἐκ τοῦ ὁμιλεῖν. τοιούτοις ἀκολουθεῖ. τοῦτο εἰπών, ἀθικτὴν σιωπὴν αὐτοῖς παραγγέλλει. καὶ τοῦ μηδὲ ὅλως πρὸς γνωρισμὸν παραφθέγξασθαι. αὐτοῖς τοῖς πράγμασι τὴν φανέρωσιν ἐπιτρέπων. ἐπεὶ δὲ καὶ ἀπελθόντες πρὸς τὸ φαγεῖν κατεκλίθησαν, ἠρώτων οἱ τῶν παίδων πατέρες. πῶς περιλέγοντες τὰ τέκνα ἡμῶν ἔχει. ὁ δὲ καλῶς ἔφη. ἀγωνίζονται γὰρ αὐτοὶ σώζειν τὴν ἑαυτῶν ψυχήν. κἀκεῖνοι. ἀχθόμενοι τοῦ γέροντος λόγον εἰς πέρας

525

ἐλθεῖν ἠξίωσαν· εἶτα προσελθὼν ὁ θεσπέσιος Ξενοφῶν· ὡς καλοί σου, ἔφη, πάτερ, οἱ μαθηταί·
καὶ ἐθῶν κατὰ γνῶσιν διακείμενοι· καί μου κατ' ἄκρας χαίρει ἐπ' αὐτοῖς ἡ ψυχή· καὶ τὸν ὀφθαλ-
μὸν ἥδομαι προσβάλλων αὐτοῖς. Ἄξιοι τοιγαροῦν θειότατε πάτερ· καὶ τοῖς υἱοῖς ἡμῶν ἀνα-
Ποβῆμαι τοιούτοις· καὶ οὕτω μὲν ὁ θαυμάσιος Ξενοφῶν· ἐν ἀγνοίᾳ τὰ ἑαυτοῦ ἐπαινῶν·
καὶ ὁ πατὴρ ἤδη ἐν χερσὶν εἶχε, δι' ἀγνοίας ἐξέτασιν ποιούμενος ἦν· ὁ μέντοι πολιὸς τὴν σύ-
νεσιν γέρων· εἰπέ μοι, ἔφη, τέκνον, πρὸς τὸν Ἀρκάδιον ἀπιδών· ποίας μὲν πόλεως εἶ·
ποίων δὲ γονέων· ποίας δὲ τῆς ἀνατροφῆς ἔτυχες· πρὸς ταῦτα ὁ θεῖος Ἀρκάδιος·
ἐγώ, ἔφη, πάτερ, τοῦ Βυζαντίου μὲν ὁρμῶμαι· υἱὸς δὲ εὐγενῶν γονέων· ὡς τὸ ὅσον
θεὸς βούλεται καὶ περιφανῶν· ὄνομα τῷ μὲν πατρὶ Ξενοφῶν· τῇ μητρὶ δέ, Μαρία· ὡ-
ραίαν μετὰ τοῦ σώματος ἔχουσα καὶ τὴν ψυχήν· ἦν δέ μοι καὶ ἀδελφὸς ὄνομα Ἰω-
άννης· εἶπε τὰ καθεξῆς λέγων τὰ τῆς παιδείας· τὰ τοῦ πλοῦ· καὶ τὰ τοῦ κινδύνου·
καὶ οἵας ὑπὸ θεοῦ τετύχηκε σωτηρίας· οὕτω δὲ διεξιόντος, οἱ γονεῖς ἐπιγνόντες αὐτούς·
καὶ τὸ αἷμα καὶ τὴν ὁρμήν· καὶ τὴν τῆς καρδίας μὴ ἐνεγκόντες πύρωσιν, ἐνθου-
σιῶσιν ὁμοίως ἀθρόως ἀνέστησαν· καὶ περιλαβόντες τοὺς παῖδας· καὶ τοῖς αὐτῶν πε-
ριφῦντες τραχήλοις· τοῦτο μὲν φιλήματι· τοῦτο δὲ δάκρυσι τὴν ἄμετρον ἐκείνην
τῆς ψυχῆς ἔκστασιν παρεκάλουν· οὗτοί εἰσι, πάτερ, λέγοντες οἱ ἡμῶν παῖδες· οὗτοί εἰ-
~~σι πάτερ λέγον~~ ἀληθῶς οἱ φίλτατοι· οἱ πολλὴν ἡμῖν τὴν περὶ αὐτῶν ζήτησιν παρα-
σχόντες, οὗτοι· τί τὸ μετὰ ταῦτα· κοινὴ ἡ δόξα πρὸς θεὸν καὶ εὐχαριστία· εἶτα θερμο-
τάτη τῶν γεννητόρων δέησις πρὸς τὸν ἱερὸν ἄνδρα ἐκεῖνον· ὥσπερ τῇ σφραγῖ-
δι καὶ αὐτοὺς σημανθῆναι τοῦ ἀγγελοπρεποῦς σχήματος· καὶ φανῆναι καὶ δευτέ-
ροις τῶν τέκνων, ἀγγέλων τοῦ ἴσου καλουμένου μιμηταῖς· καὶ μὴ παντάπασιν ἀμετόχους
ὅπερ ἂν ἄξιον· πείθεται τούτοις ἀξίοις ὁ γέρων· καὶ πῶς γὰρ οὔ· θεοφιλοῦς ὄντος
ἀτεχνῶς τοῦ πράγματος· καὶ τῇ αὐτῇ δεξιᾷ κἀκείνους κείρας ἅμα καὶ τελειώσας·
παραγγείλας ἀφίησι μηκέτι σώματι κοινῶς ἀλλήλους ἰδεῖν· ἕως τὸ κοινὸν τῆς γενέσε-
ως χρέος ἑκάτερος αὐτῶν ἀποδῴη· τοιαύτη χαριεστάτη καὶ θαυμαστὴ τῷ ὄντι οἰκονο-
μία περὶ τοὺς χρυσοῦς καὶ πατέρας καὶ παῖδας παρὰ τοῦ ἀγαθοῦ θεοῦ γέγονεν· ὥσπερ
ἐπ' αὐτοῖς λαβεῖν, ὁ διὰ Ἡσαΐου αὐτὸς φθέγγεται· ἐπιθήσω λέγων τὸ πνεῦμά μου
ἐπὶ τὸ σπέρμα σου· καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου· καὶ ἀνατελοῦσιν ὡς

ἀνὰ μέσον ὕδατος χόρτος· καὶ ὡσεὶ ἰτέα ἐπὶ παραρρέον ὕδωρ. καὶ ταῦτα δὲ Ἡσαΐου μὲν ἐστί· καὶ τῆς δι' αὐτοῦ φθεγγομένης τοῦ θεοῦ χάριτος· πολλὴν δὲ καὶ πρὸς αὐτοὺς λέγεσθαι τὴν οἰκειότητα φέροντα· οἷον τὸ ἐμός εἶ σύ· καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι· καὶ τὸ ἀκουστὴν ποιήσω τὴν ὡραίαν σου· καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε· οἱ μὲν οὖν παῖδες τὰ τελευταῖα τοὺς γεννήτορας ἀσπασάμενοι, τῷ πνευματικῷ ἀναγεννήσαντι μᾶλλον εἵποντο· καὶ σὺν ἐκείνῳ τὴν ἔρημον εἰσελθόντες, ἐκεῖ τὸ μακάριον ὑπέρχονται τέλος· χαρισμάτων καὶ πρὸ τοῦ τέλους θείων ἀξιωθέντες· προρρήσεών τε καὶ δωρεῶν ἰαμάτων τοῦ ἀγαθοῦ πατρός· ὁ δέ γε πατὴρ αὐτῶν πληρωτὴς ἅμα καὶ κῆρυξ τοῦ εὐαγγελίου δείκνυται· καὶ

Πέμψας καὶ τὰ ἑαυτοῦ πωλήσας ἅπαντα, καὶ πένησι διαδούς· καὶ οὕτως ἀντὶ τῶν τε σμικρῶν βασιλείαν οὐρανῶν ὅλην ἑαυτῷ ὠνησάμενος· ἐλευθερίας τε ἅμα παρ' αὐτοῦ τοὺς οἰκέτας ἀξιώσας· διὰ τῶν ἑαυτοῦ γνησίους αὐτοὺς ἐγγραφῆναι τοῦ ὁσίου πατρός· εἶτα καὶ τὴν σύνοικον αὐτῷ καὶ σύμβιον ἀληθῶς καὶ τὸ ἐμπρέπον ἔχουσαν· γυναιξὶ σεμναῖς καὶ παρθένοις ἐπὶ ταῦτα· οὕτω σὺν αὐτῇ θελήσας εἰς τὸν ἅπαντα χρόνον· τὴν μίαν κεφαλὴν πάντων Χριστὸν σῶμα φθῆναι· ἥπερ καὶ πολιτείαν μετελθοῦσα λίαν ὑψηλὴν καὶ ὀλίγοις βάσιμον, ἀρραβῶνας ἔσχεν ἐνταῦθα τῆς πρὸς θεὸν οἰκειώσεως· καὶ τῆς ἐκδεχομένης αὐτὴν ἐκεῖθεν μακαριότητος· δαιμονῶντας ἰασαμένη· καὶ πολλῶν ἀλγηδόνων νοσημάτων ἀλλ' ἐπικρατήσασα· ὁ δέ γε θεῖος τῷ ὄντι καὶ θαυμασιώτατος ἀνδρῶν Ξενοφῶν· τρύχινα ὑπενδύς· πολλήν τε περὶ τὴν δίαιταν ἀτέλειαν χρησάμενος καὶ κακοπαθείᾳ· καὶ οἷον ἐνδείξας τὸ προλαβοῦσαν εἰς πρᾶξαι πρὸς πολυτέλειαν· τὴν πανέρημόν τε καταλαβών, κἀκεῖ τὸν ὑπόλοιπον τοῦ βίου χρόνον διενεγκών· προγνώσεών τε καὶ μυστηρίων καὶ μεγάλων χαρισμάτων ἀξιωθεὶς· τοιοῦτος τὴν

Τρίχα· μακρὸς τὴν σπουδὴν· πρὸς τὰς ἐκεῖθεν μονὰς παραπέμπεται· ἄνοσος ἀληθῶς τοῦ θεοῦ γενόμενος· καὶ οἶκον ὅλον καθιερώσας αὐτῷ· σπουδῇ τε πάσῃ θεραπεύσας πανοικεσίᾳ· κατ' ἀμφοτέρους τοὺς βίους μακάριος ἀποδειχθείς· τὸν κομψότατόν τε καὶ χαλεπώτατον· σπουδῆς ὑπόδειγμα γενόμενος πᾶσι τοῖς τὴν ἁλμυρὰν ἡμῖν τοῦ βίου πλέουσι θάλατταν· καὶ σώζεσθαι βουλομένοις· οὐ μόνον θαυμάζειν μόνον, ἀλλὰ καὶ μιμεῖσθαι σπουδάζομεν, μέτοχοι τῶν μενόντων αὐτὸν ἀγαθῶν ἐσόμεθα· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα· τιμή· κράτος· μεγαλοσύνη τε καὶ μεγαλοπρέπεια· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Ὑπόμνημα τύπον ἱστορίας κεφαλαιώδους ἐπεχόμενον ἐπὶ τὴν ἀνακομιδὴν τοῦ τιμίου λειψάνου τοῦ θείου καὶ ἱεροῦ Χρυσοστόμου:- Εὐλόγησον δέσποτα:-

Ἀλλὰ πῶς ἄν τις αἰτίας καὶ μώμων ἡμᾶς ἀπαλλάξοι· τὸ ἱερὸν οὕτως ἐν ὑπερορίᾳ
σῶμα τοῦ θείου Χρυσοστόμου καταλιπόντας· καὶ μηδὲ βραχέα περὶ τῆς φίλης καὶ
θαυμασίας ἀνακομιδῆς ἐκείνου διαλεχθέντας· ἴσως περὶ τότε γενομένης·
οὕτω καὶ νῦν διὰ τοῦ λόγου πρὸς μνήμην ἰούσης, ἀφοσιώσεις ἐμπλήσαιμεν τὰς
τῶν φιλοθέων ψυχάς· λεγέσθω τοίνυν καὶ τὰ περὶ αὐτῆς· καὶ εἰς μνήμην αὐτῆς ἐρχέ-
σθω· ὀλίγα τῶν ὑπερορίας πρότερον διεξελθόντων ἡμῶν· ἵνα καὶ καθεξῆς ὁ λό-
γος προΐοι· ἀρχὴν οὕτω κεφαλαιωδῶς περιλαμβανούσης τῆς διηγήσεως· ἦν ὅτε καλῶς
εἶχε τῶν λαῶν τὰ πράγματα· καὶ ταῖς ἐκκλησίαις ἐτηρεῖτο τὸ ἀστασίαστον καὶ θεσ-
μοῖς ἀλύτοις συνείχοντο· καὶ τὰ ἡμέτερα ἤνθει· καὶ τὸ τοῦ Χριστοῦ γεώργιον ἐπληθύνετο·
ὅτε δηλαδὴ καὶ ὁ μέγας οὗτος τῆς ὀρθοδοξίας καὶ φωστὴρ· ἡ σάλπιγξ τοῦ σωτηρίου κηρύγματος·
ἡ χρυσορρέουσα γλῶττα· χρυσοῦ δὲ μᾶλλον τιμιωτέρας ἐργαζομένη ψυχάς· ὁ Χρυ-
σόστομος Ἰωάννης φημί· τῷ τῆς ἐκκλησίας οἷά τις αἰσθητὸς ἥλιος ἐμπρέπων τῷ
ἱερῷ στερεώματι· καὶ γῆν μὲν ἅπασαν ταῖς τῶν ῥημάτων ἀκτῖσι περιαυγάζων·
σπέρματα δὲ ψυχῶν αὔξων καὶ τρέφων καλῶς τῷ πνεύματι γεωργούμενα· ἐπεὶ δὲ

Ταῦτα σφοδρῶς ἠνία τὸν πονηρόν· καὶ πράως οὐκ ἐπιφέρειν εἶχεν ὁ φθόνος,
ἐν τῶν βασιλείων αἱ συσκευαὶ κατὰ τοῦ ἁγίου· καὶ ἡ ἄδικος ἐκείνη φυγὴ καὶ ὑπε-
ρορία· καὶ ἡ κατὰ τῆς ἀληθείας ἐπίνοια· ἡ γὰρ τοῦ βασιλέως σύζυγος· βοηθὸς ἐ-
πὶ κακῷ τῷ ἀνδρὶ γενομένη· ἐδέξατο γὰρ καὶ αὐτὴ τοῦ φθονεροῦ ὄφεως ψι-
θυρισμὸν τοῖς ὠσί· πάθει περιπεσοῦσα φιλαργυρίας ἁλοῦσα· καὶ δούλη χρημάτων
φανεῖσα βασιλὶς γενομένη· καὶ διὰ τοῦτο μηδὲ μόνον ἀπεχομένη τῶν ἀλλοτρίων· ἀλλὰ
καὶ πολλαῖς χερσὶν αὐτοῖς ἐπιτιθεμένη· τοῦτο δὴ τὸ τῆς θείας γραφῆς· τὸν ἐλέγ-
χοντα ἐν πύλαις πρόσκομμα φανερῶς ἐτίθετο· ὡς ἀπόλοιτο ἐξ ἀνθρώπων ἡ τοῦ πλεί-
ονος ἔφεσις· ἡ παλαιὰ τοῦ κοινοῦ γένους, καὶ μηδέπω καὶ νῦν παυσαμένη ἀ-
πώλεια· ἡλίκη μὲν γὰρ αὕτη καὶ ὁποίας ὁ δεινὸς οὗτος, ὅσαι ὧραι παρήγγελτας

παραινέσεις· καὶ ὅσην εἶχε σπουδὴν ψυχὴν ἰάσασθαι κακῶς σφόδρα διακειμένην.
ἴσασι πάντες ὅσοι μὴ τῶν ἐκείνου τῆς γλώττης χαρίτων ἐσχάτως ἦσαν ἄγευστοι· ἀλλ' ἐ-
κείνη τὴν ψυχὴν ὑπὸ φιλοχρηματίας διαφθαρεῖσα· οὐχ ὅπως κωφὰ ἐγένετο· καὶ
οὐδὲ ἀγαθὰς παρεῖχε τὰς ἀντιδόσεις· ἀλλὰ καὶ πολλοῖς μᾶλλον τὸν ἄνδρα τοῖς ἐναν-
τίοις ἠμείβετο· ἐπισπασαμένη γάρ τινας τῶν ἐν τοῖς βασιλείοις εὐνούχων· καὶ μά-
λιστα τῶν περὶ τὴν γυναικωνῖτιν ἐλυσσωμένων· προμάχους εἴπερ ἄν-
τις· ἢ μᾶλλον ἀγρίας· ἢ κυνομυίας· ἀγεννῆ τινα καὶ μιαρὰ ἀνθρώπια· γαστέρα
καὶ ἡδονὰς θεραπεύειν μεμαθηκότα· καὶ πρὸς κακίαν ἐπιτηδείως ἔχοντα· ξυ-
ρὸν ὡς ἀκόνην τὸ τοῦ λόγου· ἔπειτα δὲ καὶ παρ' ἑαυτῆς προσπορίσασθαι πῦρ ἐπὶ
πῦρ· καὶ τινὰς μηχανὰς αὐτοῖς καὶ δόλους ὑποθεμένη· θερμὸν γὰρ καὶ ἴταμον
γυνὴ καὶ ἀνύσιμον· καὶ ταχὺ μάλα τοὺς τοῦ βασιλέως θυμοὺς κατὰ τοῦ ἁγίου διερε-
θίσασθαι· καὶ γὰρ ἦν πρὸς πάντα εὐένδοτος ὁ ἀνήρ· ἦ χρηστός· οὐχ ἥκιστα δὲ ταῖς
τῶν γαμετῶν γνώμαις τὰ πάντα ὡς λίαν καὶ ἀναξίως ὑπηρετῶν· ἔπειτα δὲ καὶ
τοὺς ἀρχιερεῖς ἐκείνους εἰς οἰκειωσαμένη· οἳ καθάπερ ἐν δράματι καὶ σκη-
νῇ τὰ τῆς ἱερωσύνης ὑποκρινόμενοι· ταῖς ἀληθείαις κακῶς αὐτὴν καὶ λίαν αἰσχρῶς
ἐκαπήλευον· μισθοῦ τὴν ἑαυτῶν γνώμην προτιθέντες τῶν βουλομένων· ἢ ἐμ-
πορείαις μᾶλλον ἢ ἀσεβείας ὑπόθεσιν αὐτὴν ποιούμενοι· οὐ μὴν ἀλλὰ καὶ ἡ ἴσως
ἡ ἀδίκαστος Ἰωάννου ψῆφος· ἀφίστησι τοῦ ἱερᾶσθαι διὰ τρόπου φαυλότητα·
πρὸς κοινωνίαν παραλαβοῦσα, ὑπερορίζει τῆς πόλεως· ἢ τῆς οἰκουμένης μᾶλ-
λον εἰπεῖν· ὥστε καὶ τοῦτο λέγειν εἰκός· ὅτι καὶ τὴν πόλιν αὐτῷ συμμεθίστησιν· οὕ-
τως ὑπὸ τῆς καλῆς ἐκείνου γλώττης καὶ τῶν πνευματικῶν ῥημάτων διαθελχθεῖσαν·
καὶ φίλτροις αὐτῷ τοιούτοις συνδεδεμένην· ὡς καὶ πανταχοῦ νοερῶς αὐτῷ
συνεῖναι· καὶ ὃ ἐκείνην ὁρᾶν οἴεσθαι καὶ φωνῆς ἀκούειν· ἧς οὐκ ἔχω τίνι
τῶν πάντων ὁμοιώσω τὴν ἡδονήν· πρῶτα μὲν οὖν ἐς Κουκουσὸν πέμπεται·
πολίχνιόν τι πραπρὸν οὐχ ἧττον ἐκ τοῦ ὀνόματος, ἢ τοῦ πράγματος· ἔπειτα
δὲ καὶ Ἀραβισσὸν ὁρᾷ· καὶ μετὰ ταῦτα Πιτυοῦς αὐτὸν ὑποδέχεται· ἐρημίαι,
δὲ ταῦτα τῶν ἡμετέρων ἐσχατιῶν ὑπὸ τῶν γειτονούντων Ἰσαύρων πολιορκού-
μεναι· οὐδενὸς τῶν ἐς ψυχαγωγίαν ἢ θεραπείαν σώματος ἀπορουσαι· τοὐναν-

τίον μὲν οὖν καὶ πᾶσι κακοῖς ἀθυμοῦμεναι· περιέσταται διαφερόντως καὶ ἀπο-
ρώταται· οὐ περιουσίαν χρημάτων μόνον, ἀλλὰ καὶ πίστεως· διὰ μὴ δέ ποτε πρὸς
ἔννοιαν τοῦ πεποιηκότος αὐτὰς ἀναγόμεναι· ἀλλ' ἄχρι τῶν κτισμάτων ἱστάμεναι
μόνον· καὶ τὰ ὁμόδουλα θεοὺς ἑαυταῖς ἥλιον φημὶ καὶ πῦρ ἀνοήτως ἐπιφημίζου-
σαι· ἃς ὁ μέγας οὕτω περικειμένας καταλαβών, ταχὺ τῷ τῆς γλώττης πλουτίζει χρυσῷ·
τῷ καθαρωτέρῳ καὶ ἀκιβδήλῳ καὶ ψυχῶν θέλγειν ὄμματα δυναμένῳ· καὶ δογμά-
των αὐτὰς παιδεύει τὰς ἀκρίβειαν· Τριάδος προσκύνησιν· μιᾶς ὁμολογίαν θεότητος·
τελειοῖ τῷ βαπτίσματι καὶ θεῷ προσάγει· ὁ δ' οὖν πάρεργον ὁ καλὸς οἰκέτης καὶ
πραγματείαν οὕτως ἀρίστην, τῆς δ' ἐκεῖ μονῆς ἀποδημίας· ὅσῳ πόλεως αὐτοὺς ἐκ-
πίσω ὢν συνεφέρετο πλέον ἀρετῆς ἡ κακία· πόλεις ὅλας ἐς τὴν ἄνω Ἱερουσαλὴμ εἰσῳκί-
σατο· ἔνθα οὐκ ἔτι φόβος οὐδεὶς οὐδὲ κίνδυνος· οὐδέ τις ἐξ ἐπηρείας καὶ δυνα-
στείας· ἢ φθόνου καὶ ἐπιβουλῆς ἀλλοτρίωσις· ἐπεὶ δὲ μετὰ πολλοὺς ἐκείνους ἱ-
τῇ ὑπὲρ τοῦ πλήθους· τῇ ταῖς ἰδίαις δρῶτας· τοὺς ἐν ἡμέρᾳ· τοὺς ἐν νυκτί· τοὺς ὑπὲρ τῶν ἐκκλησιῶν· τοὺς δημοσίᾳ·
τοὺς ἐν ταῖς πόλεσι· τοὺς ἐν ἐρημίαις· τοὺς ἐπὶ τῆς πατρίδος καὶ ὑπερορίας· καὶ
τὸ τοῦ δρόμου τέλος· καὶ τὴν ἀποστολικὴν τῆς πίστεως τήρησιν· ἤδη πρὸς τὸν
τῆς δικαιοσύνης ἔβλεπε στέφανον· καὶ τὰ ἐκεῖθεν κάλλη· καὶ τοὺς πλούτους τῶν
ἀντιδόσεων· καλεῖ μὲν αὐτὸν ὁ κοινὸς δεσπότης· καλεῖ δὲ διακόνοις τοῖς ἀγγέλοις
καὶ τῶν μαθητῶν οἰκειοτάτοις καὶ πρώτοις χρησάμενος Πέτρῳ καὶ Ἰωάννῃ·
οἱ παραστάντες αὐτῷ ἀθέατοις ἐπιστασίαις, ἐπιρρωννύουσι τὸν ἀριστέα· δι-
αμισῶσιν· ἀλείφουσι πρὸς τὰ σκάμματα· μικρὸν καὶ τὴν πρὸς τὰ ποθούμενα ἐν-
δημίαν· καὶ τὰ τῆς νίκης γέρα· καὶ τῶν μακρῶν καμάτων τὰς μεγάλας ἀμοιβὰς
ἐκείνας· καὶ τῆς μεγαλοδώρου δεξιᾶς οὕτως ἀξίας, εὐαγγελίζονται· εἶτα καὶ
τὴν καταστροφὴν αὐτῷ τοῦ καταράτου γυναίου παρεγγυῶνται· ὅ τι οὐδὲ διὰ
μακροῦ· διὰ πάνυ σκωλήκων οὖν νόσου γενήσεται· οὐ πολλῷ δὲ ὕστερον·
ὢ τῆς πολλῆς ἐκείνης ἧς ἤδη πλουτεῖν ἤρξατο πρὸς θεὸν παρρησίας, καὶ ὁ τὸ π
αὐτῷ τῆς καταθέσεως ὑποδείκνυται δὲ οὕτως· Βασίλειος καὶ Λουκιανὸς οἱ κα-
λοὶ ἐν μάρτυσι λάμποντες· διὰ νυκτερινῆς αὐτῷ θέας ἐπιφανέντες· τήν τε
πρὸς θεὸν ἀνάλυσιν· καὶ τὴν μεθ' ἑαυτῶν κατάθεσιν· τῷ καὶ τοιούτων θεατῇ

καὶ ὡς ζῶμεν προσφοροῦσι· τὴν μὲν τῷ πνεύματι· τὴν δὲ τῇ σαρκί· μονονουχὶ δει-
κνύντες ἔχοντες· ὅπη καὶ σκηνὴ μαρτύρων αὐτὸν ἐν οἴκοις ὑποδέξεται· μάρτυ-
ρα ἤδη γεγενημένον· ὡς πρόσω καὶ τάφος ὁ αὐτὸς τὸ σῶμα· τὴν ψυχὴν ἐκεῖ-
νοις ἀριστείαν ἠγωνισμένον· καὶ οὕτως ὕπνου δῶρον αὐτῷ τηλικαύτη γέγονεν
ἀγγελία· ταύτη τοι καὶ στέλλεται μὲν τὴν ἄνω πορείαν ὁ ἀριστεύς· ἢ μετακαλεῖται·
ἢ προσλαμβάνεται· οὐκ ἔτ' ἀμυδραῖς αὐγαῖς ἢ βραχείαις περιλαμπόμενος·
ὥσπερ ἐν σώματι· ἀλλ' ὑπὸ φωτὶ πλουσίῳ καὶ ἀγγέλων δορυφορίαις· τὸ δὲ σῶ-
μα τούτου τὸ καθαρὸν· ὃ καὶ πρὸ τῆς τελευτῆς τοῖς πόνοις μεμέκρωτο· αὐτοῖς
μέλεσι τοῖς ἐπὶ τῆς γῆς· ἡ τῶν μαρτύρων σορὸς ὑποδέχεται· θησαυρὸν ἀνε-
μώτον· πλοῦτον ἄσυλον· σῶμα νεκρὸν ζωῆς αἴτιον· χοῦν ἀφθαρσίας πρόξε-
νον· καὶ θαυμασάλιαν ἐν χῷ δυνάμενον· τὸν γὰρ οὕτω μὲν ἁγνῶς βεβιωκότα·
οὕτω δὲ λαμπροῖς κοσμηθέντα τοῖς κατορθώμασι· τοιαύτης δὲ κλήσεως καὶ
ἐμφανείας ἀξιωθέντα· οἵας ἐπιτυχεῖν ἐγένετο καὶ τῆς παρὰ τῷ θεῷ δόξης
καὶ παρρησίας, πολλὰ μὲν καὶ ἄλλα δηλοῖ· δηλώσει δὲ ὅμως καὶ τὸ ἀρτίως ῥηθησό-
μενον· ἀδελφιός τις ἐπίσκοπος· φίλος ὢν ἐν τοῖς μάλιστα τῷ ὁσίῳ· καὶ μέν-
τοι καὶ ἀπαγόμενον εἰς τὴν ὑπερορίαν φιλοφρόνως ξενίσας· καὶ τὸ τοῦ θεοῦ
δῶρον, οὐχ ὡς εἰς δῶρον· ἀλλὰ τοὐναντίον ἐπ' αὐτῷ πληρώσας καὶ συλλυπηθεὶς
αὐτῷ καὶ παρακαλέσας, ἔκαμνε μετὰ τὴν ἐκείνου πρὸς θεὸν ἐκδημίαν τῇ
τοῦ φίλου στερήσει καὶ ἀγνοίᾳ ὡς διέκειτο· καὶ ποῦ ποτε δόξης ἐστί· καὶ ὁποίας
ἔλαχε παρὰ θεῷ χάριτος καὶ τάξεως, γνῶναί τε ηὔχετο· καὶ λίαν ἐπιμελῶς ἐ-
ζήτει μαθεῖν· τοιοῦτον γὰρ φιλοῦσα ψυχή· διὰ τὰς διατριβὰς καὶ μονὰς καὶ
ε ἰώσεις ἐνδέχεται τοῦ ποθουμένου· οὕτω τοιγαροῦν ἀδελφιὸς ἔχων· καὶ θερμό-
τατα ταῖς περὶ τούτου προσκείμενος δεήσεσι καὶ λιταῖς, ἔδοξέ ποτε ὄναρ
τῶν ὁσίων ἐπιβῆναι· καὶ τινα λαβόμενον αὐτοῦ τῆς χειρὸς λαχήμονα
νεανίαν· ἐπί τινα χῶρον αὐτὸν ἀναγαγεῖν· καὶ ὁ χῶρος ἡλίῳ πολλῷ κατε-
λάμπετο· καὶ αὐτόχρημα φῶς ἦν· διέτριβον δὲ ἐκεῖσε· ὧν γλυκείας ἐκεί-
νης διατριβῆς, ὅσοι καὶ τηλικούτου φωτὸς ἦσαν ἄξιοι· ἐπεὶ δὲ πανταχόσε
περιβλεπόμενος· καὶ ὀφθαλμοῖς ὅλοις τοῦτον ἀναζητῶν οὐχ ἑώρα

τὸν Ἰωάννην ὃν ἐζήτει· διὸ ἐτρύχετο· καὶ οὗ καταγωγὴν ἠδυνάτει ἰδεῖν καὶ ὀνομάζειν ἐ-
γλίχετο· ἐπεὶ τὰ δὲ καὶ τοὔνομα βοῶν· φωνῆς οὐκ εἶχεν ἀκούειν· τῆς χρυσῆς
οὕτως· καὶ χρυσοῦ πλέον ἀφάναι παντὸς δυναμένης, λαμβάνει σύγχυσις τὸν
ἄνδρα καὶ ἀθυμία· καὶ καταπέμπει πάλιν ἀλύων ἐνδόμυχον· καὶ τὴν ἔνδον τῆς
ψυχῆς ὀδύνην· διὰ τῆς ἔξωθεν ὑποφαίνων τοῦ προσώπου συννότητος· οὕτω
δὲ ἰδὼν αὐτὸν κατηφῆ καὶ συγκεχυμένον· ἕτερος τις νεανίας· ὁμοίως ἔχων
τῷ προλαβόντι καὶ στολῆς καὶ λαμπρότητος, ἐπυνθάνετο τὴν αἰτίαν δι' ἣν οὕ-
τως ἔχοι· καὶ τίς ὁ τρόπος τῆς κατηφείας· ἀδελφὸν δὲ ἄχθος εἶναι καὶ τὴν ἀπό-
κρισιν· οἷα μηδὲ διάραι δυναμένου τὰ χείλη διὰ ἀθυμίαν· τοῦ νεανίου δὲ σφο-
δρότερον ἐγκειμένου· καὶ ἥτις ἡ αἰτία μαθεῖν ἀξιοῦντος· καὶ ἅμα οὐχ ὅσιον γ'
τῷ λυπουμένῳ ἀπειπεῖν λέγοντος· ἐκεῖνον ἐλεεινόν τι καὶ περιπαθὲς ἀνοι-
μώξαντα· ὅτι φάναι τὸν ἐμοὶ φίλτατον Ἰωάννην· τὸν Κωνσταντίνου πο- λς
φημὶ περὶ ἀρχήν· οὐχ ἑώρακα τούτοις συνδιαιτώμενον· καὶ τὸν εὐθέως ὑπολα-
βόντα· ἀλλ' οὐδ' ἔνι τοῦτον ἰδεῖν τινα τῶν ἐν σώματι· καὶ ὅπου ποτὲ ἐπὶ δόξης
ἐκεῖνος· καὶ ἧς μετέσχε παρὰ τῷ ἀνωτάτῳ καὶ πρώτῳ φωτὶ στάσεως ἐγγιζούσης
θεοῦ καὶ τάξεως· περὶ αὐτὸν τὸν θρόνον παρεστηκώς; ταύτην ἀδελφιός τουτέ-
ως ἐπὶ διαζομένου λαβὼν τὴν πληροφορίαν· καὶ τοσαύτης φροντίδος
τὴν ψυχὴν ἀπολύσας, τὸ λοιπὸν ἦν τῶν κοινῶν ἐκείνων θεαμάτων· χάριν
ὁμολογῶν τῷ θεῷ· ἀλλὰ τὰ ἐν τ[illegible] ὁποῖα· ἡ θεία δίκη τὰ ἑαυτῆς ἐπιδεί-
κνυται· καὶ μετέτισεν ἀξίως τοὺς ὑβρίσαντας· ὥστε τὴν μὲν τύραννον ἐκείνην καὶ
ἄδικον βασιλίδα, σκώληκας καταβρωθῆναι· κολάσεις ἰδεῖν τοῦ ἑαυτῆς σώ-
ματος· καὶ τούτοις τὰς σάρκας διαβρωθεῖσαν ἐλεεινῶς καταστρέψαι τὸν βίον
τὸν δὲ μέχρι τινὸς νόσῳ κατεργασθέντα· Θεόφιλος οὗτος ἦν· καὶ ἀλλόκοτον δὴ
συμφορᾷ χρησάμενον οὕτως ἐνθένδε ἀπαλλαγῆναι· ὡς ὄφελόν γε καὶ πρό-
τερον, ἢ ταῦτα κατὰ τῆς ὁσίας ὠδινῆσαι ψυχῆς· κατὰ πόδας δὲ καὶ ὁ βασι-
λεὺς ἐξ ἀνθρώπων ἁρπάζεται· οἴχεται· καὶ Θεοδόσιος ὁ τούτου παῖς τὴν πατρῴαν
ἀρχὴν διαδέχεται· καὶ ὁ μετὰ ξὺν χρόνος ἀρχιερέα Πρόκλον ψήφῳ προ-
βάλλεται κοινῇ· ὃς τοῦ μεγάλου τούτου διάκονός τε καὶ ὑπηρέτης· ὤν α'

καὶ γυμνὴν τῆς ἐς δύναμιν καταστάσας· εἶτα καὶ τοῦ θρόνου διάδοχος γίνεται· οὐχ ἑλόμενος
μᾶλλον, ἢ αἱρεθείς· ἢ χάριν πλείονα δοὺς, ἢ λαβὼν, τῆς ἐπ' αὐτῷ κρίσεως· τέταρτον ἔτει τῆς
Πρόκλου ἱεραρχίας· ἡνίκα καὶ τὰ τοῦ φθόνου νέφη καλῶς διεσκέδαστο· τὸ φιλόπονον
Τῆς ἐκκλησίας πλῆθος ὃν ἦν τῆς ἀληθινῆς Χριστοῦ ποίμνης Ἰωάννου· φορητὸν καὶ οὐκ ἐπιμονιμα-
τες τὴν ποίμνην ἐκείνην τοῦ ἀγαθοῦ ποιμένος ζημίαν· καὶ τὸ μετὰ τὴν παρέλασιν
τῶν ὑβριστῶν· τὸ ἱερὸν σῶμα τοῦ Ἰωάννου κατακεκρίσθαι ἔτι ἐπὶ τὴν ἐξορίαν· ἀλλ' ὁμονοεῖα
φρονεῖν ἐκείνοις ὑπολαβόντες· ἂν ἔτι πλεῖον ~~ἐκείνοις ὑπολαβόντες~~ ἀναλάβοιεν τὸ ἐρε-
μεῖν· καὶ ἴσην αὐτοῖς προσθεῖναι πλημμέλειαν· καὶ πρὸς ἄλλοις αἰσχύνην· τοῦτο ἐ-
κεῖνοι καλῶς καὶ ὡς θεῷ φίλον ὑπολαβόντες, πέμπουσι τῷ βασιλεῖ πρέσβυν τὸν
πατριάρχην· ὥστε λῦσαι τῷ κειμένῳ τὴν ἐξορίαν· ταυτὸν δὲ ἔπαθεν καὶ αὐτοῖς τὴν ὀρφα-
νίαν· καὶ τῇ ἐκκλησίᾳ πάσῃ καὶ τῷ λαῷ τὴν κατήφειαν· ἐπόθουν γὰρ καὶ νεκρὸν ἐκεῖ-
νον τὴν τιμὴν ἀπολαβεῖν· οὗ τὸν γλυκασμὸν εἶχον τῆς γλώττης ἐν ταῖς ψυχαῖς ἐπιστά-
ζοντα· καὶ ἦν τι καὶ πολὺ κλέος καὶ αὐτοῖς ἀντ' ἄλλης ἔσεσθαι τινος ἀσφαλείας ἐνόμι-
ζον· τί οὖν; δυσωπεῖται ὁ βασιλεὺς τὸ δίκαιον τῆς αἰτήσεως· καὶ ἅμα καὶ αὐτός τι παθὼν
οἴκοθεν· καὶ τὴν καρδίαν ἐπὶ τῷ πράγματι διαθερμανθείς· ἦν δὲ τοῦτο πάντως καὶ
τῆς αὐτοῦ μονῆς ἐπὶ τῷ κειμένῳ οἰκονομίας· καί τινας τῶν ὑπὸ χεῖρα γράμμασιν οἰ-
κείοις ἐφοδιάσας, πρὸς ἀνακομιδὴν ἐκπέμπει τοῦ ἱεροῦ τοῦ δὲ σώματος οἱ τὴν
Πόλιν καταλαβόντες· τοὺς μὲν ἐν αὐτῇ πάντας· πειθομένους ἔσχον τῷ βασιλικῷ δι-
ατάγματι· καί τοι σφοδρὰ γε τοῦ λειψάνου περιεχομένους· ἢ αὐτοὺς μᾶλλον ἐκ πόθου τῆς
περιουσίας ἔλαττον καὶ μὴ ἡγουμένους, ἢ τὴν περὶ τὰ τοιοῦτα στέρησιν ὑπομ[illegible]ου.
ἡ μέντοι τοῦ ἁγίου δύναμις· κρείττων παρὰ πολὺ τῆς τοῦ βασιλέως καὶ χειρὸς καὶ γνώμης
ἰσχυροτέρα ὡς πάρεστιν ἐδείκνυντο· καὶ γὰρ οὐχ ὥσπερ ἐν τῷ φεύγειν καὶ θρόνων ἐξω-
θεῖσθαι καὶ πόλεως· ἐπιεικὴς ἦν καὶ πειθήνιος· οὐκ ἐρίζων οὐδὲ κραυγάζων· οὐδὲ ἐν
ταῖς πλατείαις φωνὴν προϊέμενος· οὕτω καὶ πρὸς τὴν ἀνάκλησιν ταχὺς ἐφάνη·
καὶ πάντα ἑκὼν ὡς παρ' ἐξ ἐπιτάγματος· ἀλλ' οἱ μὲν εἷλκον οὐκ ὀλίγην χεῖρα συναγα-
γόντες· ἡ σορὸς δὲ ὅλως ἀκίνητος ἦν· καὶ χερσὶ τοσαύταις οὐδαμῶς ὑπήκουσεν· ἕπετ' ἀτι-
μῶντος τοῦ ἁγίου τὸν τόπον· ὅστις αὐτοῦ τὸ γλυκὺ τέλος εἶδε· καὶ τὸ μακάριον ἐ-
κεῖνο σῶμα τὴν ἀρχὴν ὑπεδέξατο· ἔτι τῶν τῆς πόλεως ἐμβαλόντων αὐτὸν τὴν

καινὰς περιφανῶς ἐλέγχοντος· ἔτι καὶ παιδεύοντος ἐνταῦθα ἀπονεμῆσαι καὶ κοιμη-
τηρίοις· ἀλλὰ μὴ σοβαροὺς ἢ ἀλαζόνας, μηδὲ οὕτως αὐτῷ προσφέρεσθαι μετὰ ἀνθεμῶν τι·
Ὃ δὴ καὶ βεβαιοῖ μᾶλλον τὰ ἐπαγόμενα· ἐπεὶ γὰρ ἡ σορὸς εἶχε παντάπασιν ἀκίνητ(ος)·
καὶ μεστὴ μὲν ἦν ἀθυμίας ἡ τὸ σῶμα τὸ θεῖον ἔχουσα πόλις· παράδοξον οἷον ὁρῶσα
καὶ ἀηδὲς θέαμα· ὅσα καὶ κόνιν ὀλίγην ὑπὸ τοσαύτης χειρὸς ἀγόμενα· καὶ ἀποστῆναι
ταύτης πειθόμενα οὐδαμῶς· ἠγνόουν τὸ δὲ λοιπὸν οἱ παρὰ τοῦ βασιλέως ἀπεσταλμένοι·
δι᾽ ἀπορίαν τοῦ γινομένου· καὶ τὸ μὴ ἔχειν ὃ δράσουσιν, ἀναφέρεται ταῦτα τῷ βασιλεῖ·
καὶ τῷ πατριάρχῃ· καὶ τοῖς ἐν τέλει· κοινὸν γὰρ ἦν ἁπάσης τῆς πόλεως κέρδος· κοινὴ καὶ ἑορτὴ
καὶ πανήγυρις· ἡ τοῦ ἱεροῦ τούτου σώματος ἐκεῖθεν ἀνάληψις· ὥσπερ καὶ ζημία
πάλιν ὑστέρησις· καὶ συμφορὰ κοινὴ καὶ κατήφεια· συνιδὼν οὖν αὐτίκα τὴν αἰ-
τίαν ὁ βασιλεύς· ὡς ἄρα τῆς ἀδίκου ὑπερορίας ἀπομνημονεύων αὐτοῖς ἀναβάλλε-
ται τὴν ἐπάνοδον· ποῦ γὰρ τοῦτο πρέπον ἁγίοις· ἢ παρὰ τὴν ἀγαθὴν ἐκείνην ψυχὴν
κρουν ἴχνος μνησικακίας· ἀλλ᾽ αὐτὸν παιδεύων πρὸς ἐπιείκειαν, δεῖ καὶ τὴν αὖθις
μεταβάλλει· καὶ γράμμασιν αὐτὸς ἐκεῖνος ὁ βασιλεὺς αὐτοχειρία διαχαράττει τὴν
τὴν δέησιν· ὧδέ πως ἔχουσαν· τῷ οἰκουμενικῷ διδασκάλῳ καὶ πατρὶ καὶ πατριάρχῃ Ἰωάννῃ
Τῷ δεσπότῃ καὶ χρυσοστόμῳ πατριάρχῃ· Θεοδόσιος βασιλεύς· μὴ κληρονόμοι ὡς τοῖς ἄλλοις τὸ
σῶμα τὸ σὸν εἶναι νομίσαντες περὶ τιμῆς· μεταποιήσασθαι μὲν αὐτὸ καὶ ὡς ἡμᾶς ἀγαγεῖν·
οἷα παῖδες φιλοπάτορες ἐποθοῦμεν· οὕτω τὴν προσήκουσαν δὲ πάντως τιμὴν· ὑ-
δι᾽ ὅσον ἔδει τὸ ὑποβεβηκὸς ἐν τούτῳ καὶ μέτριον ἦθος ἐγνώκαμεν· τύφου τὰ καὶ βα-
σιλικοῦ μόνου κατακολουθοῦντας ἐν τοῖς πολλῷ μεῖζον ἢ βασιλέα τιμᾶσθαι δίκαιον·
καὶ διὰ τοῦτο γοῦν καὶ τοῦ ποθουμένου δικαίως ἡμάρτομεν· ἀλλὰ σύ γε πάτερ πρῶν
ἀληθῶς τιμιώτατε· νῦν γὰρ ὡς ζῶντι σοι προσφθεγγόμεθα· πρὸς τὸν ἡμῶν πόθον·
καὶ πρὸς τὴν ἐγχείρησιν ἀποβλέψας· συγγνῶθι μεταμελομένοις· ὁ καὶ τὴν μετά-
νοιαν εἴπερ καί τις ἄλλος καὶ διδάξας ἡμᾶς καὶ κρατύνας· καὶ παιδικὴν καὶ ὑμῶν
τοῦτο κρίνας ποθοῦσι ψυχῇ· καὶ τοῦ σφάλματος ἐπαισθομένην· τὴν μέχρι τοῦ νῦν
τῆς ἐπανόδου τῆς σῆς ἀνάνευσιν, ἐπίδος σεαυτὸν ὁ γλυκὺς ἐπίδος· μὴ γὰρ τῷ πλεί-
ονι βραδυτῆτι καὶ ἡμᾶς ἐπιμαστίξαι· οὔτε τῶν σπλάγχνων τῶν σῶν· οὔτε τῶν
φίλτρων τῶν ἡμετέρων ἄξιον· οἷς γε ἤδη σκιὰν συγγνώμης· μή τι γε σῶμα γνώριμε
τῷ ποθουμένῳ δέχεσθαι·

Ταῦτα γράψας καὶ ὑπαναγνοὺς παντὶ τῷ λαῷ· ἐγχειρίζει τοῖς διακομίσουσιν αὐτὰ μὴ μη-
σιν ἐπισκήψας, τὸ μνῆμα διανοίξασιν, ἀλαβῶς ἐπιθεῖναι τῷ στήθει τοῦ ἁγίου· τῇ πρὸ
αὐτοὺς παραμυθήσει καὶ ψαλμῳδίαις οἰκείως αὐτὸν ἱλεωσαμένους. τούτου τοιγαροῦν
γενομένου· καὶ τῆς σοροῦ πάλιν ἀναλαμβανομένων αὐτῶν· ὢ πράγματος θαυμασίου· ὢ τα-
χείας ὄντως καὶ ἀπίστου μεταβολῆς, ὀξέως ἀνῄρετο καὶ κούφως ἐφέρετο· εἶπες ἂν αὐ-
τὴν βήμασιν οἰκείοις ἐμψύχων τινὶ χρῆσθαι πρὸς τὰ πλησίως· καὶ οὐχ ὑπό τινων
ἄγεσθαι οὐδαμῶς ἐοικέναι. λέγεται γάρ τι καὶ τοιοῦτον· ἵνα καὶ θαῦμα τῷ θαύματι
συναφθῇ· τὴν τοῦ κειμένου δύναμιν παριστῶν· ὡς ἄρα συνεπικουφίζων ἦν
ὁ ἅγιος ἑαυτὸν τοῖς ἀπάγουσι· καὶ τὸ τῆς σοροῦ ἄχθος συνδιαφέρων· ῥᾷον τὴν
μετακομιδὴν αὐτοῖς ἐργαζόμενος· τί δ᾽ ἄν τις τὸ συρρεῦσαν ἐκεῖ καταλέγοι πλῆ-
θος· τοὺς παρεπομένους· τοὺς παραπέμποντας· τὴν τῶν λαμπάδων πληθὺν
καθάπερ τῷ χορῷ τῶν ἀστέρων ἁμιλλωμένην· τὰς δορυφορίας· τοὺς κρότους·
τὰς ψαλμῳδίας· τῆς ὑπαντήσεως ἐκείνης καὶ τῆς τιμῆς τὴν λαμπρότητα·
ἐπεὶ δὲ τὴν μεταξὺ πᾶσαν ὁδὸν οὕτως ἀνύσαντες εἰς τὴν ἀντιπέρας τῆς μεγαλοπό- λς
λεως ταύτης προσέσχον ἤπειρον· περαιοῦται μὲν ὅ τε βασιλεὺς αὐτὸς εἰς ὑπάντησιν.
τιμᾶν οὕτω μᾶλλον οὐ ταπεινοῦν τὸ κατὰ μέτωπον τῆς ἁλουργίδος ἡγούμενος· καὶ
συγκλήτου πάντες ὅσοι τῶν ἄλλων διαφανέστατοι· περαιοῦται δὲ σὺν αὐτοῖς
Καὶ ὁ πατριάρχης· καὶ μετ᾽ ἐκείνου πάλιν ὅσον περὶ τὸ βῆμα καθιερωμένον θεῷ καὶ
σεβάσμιον· ἔπειτα γένος ἅπαν· καὶ ἡλικία πᾶσα· ἁγιασμὸν ὥσπερ ἢ μόνην καὶ
ψιλὴν τὴν θέαν δρεψόμενοι· καὶ παρῆν μὲν ἡ τοῦ βασιλέως τριήρης· ὡς τὴν τι-
μίαν σορὸν ἐκείνην ἐκδέξασθαι· καὶ πάντα ἦν τὰ πρὸς τὴν εἴσοδον εὐπρεπῆ.
θαυματουργεῖ δέ τι κἀνταῦθα ὁ θεός· πολλῷ τῶν προλαβόντων θαυμασιώτερον.
ἀθρόον μὲν γὰρ ἐμπίπτει καταιγὶς τῷ πελάγει· τῆς δὲ θαλάττης τραχυνομένης· ης
καὶ τοῦ κύματος ἄγριόν τι καὶ φοβερὸν τῇ χέρσῳ προσβάλλοντος· τὰ μὲν ἄλλα
τῶν πλοίων τῇ δὲ κἀκεῖσε διασπαρέντα καὶ ταῖς ἠόσι καὶ ἀκταῖς ἢ ὄχθαις προ-
σορμισθέντα· μόλις ποτὲ διαφυγεῖν τὸν κίνδυνον ἴσχυσεν· ἡ δὲ τὸν ἅγιον ἐκεῖ-
νον σῴζουσα ναῦς· ἢ μᾶλλον ὑπ᾽ αὐτοῦ σωζομένη· τοῦτο γὰρ ἀληθέστερον· ὡς
καὶ ἤδη δηλώσων ὁ λόγος ἔρχεται· τῶν κάλων ἀπορραγέντων· οἷα τινὶ χειρὶ ἀ-

θεάτων κυβερνωμένη, τῷ τῆς χήρας ἀγρῷ προσώκειλε· χήρας ἐκείνης, δι᾽ ἣν χήρα γ-
σα μᾶλλον ἡ ἐκκλησία ποιμένος ἀγαθοῦ· φημὶ ἐπὶ πολὺν τὸν χρόνον διέμεινε·
μάρτυς ἀπαράγραπτος· διαιτητὴς ἀκριβέστατος ἐλέγχων ἀδικίαν καὶ ματαιό-
Μάταιον· τοῦ μὲν τῇ χήρᾳ τὸν ἀγρὸν ἀπονέμων· ὃν ἡ τύραννος ἐκείνη βασιλὶς κα-
κῶς ἀδίκως καὶ βιαίως ἀφῄρητο· καὶ τρανότερον ἢ γλῶττα τὴν δὲ ἀστείαν αὐτῇ
μαρτυρῶν· τοῦτο δὲ οἶμαι καὶ θεοῦ καλῶς συμμαρτυροῦντος ἄνωθεν· καὶ τὴν αἰτί-
αν τῆς ὑπερορίας τοῦ ἀθλητοῦ διαφαίνοντος· δι᾽ ἣν ἄρα καὶ θρόνων καὶ πόλεως αὐ-
τῆς ἀπελήλατο· ὑπὸ τῶν αὐτὰ μᾶλλον ἢ ἐκεῖνον ἀδικῆσαι προελομένων· ἐπεὶ δὲ
δὲ οὕτω ταῦτα καὶ τῇ χήρᾳ ὁ ἀγρὸς ἀπεδόθη, τί περὶ μὲν ἀθέως τὸ πνεῦμα· καὶ
ἠρέμα τῆς θαλάσσης ἐπιφριττούσης· πανταχόθεν ἀθροισθέντα πάλιν τὰ πλοῖα
τὸ καλὸν ἐκεῖνο σῶμα μετακομίζουσα τριήμερον προέπεμπον· καὶ οὕτως ὁ
οἰκεῖος τῇ βασιλίδι ὁ κόσμος· τὸ περιφανὲς ἀγλάϊσμα· προσθήσω δὲ ὅτι καὶ ὁ
τῆς δόξης στέφανος ἀποδίδοται· καὶ πρῶτα μὲν ὁ τοῦ μεγάλου θωμᾶ ναός· τοῦ τῷ
χορῷ τῶν μαθητῶν διαλάμποντος· ὃν ἀμαντίου καλεῖν εἰώθαμεν· τοσούτου
ἀγαθοῦ ἀξιοῦται· καὶ τὴν νύκτα ἐκείνης, ὕμνοι· παννυχίδες· δάκρυα· τὸ
μὲν τὴν ἐπάνοδον ἑορταζούσης τῆς πόλεως· τὸ δὲ τὴν ἐκδημίαν ὀδυρομένης·
οὐ μὴν ἀλλὰ καὶ βασιλεὺς αὐτός· τήν τε ἁρμόζουσαν τιμὴν ἀποδιδοὺς τῷ ἁγίῳ· καὶ
τὴν ἱερὰν ἐκείνην σορὸν τὴν χλαμύδα περικαλύπτων· ἔπειτα δὲ καὶ δεόμενος
ὑπὲρ τῆς μητρός· ὥστε τὸ λοιπὸν αὐτῆς ἠρεμαῖον τὸν κλόνον τῆς λάρνακος· πέμ-
Πτον ἤδη καὶ τριακοστὸν ἔτος οὕτω χαλεπῶς κινουμένης, ὅσον δηλαδὴ καὶ αὐτὴ
χρόνον τὴν ἐκκλησίαν συνέσεισε· καὶ μέντοι καὶ οὐ χεῖρον μάτην τῆς ἀναστάσεως·
εἰς δὲ τὴν ἐπιοῦσαν ὁ τῆς μάρτυρος εἰρήνης ναὸς τὴν σορὸν ὑποδέχεται·
πάντων ἐκεῖ παρόντων ὕμνοις καὶ λαμπάσι καὶ θυμιάμασι· καὶ χαριστήρια μὲν
τὰ προπεμπτήρια· ταύτῃ τοι καὶ τίθησι μὲν τὸ ἅγιον ὁ θεῖος πατριάρχης ἐπὶ
τοῦ θρόνου· ἡ δὲ πόλις καὶ πρὸς αὐτὴν διαφθαρμὴν θεῖσα τὴν ὄψιν· καὶ προσμό-
νην τὴν φωνὴν τοῦ πράγματος· ἐκεῖνο μακρὰν ἀφεῖσα καὶ τῆς ἀληθείας· ἀπὸ
λαμβάνουσα τὸν θρόνον καὶ τὸν λαὸν καθάπερ ὑπομνᾷ τῇ γλώττῃ ἡ πάντες εἰβό-
ησαν· εἶτα βασιλικῷ πάλιν ἡ σορὸς ἐπιτεθεῖσα ὀχήματι· καὶ πρόκλου φημὶ

τοῦ θείου αὐτοῦ σώματος ἐποχουμένου, πρὸ τὸν προειρημένον φέρεται τῶν ἀποστόλων ναόν·
ἔνθα δὴ καὶ καταλαβόντων· ὁ μὲν ἅγιος εἰς τὴν ἱερὰν καθέδραν ἀνενεχθεὶς· τῷ θείῳ
τε καὶ ἐνταῦθα θρόνῳ ἐνιδρυνθείς· καὶ μυστικῶς τὰ μεμυκότα χείλη κινήσας· καὶ
εἰρήνην ἐπευξάμενος τῷ ποιμνίῳ· ὡς ὑπὸ τῶν ὁρᾶν τὰ τοιαῦτα ἠξιωμένων ἐλέγετο)
καὶ ἐπιστάσεται, τῇ σορῷ πάλιν ἐναποτίθεται· ἤδη δὲ τῆς ἱερᾶς μυσταγωγίας κατὰ
τὸ συνηθὲς τελεσθείσης· πρὸς τὴν τοῦ λειψάνου πάντες κατάθεσιν τρέπονται·
γίνεται δὲ ἐπὶ καὶ ἐνταῦθα τῶν προειρημένων ἀκόλουθον· καὶ πολύ τῆς ἀρε-
τῆς δεῖγμα· κατεῖχέ τινα ἄνδρα νόσος χαλεπωτάτη· καὶ ὁ χρόνος αὐτῷ τῆς ἀρ-
ρωστίας πολύς· καὶ ἡ νόσος, ἀρθρῖτις· καὶ τὸ πάθος ἀκινησία καὶ σώματος
ὅλου πάρεσις· ἐπεὶ οὖν καὶ χεῖρες ἰατρῶν ἀπεῖπον καὶ φαρμακευτικαὶ τέχναι·
καὶ πᾶσα τις ἀπέγνωστο θεραπεία· κλινήρης τῷ λειψάνῳ κομίζεται· καὶ ὁ μὲν ἅ-
πτεται τῆς σοροῦ ψαύει, καὶ τοῦ πάθους ἀθρόως ἀπολύεται· καὶ τοιαύτην παρὰ νεκροῦ
δέχεται χάριν· σῶμα τῷ μὴ κινεῖσθαι καὶ αὐτὸ ἐπίσης ἐξῆς, πῶς ἂν φρίκης χω-
ρὶς δ᾽ ἐξίοιμι· ἅπτονται μὲν γάρ σου τοῦ καθαροῦ καὶ ἀμώμου σώματος· ὦ θεία
καὶ ἱερὰ κεφαλή, χεῖρες ἀρχιερέων· χεῖρες ἐκεῖναι· ἃς καὶ πρῴην εἶχες
ἐπὶ τὰ πρὸς ὑπηρεσίαν διακονούσας· ἄδυτα δέ σου τοῦ ἱεροῦ θυσιαστηρίου
τὸν ἱερὸν ὄντως καὶ σῶμα καὶ ψυχήν, ὑποδέχονται· καὶ προστίθεται τοῖς ἱεράρχαι-
σιν ὁ ἱεράρχης· τοῖς μάρτυσιν ὁ μάρτυς· εἰ μὴ τὴν τελευτήν, ἀλλὰ τὴν προαί-
ρεσιν· προσθήσω δὲ ὅτι καὶ τοὺς κινδύνους· εἰ καὶ μόνου χωρὶς αἵματος· τοῖς τοῦ Χριστοῦ
προφήταις καὶ ἀποστόλοις· ἡ μεγάλη σάλπιγξ τῆς εὐσεβείας· ἡ μέχρι καὶ νῦν
ταῖς ἁπάντων ἀκοαῖς ἐνηχοῦσα· καὶ τὰ εὐσεβῆ δόγματα διαπρυσίως ἅμα καὶ
μουσικῶς ᾄδουσα· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ κρά-
τος· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου: εὐλόγησον πάτερ:

Ἐφραὶμ ὁ θαυμάσιος· ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς· ἑλόμενος δὲ τὴν ἀρετὴν
ἐκ νηπίου· φυλάττεσθαι μὲν ἀεὶ καὶ φεύγειν τὰς ἐπιβλαβεῖς τῶν ἡλικιωτῶν

ἔσπευδεν ὁμιλίας· ὧν μᾶλλον δὲ συνεχῶς μᾶλλον ταῖς ἱεραῖς τῶν γραφῶν βίβλοις καὶ

ἡ περὶ αὐτὰ σπουδή τε καὶ σχολὴ καὶ μελέτη πάσης ὑπῆρχε τῷ Ἐφραὶμ ἡδονῆς ἡδίων·

ὡς καὶ αὐτὸν συνῳδὰ τῷ προφήτῃ λέγειν· ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου,

ὑπὲρ μέλι τῷ στόματί μου· ἐντεῦθεν σύντροφος αὐτῷ καὶ ἡλικιῶτις ἀρετὴ πᾶσα· καὶ

– τοὺς πόνους συνθεὶς καὶ π… γὰρ πρὸς ἀκρίβειαν αὐτῷ κατωρθώθη· οὐ νηστεία; οὐκ ἀγρυπνία; οὐ χαμευνία;

οὐ χρηστότης; οὐκ ἐπιείκεια; οὐκ ἀκτημοσύνη; οὐκ ἐπὶ τοσούτῳ πλούτῳ τῶν

ἀγαθῶν καὶ ἡ ταπεινοφροσύνη; οὐ μὴν οὐδὲ τοῦ διδασκαλικοῦ χαρίσματος ἄμοι-

ρος ἦν· ἀλλ' ἔστιν ὅτε καὶ ἡμῖν διὰ τῶν ἑαυτοῦ λόγων ἡμῖν ὁμιλῶν· νουθετῶν·

Παρακαλῶν· ἀφ' ὧν οὐ μόνον τὸν τῆς εὐσεβείας τῆς πίστεως λόγον ὀρθοτομεῖν ἔχομεν· ἀλλὰ

καὶ πρὸς τὴν τῆς ἀρετῆς κτῆσιν διανιστάμεθα. Τῆς μέντοι πρὸς θεὸν ἐπιθυμίας καὶ τῆς πρὸς

τὸν πλησίον ἀγάπης τοσοῦτον ἐμέλησε τῷ Ἐφραίμ, ὡς αὐτὸν ἐκεῖνον ἐπὶ χρόνου

τοῦ βίου ἀπαίροντα· δεῖ γὰρ τοῖς αὐτοῦ χρήσασθαι λόγοις· οὐδαμῶς ἐν πάσῃ

τῇ ζωῇ μου ἐλοιδόρησα τινά· οὐ λόγος ἄφρων διὰ τῶν ἐμῶν προῆλθε χειλέων· ἐν πά-

σῃ τῇ ζωῇ μου κατηρασάμην οὐδένα· καθόλου τε οὐδενὶ τῶν πιστῶν διεμαχησάμην.

Ἦν δὲ καὶ τὸ δάκρυον ἀπαύστως αὐτῷ τῶν ὀφθαλμῶν ἀπορρέον· ὥσπερ τὰς ἀε-

ννάους πηγὰς τὸ ῥεῖθρον ἐπιλείπειν, ἢ ἐκείνου ὑπερίζον τὸ δάκρυον· συνεπεπήγ-

νυντο δὲ τοῖς δάκρυσι καὶ οἱ στεναγμοί· τὸ ἔνδον ὑποκαιόμενον τῆς κατανύξεως ἐμ-

φαίνοντες πῦρ· ὅπερ σαφέστερον ἔστι ταῖς τοῖς ἐκείνου συγγράμμασιν ἐντυ-

χεῖν· ὥριστο γὰρ αὐτὸν περὶ κρίσεως πανταχοῦ καὶ παρουσίας Χριστοῦ τῆς δευτέρας

φιλοσοφοῦντα· τό, τε φοβερὸν ἐκεῖνο βῆμα οἱονεὶ πρὸ τῶν ὀφθαλμῶν τιθέμενον·

καὶ τὴν ἡμέραν ἐκείνην ὑποτυποῦντα τῇ διανοίᾳ· ἑαυτόν τε κατάκριτον ἐσό-

μενον, καὶ λίαν ἐλεεινῶς ὀδυρόμενον· ταῖς τοιαύταις ὁ Ἐφραὶμ σχολάζων τοῦ νοῦ

φαντασίαις, ἐμακρύνε κατὰ τὸν ψαλμῳδὸν φυγαδεύων· καὶ θόρυβον παντὸς

βιωτικὸν καὶ κλύδωνα καὶ σάλον ἐκκλίνων· καὶ περὶ τὴν ἔρημον αὐλιζό-

μενος· ἐν τόπῳ ἐν δὲ τόποις ἀμείβων, τυχὸν οἰκοδομῆς χάριν καὶ ὠφελείας· ἅπερ καὶ

περιθέων κινούμενος, ἀπολιμπάνει ποτὲ τὴν ἐρημίαν καὶ τὸν θεῖον καὶ

οὗτος Ἀβραὰμ κελευσθείς· καὶ τὴν Ἐδεσσηνῶν πόλιν καταλαμβάνει· ἅμα δὲ τῇ

προσκυνῆσαι τῶν ἱερῶν λειψάνων τε καὶ τόπων ἐθελῶν· ἅμα δὲ καὶ κατ' ὄψιν τυχεῖν
ἀνδρὸς τῶν λογίων τινός· ὥστε γνώσεως καρπὸν ἐκεῖθεν λαβεῖν· ὃ καὶ πάλαι θεὸν αἰτῶν
τὰ οὕτως εἶπεν· Ἰησοῦ Χριστὲ δέσποτα καὶ κύριε πάντων· ἀξίωσόν με τὴν πόλιν εἰσι-
όντα, τοιούτῳ ἀνδρὶ εὐθὺς ἐντυχεῖν· ὃς ἱκανὸς ἔσται τὰ πρὸς οἰκοδομὴν ψυχῆς καὶ ὠφέ-
λειαν ἐμοὶ συλλαλῆσαι. οὕτως εὐξάμενος, ἐπεὶ πρὸς ταῖς τῆς πόλεως εἰσόδοις ἦν· καὶ προ-
σεκτικὸς καὶ μεμεριμνημένος· οἷα σκοπῶν ὅπως μὲν ἐκείνῳ τῷ ἀνδρὶ προσέλθοι·
τίνα δὲ πάθοι τὸ παρ' αὐτοῦ· καὶ ποίας ἀπολαύσοι τῆς ὠφελείας· οὕτω τοιγαροῦν ἐ-
κ συννοίας βαδίζοντι, γυνή τις εὐθὺς συναντᾷ· καὶ αὕτη πόρνη. θεοῦ δὲ τοῦτο πάν-
τως ἦν τοῦ διὰ τῶν ἐναντίων πολλάκις οἰκονομοῦντος τἀναντία· μυστικῶς τε
καὶ ἀπορρήτως. ὁ μὲν οὖν ἱερὸς Ἐφραὶμ οὕτω παρ' ἐλπίδα παλαίσας ἐντυχὼν τῇ ἑταί-
ρᾳ, ἵστατο πρὸς αὐτὴν ἐξεστηκός τι καὶ ἀτενὲς ἐνορῶν· ἀλύων τε καὶ πυνθανόμενος
καθ' ἑαυτὸν τὴν ψυχήν· ὅπως μὴ κατὰ χεῖρ· ἀλλὰ πάντα πᾶσιν ἀπεναντίας μᾶλ-
λον ἀπέβη τὰ αἰτηθέντα· ἡ δὲ οὕτως ὁρῶντα ἰδοῦσα· ὀξύτατον αὐτῷ πάλιν ἐπι-
βάλλει τὸν ὀφθαλμόν· ἐπεὶ δὲ οὕτω μέχρι πολλοῦ πρὸς ἀλλήλους ἑώρων· βουλη-
θεὶς αὐτὴν ἐντρέψαι καὶ εἰς αἰδῶ γυναιξὶ πρέπουσαν ἀγαγεῖν, ὁ μέγας, τί δὲ οὐ-
κ ἐρυθριᾷς γύναι φησὶν οὕτω τε ἀτενὲς τοῖς ὀφθαλμοῖς εἰς ἡμᾶς ὁρῶσα; κἀκείνη·
ἀλλ' ἐμὲ οὕτως ἔφη προσήκει καὶ ἔστι πρὸς σὲ βλέπειν· καὶ γὰρ ἐκ σοῦ καὶ τῆς σῆς εἴλημμαι
πλευρᾶς· σὲ δὲ οὐ πρὸς ἡμᾶς ἀλλὰ πρὸς τὴν γῆν μᾶλλον ὁρᾶν δεῖ· ἐξ ἧς πάλιν
εἰλήφθης αὐτός· τούτων ἔξω πάσης ἀκούσας ὁ Ἐφραὶμ προσδοκίας· τῇ τε γυ-
ναικὶ μεγάλας ὡμολόγει χάριτας ὠφελείας· καὶ θεῷ θερμῶς ἀνέπεμπε τὰς εὐ-
χαριστίας· τῷ διὰ τῶν παρ' ἐλπίδα πολλάκις καὶ αὐτῶν ἐλπίδων κρείττω μα
ποιεῖν παρὰ πολὺ δυναμένῳ· ὡς οὖν ἱκαναὶ διῆλθον ἡμέραι· ὁ Ἐφραὶμ

Τὸν ἔνδον ἡ πόλις ἐδέξατο εἶχε· πόρνη τις γυνὴ ἐγγὺς τοῦ ναοῦ αὐτῷ οἰκοῦσα, ὄργα-
νον καθάπερ τῷ πονηρῷ γίνεται· καὶ δι' αὐτῆς ὥσπερ διὰ τοῦ ὄφεως αὐτῇ πρότερον τῶν
δικαίων προσβάλλει· ἐπεὶ οὖν βρῶσιν τινα ἔτυχεν ἔχων ὁ θεῖος Ἐφραὶμ ἐκεῖ·
μὴ διανοίξασα τὴν θυρίδα ἥτις ἄρα καὶ ἦν ἐπὶ τῆς μεσαύλου· παρακύπτει τε
ἀναισχύντως· καὶ αὐτὸ τοῦτο ἑταιρικῶς· εἶτα καὶ ἀναιδῶς ἐμβλέψασα τῷ ὁσίῳ,
εὐλόγησον ἀββᾶ λέγει· ὁ δὲ μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματός τε καὶ φθέγματος

ὅπερ φησὶν ἀλογήσασα· αὐτὴ δὲ πάλιν μετὰ θερμοῦ τοῦ γέλωτος καὶ ἀσθένου· ἀλλ᾽ ἐ
πείπερ ἐλλείπει τῷ βρώματί σου· καὶ τρεῖς ἔφη λίθοι καὶ ὀλίγη πηλός· ὥστε τὴν θυ
ρίδα ταύτην ἀναφραχθῆναι· ἐκείνη μηδὲν ὑπενδοῦσα τῆς ἀναιδείας· ὅτι προλαβόν
τες ἔφη προσηγοράσαμεν τοῦτό σοι τὸν φόρον ἐνήκει· ἐγὼ συγκοιμηθῆναι βου
λομαί σοι φησί· οὐδὲ μετὰ τὴν πρώτην ἀθικὰ ἀπηγόρευκας; πρὸς ταῦτα ὡς ἤπερ ἐκ
νηρημάτων σατανικῶν· οὕτω πολλῷ μᾶλλον αὐτὸς ποιμὴν ὢν οὐκ ἠπόρησε λόγων·
καὶ οἵων αὐτόν τε ἔδει λέγειν κἀκείνην ἀκούειν· ἐβούλετο γὰρ ἔφη ἀμφοτέρους συγ
καθευδῆσαι, ἔνθα ἂν καὶ ἔπωσι, ἐκεῖσε δὴ καὶ κοινῇ συγκείσομεθα· ὡς δὲ ἐκεῖ
νη τὸν λόγον ἥρπασε· καὶ ἤρετο τοῦτο ποῦ ἆρα τοῦτο γενέσθαι δεῖ· οὐκ ἐν ἄλλῳ ἔφη τόπῳ·
ὅτι μὴ ἐν τῷ μέσῳ συνεχλόσομαί σοι τῆς πόλεως· καὶ αὐτή· ἀλλ᾽ οὐκ αἰδῶς ἔφη καὶ αἰ
σχύνη σαφὴς ἀπὸ τῶν ὁρώντων ἀνθρώπων, οὕτω γοῦν ἐν τῷ μέσῳ κειμένων ἡμῶν;
ἑάλω ἡ ἑλεῖν βουληθεῖσα γυνή· τὴν ἀπαθῆ ψυχὴν καὶ ἀνάλωτον· οὐδὲ τοῦτο
γνῶναι δυνηθεῖσα ὅ φησι Σολομῶν· ὅτι ὀφθαλμοὶ κυρίου μυριοπλασί
ως ἡλίου φωτεινότεροί εἰσιν· οἱ ἐπιβλέποντες πάσας ὁδοὺς ἀνθρώπων· αὐτίκα γοῦν οἷα λα
βὶς τοῦ ῥήματος ὁ γενναῖος δραξάμενος, ἀντεπῆγεν· εἰ τοὺς ἀνθρώπων ὀφθαλμοὺς
κρίμασι κοινῶς ἔχειν ἐντρέπεται ψυχήν, καὶ πονηρᾶς ἀφίστησι πράξεως· τοὺς τοῦ
θεοῦ πάντα βλέποντας ὀφθαλμοὺς ὅσα τε ἐν ἀδήλῳ καὶ ὅσα κατὰ τοὺς ἐμφανεῖς πρά
ττονται· οὐ πολλῷ μᾶλλον αἰδεσόμεθά τε καὶ ὑποπτήξομεν· καὶ πονηροῦ πράγματος
ἀφεξόμεθα· ὃ κατήγορον ἀεὶ σύνοικον τοσοῦτον δὴ ἡμῖν ἐπεγείρει· καὶ βασά
νοις ἐκεῖθεν πέρας ἐχούσαις οὐδαμῶς ταμιεύεται; ταῦτα ἡ κακῶς γεγονυῖα οὐ
χ᾽ ἁπλῶς ἔπεισε τὴν πόρνην ἀποσχέσθαι τῆς πρὸς αὐτὸν φαύλης ἐπιθυμίας·
ἀλλὰ καὶ ὑπὲρ τῶν προτέρων αὐτῇ μεταμεληθῆναι κακῶν· ὅλου τε τοῦ βίου με
ταβολὴν καὶ τῆς γνώμης ἐνθεῖναι· αὐτίκα γοῦν προσελθοῦσα καὶ [illegible] τε
σοῦσα· καὶ πόδων ἐκείνου τῶν ἱερῶν ἁψαμένη· συγγνώμην τε ᾔτει τὸ τῆς ἀ
λόγιστα τῆς ἐπιθυμίας καὶ ἀκολάστου ῥοπῆς· καὶ ὅπως ἂν γνησίαν ἐσχηκυ
σα τὴν μετάνοιαν τῆς πρὸς σωτηρίαν φερούσης μὴ διαμάρτοι· ὁδηγὸν αὐτὸν καὶ δι
δάσκαλον ἠξίου λαβεῖν· ὁ δὲ καὶ πῶς γὰρ οὐκ ἔμελλεν Ἐφραὶμ ὢν ἐκεῖνος· αἰ
τήμασι τοιούτοις ὑπηρετεῖν ἑτοίμως· καὶ παραινεῖ τὰ δέοντα· καὶ τοῦ μὴ πορν

θῶναι πάλιν τὸ τοῦ θείου φάναι Ἱερεμίου· ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας
αὐτῆς τῆς πονηρᾶς· μηδὲ καταφρονεῖσθαι τοῦ δ' ἀτέρως ἀσαι ὁδοὺς αὐτῆς, ἀσφαλέστατα
παραγγέλλει· εἰς μοναστήριόν τε γυναικῶν ἴσα γὰρ ἀρετῆς ἐπιμελουμένων· καὶ τὴν
Τὴν ἐκεῖνον ὑποσκελίσαι τῆς ἀληθείας ὁδοῦ βουληθεῖσαν· αὐτὸς ἀπὸ τῆς ὁδοῦ μᾶλλον τῆς
πονηρᾶς ἐπιστρέψας, καὶ παρ' ὀλίγον σχεδὸν καὶ μονασιώνης τὴν ἐκείνης ἐπιστροφήν· οὗτος ὁ θεῖ-
ος Ἐφραὶμ δύο πόρναις γυναιξὶν ἐντυχών· τὴν μὲν ὠφέλησεν· ἐκ δὲ τῆς, αὐτὸς ἀ-
πήλαυσεν ὠφεληθείς· ἢ τἀληθέστερον εἰπεῖν, ἐξ ἀμφοτέρων καὶ παρ' ἐλπίδα πάσαν
ἀμφότερα· ἅτε δὴ καὶ ῥοπῆς θείας συνδραμούσης ἐπ' ἀμφοτέροις· ἐκεῖθεν ἐπὶ
τὴν ἐν Καππαδοκίᾳ Καισάρειαν ὑπὸ τῆς ἀγούσης αὐτὸν ἄνωθεν ὁδηγηθεὶς χάριτος·
τὸν μέγαν εἶδε Βασίλειον· τὸ στόμα τῆς ἐκκλησίας· τὴν τῶν δογμάτων πηγήν· ὃν Ἐφραὶμ
ἰδών, πολλαῖς ἤρξατο γεραίρειν ταῖς εὐφημίαις· διορατικῷ γὰρ ὄμματι τῆς ψυχῆς·
ὁρᾷ πνευματικὴν περιστεράν· ἡλίου ἀκτῖσι τὸ εἶδος ἐκλάμπουσαν ὁμοίως ὀρνίθι· τῷ δεξιῷ τούτου ὤμῳ
λαμπρῶς ἐπικαθημένην· προσομιλοῦσαν τῷ βασιλείῳ· κἀκεῖνον πάλιν
τῷ λαῷ τὰ ὑπ' αὐτῆς ὥσπερ ὑπαγορευόμενα διηγούμενον· ὃς καὶ ὑπὸ τῆς σεπτῆς ἐκεί-
νης περιστερᾶς τὰ κατὰ τὸν Ἐφραὶμ μυηθεὶς ἔγνω τε αὐτὸν ὅστις εἴη· καὶ οὗ τοῦ χάριν
ἀφίκοιτο· διὸ καὶ μεταδιδοῦσιν ἀλλήλοις τῆς ὁμιλίας· καὶ τῶν παρ' ἀλλήλοις καλῶν
ἀπολαύουσιν· ἀλλ' ἐπανιτέον καὶ αὖθις ἐπὶ τὸν θεῖον Ἐφραίμ· καὶ μόνα καθαρῶς
Τὰ ἐκείνου διηγητέον· ὅπως τε λογισμὸν οὐδένα μὴ πρὸς ἐργασίαν ἀρετῆς αὐτῷ συν-
εισφέροντά τι προσίετο· καὶ ὅπως δαψιλῶς αὐτῷ πλατυνθὲν τὸ τῆς διδασκαλίας δέδο-
το τάλαντον· ὃ καὶ διαφερόντως ἐκεῖνος εἰς τὰς τῶν ψυχῶν αὐξάνειν τραπέζας
ἐσπούδαζε· καὶ τοῦτο αὐτὸς ἐπισημαίνεται λέγων· ὡς ἄρα παῖς ἔτι ὢν καὶ ἐν τοῖς ἐ-
φήβου ἄμπελον ἴδοι τινὰ βριθομένην πυκνοῖς τοῖς βότρυσι· τῆς ἑαυτοῦ γλώττης
ἀναδοθεῖσαν· ἐπὶ πολύ τε ὕψος ἀρθεῖσαν· καὶ τὰ νῶτα πάσης ἐπισχοῦσαν τῆς γῆς·
καὶ πᾶν μὲν πετεινὸν ἐφιζάνον ἦν αὐτῇ καὶ περιπετόμενον· καὶ τῶν βοτρύων σι-
τούμενον· ἡ δὲ ἄμπελος ὅσῳ μᾶλλον τοὺς βότρυας ὑπεκείρετο· καὶ τοὺς ὄρνιθας φι-
λοτίμως ἐδεξιοῦτο, τοσούτῳ πλέον ἔβρυε τὸν καρπόν· καὶ πολὺν αὐτὸν ἐκυοφό-
ρει καὶ ἄφθονον· καὶ τοῦτο μὲν αὐτός φησι περὶ ἑαυτοῦ· ἐκεῖνο δὲ τῷ Ἐφραὶμ καὶ ἄλλοι
προσμαρτυροῦσι τῶν βλέπειν τὰ τοιαῦτα ἠξιωμένων· θεάσασθαί ποτε λέγουσιν

Ἀγγέλων πλῆθος ἄνωθεν κατιόντας· καὶ τόμον τινὰ ἔσωθεν καὶ τὰ ἐκτὸς γεγραμ-
μένον διὰ χειρὸς ἔχοντας· ἐσκόπει δὲ ἡ φανεῖσα ὄψις ἐκείνη πρὸς ἑαυτήν· τίσι πο-
τε ἄρα τὸν τόμον ἐγχειρισθείη· καὶ τῶν μὲν τοῦτον, τῶν δὲ ἐκεῖνον· ἢ ἄλλον ἄλλων
προβαλλομένων· ὅσοι δηλαδὴ καὶ βίον εὐλαβῆ καὶ σώφρονα τηνικαῦτα μετιόντες
ἔζων· τέλος ἐπὶ τῷ Ἐφραὶμ ἁπάντων συμφωνησάντων, αὐτὸς καὶ τὸν τόμον ὑπὸ τῆς
ἱερᾶς πληθύος πιστεύεται· διυπνισθεὶς ὁ τὴν ὄψιν ἰδὼν περίφοβος τὴν ἐκκλησίαν
καταλαμβάνει· καὶ τὸν Ἐφραὶμ ὁρῶν ἐν αὐτῇ διδασκαλίαις ὀχετηγούσαις· καὶ αὐτοῦ μέλιτος
ἡδυτέραις τοὺς παρόντας ἐνεστιῶντα, ταύτῃ τὸ ὄναρ συμβάλλει· καὶ ὁ μὲν ἀξίαν ὁμολο-
γεῖ τῷ θεῷ τὴν χάριν· ἐξ ἐκείνου δὲ τῷ Ἐφραὶμ οὕτως ἐχεῖτο τὰ τοῦ λόγου ῥεῖθρα περιττῶς
καὶ συντόμως· καὶ τοσοῦτον αὐτὸν ἡ τῶν ἐνθυμημάτων συνέχεια ἐπικλύζουσα ἦν,
ὡς μηδὲ τὴν γλῶτταν ἱκανῶς ἔχειν ὑπηρετεῖν τῷ τάχει τῶν νοημάτων· καίτοι γε τοι
αὕτη κεχρημένη εὐροίᾳ περὶ τὸ λέγειν· καὶ οὕτως ἑτοιμότατα τὸν ὅρον θεμένη ἀπαγγέλλου-
σαν, ὡς μηδὲ ἐν ἐλαχίστοις λόγων αὐτὴν ἀπολείπεσθαι τῶν παρ' ἐκείνοις ἐνθυμημάτων.
ὥστε κἀκεῖνον λέγεταί ποτε φάναι πρὸς τὸν θεόν· ἄνες ὦ δέσποτα τῆς χάριτός σου τὰ κύ-
ματα· ὑπὸ γὰρ τὴν γλῶσσαν ἡ τῆς διδασκαλίας ἄβυσσος πελαγίζουσα, στέγειν αὐτὸν οὐκ εἴα
λοιπόν· τῶν πρὸς τὸ λέγειν ὀργάνων οὐχ ὑπουργούντων· ἐπέκοπτε δὲ τοὺς λόγους ἕτερον
μὲν οὐδέν· ἀλλὰ δὲ μόνη καὶ ταύτην. τὰ δάκρυα· αἵ τε νύκτες αὐτὸν γρηγοροῦντα πα-
ραλαμβάνουσαι· νήφοντα πάλιν τῷ τῆς ἡμέρας φωτὶ παρεδίδοσαν· οἷα τὸν τοῦ σκό-
τους ἄρχοντα ὑπειδόμενον· μὴ καὶ καταλάβοι αὐτὸν ὕπνῳ πεπεδημένον· καὶ διὰ τοῦ-
το πρὸς τὴν ἔφοδον ἐκείνου ἐγρηγορότα· ὕπνος γὰρ αὐτῷ καὶ λίαν βραχὺς ἐξήρκει·
παραγευόμενος μόνον, οὐχ ὡς κόρον αὐτῷ χρώμενος· καὶ τοσοῦτον, ὅσον αὐτοῦ δια-
κρατεῖν ἀναγκαίως καὶ συνέχειν τὸ σῶμα· τοῖς πολλοῖς ἱδρῶσι καὶ πόνοις κατατρυχό-
μενον· ἐπῄει γὰρ φάγειν αὐτοῦ τοῖς ὀφθαλμοῖς τὸν ὕπνον· πολλὰ μὲν καὶ ἄλλα· μάλι-
στα δὲ χαμευνία· σκληραγωγία· καὶ ἡ παντοδαπὴ τοῦ σώματος τῆξις ἐκά-
μη καὶ κάκωσις· ἀκτημοσύνης δὲ τοσοῦτος αὐτῷ συνελέχθη πλοῦτος, ὥστε καὶ
μάρτυρα ἐπ' αὐτῷ τὸ οἰκεῖον σῶμα παραλαβεῖν· καὶ τὰ πρὸς ταῖς ἐσχάταις ἀναπνο-
αῖς αὐτοῦ ῥήματα· ὧν οὐδὲν ἀξιοπιστότερον ἢ ἀληθέστερον· εἶχε δὲ οὕτως· οὐχ ὑπῆρ-
ξε τῷ Ἐφραὶμ ποτὲ βαλάντιον· οὐ ῥάβδος· οὐ πήρα· οὔτε μὲν ἀργύριον οὔτε χρυσίον·

ἀξιοῦ δέ τι παρ᾿ αὐτοῦ ἐπὶ τῆς γῆς κτησάμενον. Τοῦ γὰρ ἀγαθοῦ βασιλέως ἤκουσα
Ἐν τοῖς εὐαγγελίοις· τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάττοντος· μηδὲν ἐπὶ τῆς γῆς κτήσασθαι.
ὅθεν οὐδὲ ἐμπαθῶς ἔσχον τι τοιοῦτον· οὕτως ἐπάθετο πάντα τὰ ὧδε διασκάλων·
καὶ ζηλωτὴς οὕτως καὶ μιμητὴς τῶν πρώτων ἐκείνων μαθητῶν ἐδείκνυτο. Ταπει-
νοφροσύνην δὲ καὶ συντριβὴν καρδίας καὶ μετριότητα τίς οὕτω πολὺς ἂν καὶ θερ-
μὸς· καὶ ἀκμαῖος· ὡς ἀσπουδὸν μὲν ὥσπερ ἄρτον ἐσθίειν, τὸ πόμα δὲ κλαυθμῷ συγκιρ-
νᾶν· καὶ πρὸς μὲν ἐπαίνους λίαν ἀλαβῶς ἔχειν· καὶ τοὺς εὐφημοῦντας αὐτὸν οὐ
μόνον οὐχὶ προσίεσθαι· ἀλλὰ καὶ φανερῶς αὐτοῖς ἄχθεσθαι· ὥσπερ τοῖς κωμῳδοῦ-
σιν ἕτεροι καὶ λοιδορουμένοις· ἐρυθριᾶν τε καὶ εἰς γῆν βλέπειν· καὶ χρόαν μὲν ἄλλοτε
ἄλλην τῆς ὄψεως ἀμείβειν· ἱδρῶτι λεπτῷ ῥαίνεσθαι· καὶ παντελῶς ἄφωνον μένειν·
καθάπερ τῆς αἰσχύνης αὐτῷ τὴν φωνὴν ἐπεχούσης· καὶ τοῦτο δὲ τῆς πολλῆς
αὐτοῦ μετριοφροσύνης ἴδιον· ἤδη γὰρ μέλλων ἀπαίρειν· τοιαῦτα μετὰ σφοδρᾶς
ἐπιτιμήσεως ἐπισκήπτων ἦν· μὴ ᾄσητέ τε ᾆσμα ἐπ᾿ Ἐφραίμ· μὴ ἐγκωμιάση-
τε· μὴ πολυτελεῖ ἐνθάψητε ἱμάτια ποσῶς· μὴ ἴδια τῷ σώματί μου τάφον ἐργάση-
σθε· λόγον γὰρ ἔχω μετὰ θεοῦ αὐλισθῆναι μέσον τοῖς ξένοις· ξένος ἐγὼ καὶ παρεπί-
δημος καθὼς πάντες οἱ πατέρες μου· Φιλανθρωπίας δὲ καὶ πτωχοτροφίας· καὶ τοῦ πρὸς
τοὺς πένητας οἴκτου· τοσοῦτος αὐτῷ λόγος· καὶ οὕτω τῆς ἐκείνων μᾶλλον εἴχετο προ-
φασίας, ὡς ἐπεὶ πρὸ οἴκοθεν· οὐκ εἶχε μεταδιδόναι· πόθεν· ὅς γε καὶ αὐτὸς ἦν πόρρω
τῶν ἀναγκαίων· ὃ μόνον εἶχε· τοῦτο πρὸς τὴν αὐτῶν ἐκέχρητο σωτηρίαν· καὶ τῇ τῆς
Γλώττης σοφίᾳ καὶ τῇ συνέσει· πολλοῖς τῶν πλουσίων· καὶ χεῖρα· καὶ σπλάγχνα·
καὶ ταμιεῖα διανοίξας, ἀφθόνως δι᾿ αὐτῶν ἐχορήγει τοῖς δεομένοις· ἦν γὰρ οὐχ ὁ λό-
γος τοῦ ἀνδρὸς μόνον· οἷος ψυχὰς μαλάξαι καὶ καταθέλξαι καὶ κινῆσαι πρὸς ὃ δέον·
ἀλλὰ καὶ αὐτὴ ἡ ὄψις· καὶ τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον· πολλάκις δὲ καὶ αὐ-
τὸ τὸ βλέψαι ταῖς τῶν ἄλλων ψυχαῖς ἱκανὸν πρὸς κατάνυξιν· καὶ ταῦτα μὲν δὴ τοι-
αῦτα· καὶ οὕτως εἰς τὸ ἀκρότατον ἁπάσης ἀρετῆς ἀφιγμένα· τοῦ δὲ κατὰ θεὸν ζήλου
καὶ τῶν ὑπὲρ τῆς ὀρθοδοξίας ἱδρώτων, πολλὰ μὲν αὐτοῦ καὶ ἄλλα γνωρίσματα· ὃ δ᾿ ἐμοὶ
ὁ λόγος ἐπεὶ νῦν ὑποβάλλει· καὶ πρὸς ὃ φέρει λοιπὸν ἡ ἀκολουθία τοῦ διηγήματος, μέγιστον
ἁπάντων καὶ χαριέστατον· ἔστι δὲ οὕτως· Ἀπολινάριος ὁ πολλῶν μὲν εἰς τοῦτο τὰς

ἀδικίαν λαλήσας καὶ μελετήσας· πάντα δὲ καὶ ποιεῖν καὶ λέγειν ἐπιδιαστροφῇ
τῶν ὀρθῶν δογμάτων μεμαθηκώς· πολλὰ περὶ τὴν ἀληθῆ πίστιν καινοτομῶν
κατὰ τοὺς ἐγγαστριμύθους καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, ὥς που τῷ μεγάλῳ
Περὶ τούτων Ἡσαΐᾳ δοκεῖ· καὶ ἀπὸ θελήματος οἰκείου φθεγξάμενος· καὶ ταῦτα
δυσὶ βιβλίοις συντάξας· γυναικί τινι παρέθετο ἣ τῆς ἐκείνου γνώμης καὶ ταῖς ἡδο-
ναῖς δουλεύειν εἵλετο· τοῦτο οὖν μαθὼν ὁ Ἐφραίμ· καὶ θήραμα οἰκεῖον εἶναι
τὸ πρᾶγμα νομίσας, οὐχ ὅπλων ἀλλὰ τέχνης δεόμενον, καὶ σοφίας, πρόσωπον
ἑνὸς ἔρχεται τῶν τὰ ἐκείνου φρονούντων· ἐν τῇ τῶν βιβλίων φυλακῇ προσέδει· τοῦ-
το μὲν ἀπολογίας αὐτῇ δῆθεν ἀπὸ τῆς ἐρήμου κομίζων· τοῦτο δὲ καὶ οἰκείων ἑαυτὸν
ἀτέχνως πρὸς τὴν γυναῖκα· καὶ συνήθης αὐτῇ γενόμενος· καθάπερ κοινωνίαν
ἐχούσῃ πρὸς αὐτὸν καὶ τρόπων καὶ διδάσκαλον· ἐπεὶ δὲ καὶ ἡ σκηνὴ καλῶς εἶχεν
αὐτῷ καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως· καὶ πέπειστο ἤδη παντελῶς ἡ γυνὴ μαθητὴν
αὐτὸν εἶναι σαφῶς Ἀπολιναρίου· καὶ τοῦ περὶ ἐκεῖνον τῆς ἀσεβείας χοροῦ· δεῖ-
ται περὶ τῶν βίβλων τῆς γυναικός· ὥστε δοθῆναι αὐτῷ τὰ τοῦ διδασκάλου συ-
γγράμματα· ὅπως ἔχοι φησὶ τοῖς αἱρετικοῖς· οὕτως ἡμᾶς τοὺς τῆς ὀρθοδόξου μοί-
ρας ἀποκαλῶν, ἀπεχθῶς ἄγαν συμπλέκεσθαι· ἡ δὲ τῇ σοφῇ ταύτῃ καὶ πιθανῇ τέ-
χνῃ δελεασθεῖσα, ἐγχειρίζει τὰς βίβλους αὐτῷ· ταχεῖαν μόνην [illegible] γενέ-
σθαι πάλιν αὐτῷ τὴν ἀνάδοσιν· ὁ μέντοι μέγας Ἰακὼβ οὗτος· τὸν βέβηλον ταύ-
τῃ ἐπτέρνισεν Ἡσαῦ· καὶ τὰ πονηρὰ πρωτοτόκια τῆς ἐκείνου κακίας ἐγχειρισθείς·

Ἐπεξίεισι γενναίως τὸν ἀλιτήριον· καὶ τὸ τοῦ λόγου παλαιόν· Καλῶς τινὰ ἀγωνίζεται·
ὅρα γάρ μοι τοῦ σοφοῦ τὴν ἐπίνοιαν· καὶ ὅπως τηλικαύτης ψυχῆς σκαιότητα καὶ
ποικιλίαν κατασοφίζεται· τὸ μὲν οὖν πρὸς λόγους χωρῆσαι καὶ ἀντιθέσεις· ἐν
γλώτταις αὐτοῖς ἐπαφῆναι· λῦσαι πάντα καὶ ἀνατρέψαι λίαν εὐχερῶς δυναμένῳ ἦν,
οὐ πάνυ πρόχειρον ἦν αὐτῷ· ἀλλὰ καὶ χρόνου συχνοῦ δεόμενον ἐν πόνου· τοῦτο
δὲ τοῦ καιροῦ τὴν ἱκανότητα μὴ ἐπιτρέποντος· ἐπείγετο γὰρ ἡ γυνὴ σφοδρῶς ἀ-
παιτοῦσα τὰς βίβλους, ἑτέραν ἐπιτρέπεται τινὰ μηχανήν· πολλὴν συντα-
χεῖ καὶ τὸ δραστήριον ἔχουσαν· ἀναπτύξας γὰρ τὰ βιβλία· καὶ τῶν φύλλων ἕκα-
στον διελών· ἰχθύος τινὶ κόλλῃ τὸ πᾶν ἱκανῶς διαχρίσας· εἶτα θάτερον συμπτύ-
ξας·

καὶ μέχρι

καὶ μέχρι πολλοῦ τὴν χεῖρα ταύτας συσχών τε καὶ ἐπισφίγξας· ὥστε ἐν πάντα γενέσθαι τὰ πρὸς ἀλλήλας ἀσχιστα καὶ σύσσωμα φθα· καὶ μηδὲ τέφροντος τοὺς τινὰς διασπᾶσθαι δύνασθαι ἢ ὁπωσοῦν ἀπορρήγνυσθαι, τὴν γυναῖκα ἀποδίδωσιν· ἡ δὲ ἀπολαμβάνει ταύτας μηδὲν περιεργασαμένη μηδ' ἀναπτύξασα· πλὴν ὅτι περ οὕτως εἶχον τὰ ἔξω, τοῦτο μόνον ἐπ' αὐτοῖς ἀρκεσθεῖσα.

Χρόνου μὲν οὖν οὕτω τινὰ κατεῖχε τὰς βίβλους παρ' ἑαυτῇ· ἐπεὶ δὲ καλεῖται μὲν ὑπὸ τῶν ὀρθοδόξων ἀπολινάριος· τοῦ θείου δὲ τοῦ Ἐφραὶμ καὶ τῆς διὰ χειρῶν ἀμηχάνου ὀξύτατον ψυχῆς ἐκείνης ὑποβολή· ἤδη γὰρ ὁ κατὰ τῶν ἀνοσίων ἐκείνων καὶ μιαρῶν βιβλίων εἴργαστο· καλεῖται τοίνυν ἀπολινάριος ὡς τῷ γενναίῳ προστάτῃ τοῦ λόγου διαλεξόμενος· ὁ δὲ καὶ γῆρα ἤδη καὶ τοῖς ἐν τοῦ γήρως καμάτων κακοῖς, αὐτὸς μὲν ἀπηγόρευσε τὴν διάλεξιν· ἀθυμεῖ δὲ πρὸς τὰς οἰκείας ἔβλεψε βίβλους· καὶ ταύτας αὐτῷ κομισθῆναι προστάττει· αὗται γάρ μοι φησὶν ὅσα καὶ στόματα κομήσουσιν· ἀμέλει καὶ τῶν βιβλίων τινὰ ἐπὶ χεῖρα λαβών· ὁ μὲν ἀναπτύσσειν ἐσπούδαζεν αὐτὴν περὶ αὐτάς που τὰς ἀρχὰς τῆς συγγραφῆς μετὰ πολλοῦ τοῦ φρονήματος ἐπειρᾶτο· ὡς δ' οὐχ ὑπήκουεν ἐκ κινήτου παράπαν· οὐδὲ τῶν φύλλων τινὰ διεσπᾶτο· ὅλη δὲ αὐτῆς εἶχε τὸ μᾶλλον καθάπερ ἓν σῶμα γεγενημένη, περὶ τὰ μέσα ταύτης μετέβαινεν· ἐπεὶ δὲ κἀνταῦθα διημάρτανε τῶν ἐλπίδων· τὴν τοιαύτην βίβλον ἀφεὶς, μετελάμβανε τὴν ἑτέραν· ὡς δὲ κἀκείνην οἱ πόνοι εἶχε παραπλησίως, ἀδιαίρετός τε ἦν αὐτὴ ἑαυτῆς καὶ παντελῶς ἀδιάσπαστος· εἰς πολλὴν κατέστη ἀπορίαν· σκότους τε τὴν ψυχὴν πληρωθεὶς ὑπὸ τοῦ τῆς ἀθυμίας ἐκείνης καὶ τῆς αἰσχύνης ἰλίγγου· καὶ ὥσπερ εἴτω πάθει περι-

Τραπεὶς, ἀναπηδᾷ τοῦ συνεδρίου· καὶ τέχνην ἑαυτὸν ὅλως δυνατὸς οὐκ ὤν· ἢ τῆς, κακῶς ἀπόλλυται· καὶ τὸν τῶν οἰκείων πόνων καὶ βιβλίων ἀμείβεται θάνατον· τοιοῦτος ἦν καὶ τὸν ὑπὲρ Χριστοῦ ζῆλον Ἐφραίμ· καὶ οὕτως εἰς τὴν ἐκείνου ψυχὴν ἀρετὴ πᾶσα πεφύτευτο, ὥστε πηγὴν ἄν τις αὐτὴν εἰκότως καλέσοι· παντοδαποῖς νάμασι βρύουσαν· ἢ λειμῶνα ποικίλοις ἄνθεσι καὶ ῥόδοις κομῶντα· ἢ καὶ οὐρανὸν ἐπὶ γῆς ἄλλον· τῶν τῶν ἄστρων πλήθει πάντοθεν ποικιλλόμενον· εἰ βούλει δὲ καὶ παράδεισον· οἷον τὸν τῆς Ἐδὲμ ἀκούεις θαυμάζοντα· καὶ φαιδρὸν ἀεὶ καὶ μηδέποτε μαραινόμενον· ὅπου φυτοῖς ἐγκάρποις καὶ ἀκηράτοις ἀεί ποτε θάλλοντα· πλὴν ὅ φημι μόνον τὸ παράπαν ἄψαυστόν τε καὶ ἀνεπίβατον· τῷ πονηρῷ καὶ βασκάνῳ καὶ τῆς σωτηρίας ἐπι-

βούλῳ τῆς ἡμετέρας. ἐπεὶ δὲ ἤδη μοι πρὸς τέλος ὁρᾷ τὰ κατὰ τὸν Ἐφραὶμ διηγήματα, διὸ
καὶ τὰ περὶ τὴν ἐκείνου τελευτὴν διεξελθεῖν ἀναγκαῖον. καὶ ὃ μάλιστα τῆς ἐν
αὐτῷ χάριτος τὴν περιουσίαν ἱκανὸν παραστῆσαι. ἤδη μὲν γὰρ τὴν ἐσχάτην ἀπαίρειν
ἔμελλεν ἐκδημίαν. τὰ τελευταῖα δὲ τοῖς παροῦσι παρηγγύατο. μὴ πολυτελεῖ αὐτὸν
ἐσθῆτι ποσῶς θάψαι. καὶ καθάπερ προλαβὼν ὁ λόγος ἐδήλωσεν. εἰ δέ τις φησὶ φιλοπά
τωρ ὢν τοιαύτην ἡμῖν ἐσθῆτα προητοιμάσατο. τὴν ὁρισθεῖσαν ταύτην ἐκεῖνος εἰς
τροφὴν δότω τοῖς δεομένοις. καὶ τοιαῦτα μὲν ἐκεῖνος πρὸς τοὺς περιεστῶτας ἐπισκήπτων
ἦν. εἷς δέ τις αὐτῶν. καὶ οὗτος τῶν ἐπιφανεστέρων ἢ θερμοτέρων. ἐσθῆτα πολυτελῆ
καὶ φιλότιμον ἑτοιμάσας. καὶ περιβαλεῖν αὐτὴν τὸ ἐκείνου σῶμα μετὰ θάνατον διε
σκόπει. ἔπειτα τῆς ἐντολῆς ἀκούσας, ἢ λύπης μᾶλλον ὡς τὸ θέλημα καὶ τὴν πρόθεσιν
διασκεδασθείς. καὶ διὰ τοῦτο τὸ δοῦναι τὴν μνήσιν αὐτὴν ἀνεβάλετο. βέλτιον εἶναι
κρίνας χρυσίον μᾶλλον ἐκείνοις καταβαλεῖν ὅσον ἂν ἡ ἐσθὴς ἐτιμᾶτο. ἀγνοίαν
ὡς ἔοικεν ἀγνοήσας. ὅτι πολλῷ μᾶλλον οὕτως ἔφαινε τῷ Ἐφραὶμ χαριζόμενος. τὴν μὲν
ποδοῖς, ἢ θελήματι ἰδίῳ καὶ κρίσει φοιχῶν, ταύτῃ τοι καὶ παθὼν ἔγνω. καὶ τῆς
παρακοῆς αὖθις ἐπέσχε τὴν τιμωρίαν. πονηρῷ πληγεὶς δαίμονι. καὶ λογισμῶν
μονονουχὶ πράξεως, κόλασιν εἰς πραχθείς. ὅθεν καὶ τῇ τοῦ ἁγίου κλίνῃ μεταξὺ πάν
των ὁρώντων ἑαυτὸν προσαράττει. στρεβλῶν τὰς χεῖρας. διαστρέφων τοὺς ὀφθαλ
μούς, ἀφρὸν ἀποπτύων τοῦ στόματος. καὶ τἆλλα ὅσα λαμπρᾶς μανίας ἔργα ποιῶν.
Θειοτέρας λόγοις οἰκονομίας. τούτῳ παραδοθεὶς εἰς παιδείαν. ὡς παθὼν μᾶλλον περὶ
κῆς ἢ λόγοις τῆς ἐντολῆς. τίσιν ὅτα κεκρυμμένα διορῶν ἐκεῖνος καὶ τῷ πνεύματι τῷ θείῳ
φθεγγόμενος. συνῆκε τὸ πάθος ἁμαρτίας εἶναι καρπόν. καὶ τί σοι μὴ δὲ οὕτως
πέπρακταί φησιν ἄνθρωπε. ὅπως καὶ εἰς τηλικοῦτον ὤθησε κίνδυνον. ὁ δὲ τῆς μανί
ας ἀνενεγκών, ἐξαγορεύει τὴν ἀνομίαν. ἐκκαλύπτει τὴν παρακοήν. ἐλέγχει τὴν
τῶν λογισμῶν ἀθέτησιν. ὁ μὲν θεῖος Ἐφραὶμ τοῦ τε πάθους οἰκτείρας. καὶ ἀποδεξά
μενος τῆς ἐξαγορεύσεως, εὐχῇ μόνῃ καὶ χειρῶν ἐπιθέσει τοῦ δαίμονος ἀπαλλάττει.
πληροῦν αὐτῷ τὴν ὑπόσχεσιν κατὰ τὴν ἐντολὴν ἐπιτρέψας. οὗτος οὖν ὁ ἱερὸς Ἐ
φραὶμ ἐπὶ τέλει τοῦ βίου. καὶ τηλικοῦτο θαῦμα ταῖς ἄνω πράξεσιν ἐπισφραγί
σας. ἔπειτα δὲ καὶ παραινέσας τοῖς παροῦσι. καὶ συμβουλεύσας καὶ ὑποθείς. καὶ ἱκανῶς

Αὐτοὺς πρὸς ἀρετῆς ἐργασίας διαναστήσας, πρὸς τὰς ἐκεῖθεν σκηνὰς διαβιβάσῃ, καὶ τὴν ἐνδεχομένην τοῦ κυρίου λαμπρότητα· ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:~

Ἰωάννου τοῦ μακαρίτου Εὐχαΐτων· λόγος ἐγκωμιαστικὸς εἰς τοὺς ἁγίους πατέρας καὶ διδασκάλους· Ἰωάννην τὸν Χρυσόστομον· Βασίλειον τὸν μέγαν, καὶ Γρηγόριον τὸν θεολόγον:- εὐλόγησον δέσποτα:~

Πάλιν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς· καὶ πάλιν ἡμῖν ἐπιφανὴς ἑορτή· τρίτος μέντοι νῦν οὗτος, ἐξ οὗ τῶν μεγάλων λαμπρῶς ἐπανηγυρίσαμεν· ὡς δὲ δυσχεραίνοι τάχα μηδὲν πορρωτέρω τεταγμένος τῶν ὁμοτίμων· ἄγχιστά που κἀκείνοις αὐτῷ συνηγάγομεν· τίνας τούτους φημί; τοὺς τῆς οἰκουμένης λαμπτῆρας, τοὺς δύο· τοὺς πάνυ· τοὺς οὐδ' ἔχω πῶς ὀνομάσω· Βασίλειον καὶ Γρηγόριον· τὰ σεπτὰ καὶ ἀγγέλοις καὶ ἀνθρώποις ὀνόματα· τούτων γὰρ ἑκατέρῳ, τῷ μὲν ἑωρτάζομεν χθές· τῷ δὲ μικρὸν πρὸ τῆς χθές· αὖθις οὖν ἡμῖν ἐπανῆλθεν, ὁ καὶ φωνὴν καὶ πάντα χρυσοῦς· καὶ τὸ πρᾶγμα, χορεία τις ἤδη τις ἐδόκει· πρὸς ἑαυτὴν ἀρρύθμως ἑλιττομένη· καὶ θαυμαστόν τινα κύκλον ἀποτελοῦσα· ἐκεῖ καὶ ὡς λέγοντα, ὅθεν ἤδη καὶ ἤρξατο· πλὴν ὅσον, οὐδὲ πέρας ἡ σήμερον περιόδου κατάρχει· ὅτι μηδὲ ἔχει τοὺς συγχορευτὰς ἑξῆς ἑπομένους· ἀλλ' ἐνταῦθα δεικνῦναι τὸν πόθον τοῖς φιλεόρτοις· καὶ πάλιν ἀναμέμφεται ταύτην ἀρχὴν εἰς τὰ ἐπερχόμενα, ἣν πρὸ δὴ καταλεῖ ποιησαμένοι τελευτήν· ὁ γὰρ αὐτὸς ἀμφοῖν οὗτος· ἢ ὁ ἄγγελος μᾶλλον, τὸ δὴ καινότερον, τὴν παροῦσαν ἡμῖν κάλλιστα φαιδρύνει διὰ τῆς μνήμης· καὶ τῆς προσδοκωμένης ἐνταῦθεν ὑπόθεσις ἀπαρτίζεται· τί ποτε οὖν τοῦτο πέπονθας ἄνθρωπε τοῦ θεοῦ· ἐρωτήσω γάρ σε τολμήσας, ὡς πρὸς παρόντα· ὅτου δὴ καινοῦ κανών· ἢ τῆς ἰσότητος στάθμη· ὁ τῆς πλεονεξίας μέγας ἀντίπαλος; ὃς οὐ ταὐτὸν δύο χιτῶνας ἢ μέσον τὴν ἀρχὴν κτήσασθαι· πολὺ μὲν οὖν ἕνα καὶ ἕνα· ἢ ἡμᾶς τοῖς οὐκ ἔχουσι συμμερίζεσθαι παρέθες· πῶς οὖν ἐνταῦθα σὺ μόνον ἑτερορρεπής τε καὶ ἄνισος· διττὰς μὲν δι' ἑαυτῷ τὰς μεγίστας τελετὰς καὶ τιμάς· τοῖς δ' ὁμοτίμοις τούτοις, ἀνὰ μίαν ἑκατέρῳ τοσαύτην τηρεῖσθαι καταδεχόμενος· οὐ μὴν ὡς ἑκὼν εἰς τὸ ἑξῆς κατα-

δέξεται· ἐγὼ ὑπὲρ αὐτοῦ καὶ ἀπολογήσομαι· κἂν ἄδωρος συγχωρεῖ ~~τοῖς περὶ αὐτὸν θεοφιλεστέροις~~ τῶν
ἐξαίρετον πρὸ ταύτην ἀπονέμειν μοῖραν αὐτῷ· οὐδὲ γὰρ ἐξέσται πάντως· τὸ γοῦν ἐφ᾽ ἡμῖν, ἔστι καὶ
παρ᾽ ἡμῶν· πλέον αὐτὸς τιμώμενος καρπούμενος· μέσον ἐν τούτοις τῶν ἐκείνων· οἷς ὑπὲρ εὐσεβείας τὰ

Ἴσασι συνέπραξε καὶ συνέκαμεν· ἀλλὰ προτιμᾶσθαι κἀνταῦθα συνήθως, τὸ κοινὸν τοῦ ἰδίου·
καὶ οὐ ζητεῖ μόνον τὸ ἑαυτοῦ, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων· εἴτουν ἑταίρων καὶ συνάθλων αὐ-
τοῦ, μεθ᾽ ὧν δὴ μᾶλλον παραληφθήσεται· ἐγὼ τῆς τοῦ μεγάλου ψυχῆς τε καὶ γνώμης, ἐγγυητὴς ἀξι-
όχρεως ἐσόμενος, ἀλλὰ συλλάβεσθέ μοι καὶ ὑμεῖς τῆς σπουδῆς· οἱ τῶν τριῶν μαθηταί· καὶ
τὴν αὐτὴν θαρροῦντως ἐγγύην, ὑπὲρ τῶν δύο συνεγγυήσασθε· μία μὲν δόξα τοῖς τρισὶν
ἡ τριάς· εἷς δὲ σκοπὸς ἡ ἀρετή· εἷς δὲ ἀγὼν· κλονουμένην στηρίξαι καὶ κατασφαλίσα-
σθαι τὴν εὐσέβειαν· ἓν ἔργον ἀλλήλων· ψυχῶν σωτηρία· ἔργοις πᾶσι καὶ λόγοις καὶ τρόποις
σπουδαζομένη· ἐπίσης οἱ τρεῖς, ἐπὶ γῆς θεὸν ἐμεγάλυναν· ἐπίσης τὸν λόγον τῆς ἀληθείας
ἐκράτυναν· ἐπίσης τῷ λόγῳ, τὰς συνάξεις· τὰς ἐκκλησίας· τὰς τῶν μαρτύρων μνήμας
ἐκόσμησαν· εἴ πω τί δυσωπητικώτερον; ἐπίσης ἡμεῖς ὑπὸ τῶν τριῶν εὖ πεπόν-
θαμεν· ἐπίσης τοιγαροῦν καὶ τοὺς εὐεργέτας ἀντιτιμήσωμεν· οὗτος ὁ τοῦ λόγου σκοπός· τοῦ-
το τῆς προθυμίας ἡμῶν τὸ μυστήριον· αὕτη τῆς παρούσης διαλέξεως ἡ ὑπόθεσις· ἐπεὶ οὖν
οὕτω ταῦτα καὶ κατὰ γνώμην ὑμῖν ἅπαντα τοὐμέτερον· αἰσθάνομαι γὰρ συμπροθυ-
μουμένων ὑμῶν· καὶ τῇ συμβουλῇ τῇ δικαίᾳ συντιθεμένων, φέρε τὴν θαυμαστὴν
ἐκείνους χάριν τοῦ πνεύματος ἐπικαλεσάμενοι, πειραθῶμεν αὐτοὺς δεξιώσασθαι τοῖς κατ᾽ ἀλλήλοις
ξενίοις· καὶ οἷς μάλιστ᾽ ἂν ὡς οἰκείοις ἥσθησαν οἱ μεγαλόφρονες· τί δ᾽ ἂν γένοιτο λόγου

Τοῖς σοφοῖς οἰκειότερον· τί τοῖς λόγον πρεσβεύσασι καὶ δοξάσασι λόγους, τῆς ἐν τῷ λόγῳ
τιμῆς πρεπωδέστερον, ἢ προσφιλέστερον· λόγος οὖν ἔστω δῶρον τοῖς τιμιωτάτοις, περὶ
λόγον· οἱ μηδὲ μικρὸν κατὰ τοῦτο πλέον ἐχρῆν ἑαυτῶν παραχωρήσωσιν, ὅτι μὴ μόνον τῷ λόγῳ
καὶ ταῖς περὶ αὐτὸν λογικαῖς καὶ νοεραῖς φύσεσιν· ἀλλ᾽ ἡμῶν πρόθεσις τοιαύτη θαυμα-
σία γε μέντοι· ἡ δ᾽ ὑπόθεσις, οὕτω κατὰ τὸν ἅπαντα μεγάλη· καὶ παντάπασι κρείττων
ἢ καθ᾽ ἡμᾶς· ὅπου γὰρ ἀξίως οὐκ ἔνεστιν οὐδὲ τὸν ἔμαθον μάθειν· πῶς γὰρ· οὗ οὐκ ἦν
ἄξιος ὁ κόσμος, τηλικαύτη τις ἂν ἁρμόσειεν ἅμα τοῖς τρισὶν εὐφημία· παρὰ τῶν ἐν τῷ
κόσμῳ προσφερομένη, τοῖς ὑπερκοσμίοις καὶ τούτοις· ὥστε μὲν οὖν καὶ δ᾽ ὅπως κατὰ μη-
κρὸν οὖν ἐμεγκεῖν· συνίημι γὰρ κατ᾽ ἐμαυτοῦ σοφισάμενος· ὁ ποτε διὰ τῆς τῶν

τριῶν ~~τούτων τῶν ἱερῶν~~ φωστήρων γινώσκων, ἔλαθον σαφῶς ἐμαυτὸν παρασκευάσας τὸν ἀγῶνα βα-
ρύτερον. οὕτω τοίνυν ἐνταῦθα τοῦ σκοποῦ μοι τραπέντος, τίς ἤδη γένωμαι; ἢ ποῖ
ποτε τράπωμαι; ἡ μὲν γὰρ ἔφεσις, τὴν ἐπίδοσιν προτείνει· καὶ κατεπείγει πρὸς τὸ
χρῆμα· ὁ δὲ φόβος συστέλλει, καὶ ἀποτρέπει τὴν ἐπιχείρησιν. ἀλλ᾽ ὑμεῖς οἱ τοῦ
σκοποῦ κοινωνοί, βοηθήσατε κινδυνώδη ὁρμῶντι πόθῳ· καὶ παράσχετε θάρσος, ὀ-
κνοῦντι καὶ μετοκλάζοντι· παρέξετε δέ, φιλοπονώτερον ἀκροώμενοι· τά-
χα γὰρ ἂν πλείονα ἢ μὴν αὐτοῖς δόξαιμεν, εἰ προσεκτικώτερον ἔχοντας ὁρῷμεν ὑ-
μᾶς. μᾶλλον δέ, βαβαὶ τῆς ἐπινοίας· ὡς εἰς καιρὸν ὑπῆλθεν ἡμᾶς· οὕτως ἀνάγκης
οὐδὲν ποριμώτερον. εὗρον ὅπως ὡς ῥᾷστα τὸ παρὸν διαθήσω· καὶ σκοπεῖτε τὸν
τρόπον, εἰ μὴ καλῶς. τῷ μεγάλῳ βασιλείῳ, τὴν λαμπρὰν ἐπιστῆ γλῶσσαν καὶ
θεολόγον· μετὰ τῆς ὁσίου φωνῆς· καὶ τῶν πολυυμνήτων ἐκείνων· καὶ ὡς εἰπεῖν
ἀθανάτων· ἀθανατιζόντων δὲ μᾶλλον, ἐπιταφίων· οἷς σαφῶς ἔδειξεν, ὡς ἔστιν
ἔστι ποτὲ καὶ λόγον ἔργῳ παρισωθῆναι· καὶ οὐ πανταχοῦ τῶν πραγμάτων οἱ λό-
γοι κατόπιν· ὡς ἡ παροιμία, βαδίζουσιν. ἰωάννην δὲ καὶ γρηγόριον· εἰ βού-
λει δὲ καὶ βασίλειον αὖθις· ὡς μηδ᾽ ἐνταῦθα χωρίζοιντο, πρὸς ἑαυτοὺς ἐπιστρέ-
ψω· καὶ ταῖς ἰδίαις φωναῖς ταυτὸν δὲ εἰπεῖν ταῖς τοῦ πνεύματος, προσχεῖν δεηθή-
σομαι· αἷς αὐτοὶ σχεδὸν ἅπαντας τοὺς εὐηρεστηκότας θεῷ· μάλιστα δὲ τοὺς ~~[illegible]~~
~~[illegible]~~ ὑπὲρ αὐτοῦ γενναίως ἀνδρισαμένους, ἐτίμησαν. οὔτε γὰρ πλεί-
ους τούτων ἢ κρείττους, ἀρετῆς ἐπαίνους εὑρεῖν ἐστιν· οὔτε μᾶλλον ἀλλήλοις ἁρμό-
ζοντας, ἢ τούτοις αὐτούς· ὡς ἐκ πανταχόθεν ἅπαντας συνδραμόντας, καίτοι

Κοινὴν ποιησαμένους ὑπόθεσιν· οἱ μὲν οὖν ἑαυτοῖς τε καὶ ἀλλήλοις, τὸν ἔπαινον
συμπληρούντων· πάντως γὰρ οὐδὲν οἰκειότερον· εἰ τοῦ ὁμοίου ὁμοιότερον· ὃ δὴ
λέγεται· ἡμεῖς δὲ ὑπεκστῶμεν αὐτοῖς δηλονότι καὶ σιωπήσωμεν· οὐδὲ γὰρ
θέμις ἐκείνων λαλούντων, ἄλλον ὅ τι τολμᾶν τῶν ἁπάντων οὐδένα· ἢ καθά-
περ ἐν τελετῇ μυστηρίων, ἀκροᾶσθαι σιγῇ· μετὰ πολλοῦ τοῦ σεβάσματος.
ἀλλὰ τί ποτε δοκεῖ καὶ ὑμῖν· τοῦτο κελεύετε; σιωπὴν τὸ ἐντεῦθεν ἡμῖν ἐπι-
τρέπετε; ἢ παραινεῖτε· καὶ αὐτὸν ἐπενθουσιάσαι τῷ καιρῷ τι μικρόν.
καὶ τῇ μεγίστῃ τριάδι τῶν θεολόγων, προσλαλῆσαι τὰ εἰσόδια· τοιγαροῦν

ἐπεὶ συνδοκεῖ· ὁ τῆς νῦν ὑμῖν ἔξαρχος μελῳδίας Δαβίδ, προανακρουσάσθω
καὶ τῷ λόγῳ παρὰ τῶν ἑαυτοῦ, τὸ προοίμιον· ἑψόμεθα δὲ ἡμεῖς ὅποι ἂν ἄγῃ· συ-
μῳδοὶ καθόσον ἔξεστι τοῖς ἐκείνου φθόγγοις ὑποφωνοῦντες· ἰδοὺ δὴ τί καλὸν
ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό· ὁρᾷς πῶς τὸ τοῦ πνεύματος θέλημα;
Ἐπαινεῖ δοκεῖ τῇ τῶν ἁγίων ἑνώσει καὶ κοινωνίᾳ· ὁμοῦ τε γὰρ αὐτοὺς ὑποδέχεται,
καὶ τῆς εἰς τὸ αὐτὸ συνδρομῆς καὶ συνελάσεως ἀποδέχεται· ὡς δηλοῖ καὶ ὁ ἔπαι-
νος· οὐκ ἤδη μὲν τοσαύτῃ καὶ θαυμάζει, παρόντας φιλοφρονούμενος· οὐ μὴν ἀλλ' ἐκ-
δεχέσθω τὴν πρότασιν ἐνταῦθα ὁ λόγος· καὶ καθ' εἱρμὸν ἀκολούθως, περαινέσθω
συνυφαινόμενος· ἐνδέχεται τοίνυν οὐ κακῶς· καὶ τηρεῖ τὴν συμφωνίαν οὐ
κακοφυῶς· τίνα ταύτην καὶ πῶς; τούτους τοὺς συνοίκους ἀδελφοὺς καὶ συμψύχους·
ἀδελφοὶ γὰρ ὄντως ἐκεῖνοι· καὶ τὸ πλέον πρὸς τὰ κράτιστα· λόγον λέγω καὶ τρόπον·
καὶ τὴν τῶν ἐπιτηδευμάτων ὁμοίωσιν, δέδωκε μὲν ὁ θεὸς τοῖς ἔργοις· ἐχρῆν ποσῶς τὸ
μορφάναι καὶ ἀληθές· ὅθεν ἅπαν δώρημα τέλειον· ἄνωθέν ἐστι καταβαῖνον ἐκ τοῦ
τῶν φώτων πατρός· οὐ κατὰ τὸν αὐτὸν τοὺς τρεῖς ἅμα συνάψας καιρόν· ἀλλὰ τοὺς μὲν, συ-
ναφίζοντας ἀλλήλοις καὶ συνεκλάμποντας· τὸν δὲ φαιδρὸν οἷον ἐκείνοις ἐπανα-
τέλλοντα· ἵνα καὶ βραδύτερον δὲ ὢν αὐτός, ἀπολαύσῃ τοῦ βίου χρονιώτερον
γένοιτο τῆς θεσπεσίας αἴγλης ἐκείνης, καὶ διαρκέστερας ἀπόνασθαι τῆς ἐκεῖ-
θεν ὠφελείας καὶ ὄρι· ἀντέλαβε δὲ παρὰ τούτων αὖθις τὴν γῆν· δηλαδὴ τοὺς
κατοικοῦντας αὐτήν· οὓς ἐνταῦθα οὗτοι τηνικαῦτά τε προὔπεμψαν· κατὰ πλήθη
συνεχῆ καὶ συστήματα· καὶ νῦν δὲ οὐχ ἧττον ἔστι τι προπέμπουσι. ταῖς καλαῖς
τε καὶ σοφαῖς εἰσηγήσεσιν· ἐκεῖ τὸ πολίτευμα δεικνύντες ἡμῖν, ὅπου πρόδρομος
ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός· καὶ τὴν μέλλουσαν ἐν αὐτῷ κεκρυμμένην ζωήν, ζητεῖν πείθοντες·
ἀτιμάζειν δὲ πᾶν τὸ φαινόμενον, ὡς ἐν λεπτῷ διίκνουν καπνοῦ· καὶ ταχὺ διαρρέον
καὶ ἀτεχνῶς ἀπολλύμενον, ἕως πᾶσιν ὁρᾶται καὶ κρατεῖσθαι δοκεῖ, καὶ ἄμα μικρὰ
τὴν αἴσθησιν σαίνει· τῷ ἤδη παρακλέπτων τῆς πρὸς τὸ παρὸν ἀπολαύσεως·
πλὴν ἡ μὲν γένεσις, ἐκεῖθεν τούτοις σαφῶς καὶ οὐκ ἄλλοθεν· ἀναγωγὴ δὲ καὶ αὔξη-
σις, τὸ πνεῦμα τὸ ἅγιον· σοφία καὶ σύνεσις καὶ χάρις, ταῖς αὐτῶν κατακοσμήσαν
ψυχαῖς· καὶ τοιούτους αὐτοὺς ἀποτελέσαν καὶ ἀπαρτίσαν· οἵους ἔπρεπεν εἶναι

τοῖς ἐν ζόφῳ καὶ σκότει καθημένοις ἀπόροις· καὶ γὰρ ἐκ παίδων εἰώθει δοκεῖν ἐν τιμῇ· μᾶλλον δὲ
ἢ τοῖς ὁμοδόξοις καὶ ὁμοτίμοις· παραφημίζων, συγκεχυμένα ἄρτι τὰ εἶχε· ἢν μικροῦ ταυ
τὸν πάλιν ὑποστῆναι προσδοκωμένους, ὅπερ ἤδη καὶ πρότερον· ἡνίκα τὸν μὲν ὄντως
θεόν, οὐδεὶς ἠπίστατο· ὁ δὲ ἐκζητῶν ὡς ἔχρην· ἄνω δὲ καὶ κάτω τὸ πᾶν ἐδόκει τὸ ἧς
συνεστρέφετο· μάτην κατὰ τὸ γεγραμμένον, τῶν ἄλλων ταρασσομένων· καὶ ἄλλο τι
τῆς ἀληθείας, ἀγαπώντων ματαιότητα καὶ μανίαν διαδεῖ· τί γὰρ ἔργον, ἢ τῶν βεβηλ
εἰδώλων τιμὴ καὶ προσκύνησις· κακῶς μὲν γενομένη τοῖς ἀνοήτοις ἐλθοῦσα τὴν
ἀρχὴν ὡς μὴ ὤφελε· κακῶς δὲ παρεισφαρεῖσα τῷ βίῳ καὶ παραδεχθεῖσα· καὶ πρὸς τὸ
σοῦ τὸν κρατήσασα· ἐπὶ πολὺ θρασυνθεῖσα· καὶ τῆς ἐννοίας ἐλέγχω, τῶν ἀνασχομένων
τοιαῦτα σεβασθῆναι βδελύγματα· τί γὰρ ἔδει πλειόνων θεῶν, τοῖς οὐδὲ τὸν ἕνα φυ
λάξαι· τί δὲ τῶν κιβδήλων καὶ νόθων, τοῖς τὸν ἀληθινὸν καὶ γνήσιον ἀθετήσασι·
τοῦτο ἡμῖν, ὁ τὸ πρὸ ἀθέμενον ἄδικος διώκτης ἐκεῖνος· τὰ δὲ νῦν, μάλα δίκαιος
δραπέτης ἑλληνισμός· θεοὶ πολλοὶ καὶ ψευδώνυμοι, οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐ
ποίησαν, ἀπολέσθωσαν σὺν αὐτοῖς· μᾶλλον δὲ κακοὶ κακῶς ἤδη, πανδημεὶ φθαρέντες
ἀπόλοντο· ἀφ' οὗ περὶ ἡμῶν ὁ μόνος ἐπὶ πάντων θεός· ὁ ἀκατάληπτος, ὁ ἀόρατος·
διὰ σαρκώσεως γέγονε καὶ θεατὸς καὶ ληπτός· ἵνα γνωρισθῇ καὶ ταῖς ἀρχαῖς καὶ ταῖς
ἐξουσίαις, τὸ κἀκείναις ἀπ' αἰῶνος ἀποκεκρυμμένον μυστήριον· καὶ δείξῃ καταβὰς ἐ
πὶ γῆν, ἑαυτὸν τοῖς ἐπὶ γῆς ὁ θεός· κλίνει τοίνυν οὐρανοὺς καὶ κατέρχεται· καὶ γίνεται
παρθένου καθαρᾶς ἀπάτωρ υἱός, ὁ ἀμήτωρ τὸ πρὶν μονογενὴς τοῦ θεοῦ· καὶ λαβὼν
τὸ ἡμέτερον, ἀντιδίδωσι τὸ οἰκεῖον· ἐνανθρωπεῖ, καὶ θεοῖ· θνήσκει, καὶ ζωοποιεῖ·
θάπτεται, καὶ ἀνίστησι· πρὸς δὲ τούτοις καὶ διὰ τούτων, ἀπελαύνει τὴν ἀθεΐαν·
Ἀντισάγει τὴν θεοσέβειαν· ὅλον ἀναφέρει τὸν κόσμον εἰς οὐρανόν· καὶ τοῦτο πέρας ποιεῖ
ται τῆς πρὸς ἡμᾶς ἀρρήτου συγκαταβάσεως· τὴν ἐμὴν χαμόθεν ἀνύψωσιν καὶ
ἀνάβασιν, διὰ τῆς αὐτοῦ ἐπιγνώσεως· ἐπεὶ δὲ ἰδοὺ ἐν ταῖς ἐσχάταις ἡμέραις,
ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος· καὶ τὸ φῶς τοῦ κόσμου εἰς τὸν κόσμον ἀνέτειλε·
καὶ λάμψαν ἐν δυσθεσίαις τὴν σκοτίαν διέλυσεν· ἥτις ἦν ἡ περὶ τὰ εἴδωλα καὶ τοὺς
δαίμονας τῶν ἀνθρώπων μανία· παρὰ ταύτης γὰρ ἐπὶ πόσον διώκεται· τοῖς ἔσω τ
ἀδρανῶς ἐπισκιρτοῦσι ἐπιλειψάνοις, καὶ μετὰ τὴν διάλυσιν· ὅσον εἴ τι μος

δράκοντος, ἀνῃρημένου μὲν ἄρτι· κινουμένου δὲ ὅμως βραχύ τι, καὶ βραχύ τι [illegible]
τούτῳ ζητοῦντος ἄρτι πλῆξαι τὸν ἀναιρέτην· πρὶν εἰς τέλος ἀπνεύσοι, σύμπαντα τιθεὶς
κακοῦ βιαιότερον· ὅτε δὴ τοῦτο γέγονε, τηνικαῦτα φωτίζειν μὲν τὸ φῶς τὸ ἀληθι-
νόν, πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· εἰς κρίμα δὲ γίνεται τοῖς ἐν τῷ κόσμῳ
φανέν· ἵνα οἱ μὴ βλέποντες, βλέπωσι· καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. μᾶλ-
λον δὲ καὶ τῶν βλεψάντων ἐκείνων, ἀποτυφλωθῶσι πολλοί, διὰ τὴν ἑαυτῶν ἀπ-
είαν, ἢ μοχθηρίαν· ἄρτι μὲν ἀνενεχθέντες τῆς ἐν σκότει μακρᾶς τε καὶ χρονίου δια-
τριβῆς· ὅλῃ δὲ τῇ λαμπρᾷ μαρμαρυγῇ τοῦ φωτός, ἀτενῶς ἀθρόως προσβαλόντες·
Καὶ μή ποτε τὴν ἀθρόαν μεταβολήν, ὡς ἐπισφαλῆ, μήτε τὴν τῶν οἰκείων ὄψεων
φύσιν ὡς ἀσθενῆ, ὑπολογισάμενοι· ἐντεῦθεν αὐτοῖς τὸ περιπλανᾶσθαι τῇδε
κἀκεῖσε, καὶ τὸν τῆς θείας γραφῆς τοῖχον ψηλαφᾶν ὡς τυφλούς· κατὰ Ἱερεμίαν τε
φέρεσθαι· καὶ βαράθροις ἐμπίπτειν· ἀλλήλοις τε περιπίπτειν· καὶ ὑπ' ἀλλήλ-
ων ὠθεῖσθαι καὶ ἀνατρέπεσθαι· ἐντεῦθεν αὐτοῖς κατὰ τῆς ἀπροσίτου θεότητος, τὸ
μεῖζον καὶ ἧττον· καὶ πρῶτον καὶ ὕστερον· κτιστόν τε καὶ ἄκτιστον· ἄρχον τε καὶ ἀρ-
χόμενον· καὶ ὁ τῶν τοιούτων ἀλογοτάτων ἀτοπημάτων ἐσμός· ἐντεῦθεν ἡ τῶν
ἀσυγχύτων κακίστη συναλιφή· καὶ τῶν ἀδιαιρέτων καινὴ κατατομή· αἱ
πρῶται κορυφαὶ καὶ πηγαὶ τῶν αἱρέσεων· ὁμοίως ἀλλήλαις, καὶ τῇ ἀσεβείᾳ
μαχόμεναι· ἄλλη τις πλάνη μετὰ τὴν πλάνην, οὐχ ἧττον· καὶ δευτέρα φανεῖ-
σα, μετὰ τὴν πρώτην ἀσέβειαν· ἵν' ἡ τοῦ ψεύδους κατάλυσις, εἰς ψεύδους ἀρχὴν
περιστῇ· καὶ τὸ κακόν, κακὸν διαδέξηται· καὶ λάθωμεν ἡμᾶς αὐτούς· ἐκ τῆς ἐπη-
ρείας, τηνικαῦτα ἀπολέσαντες, ὅτε τὸ νῦν μόλις ᾐρόμεθα· οἱ δὲ γὰρ ταῦτα τε-
χνάζειν τε καὶ στρέφειν πολλάκις, ὁ σοφιστὴς τῆς κακίας· ὁ πικρὸς τοῦ γένους
ἡμῶν ἀπ' ἀρχῆς ἐχθρὸς καὶ πολέμιος· ὃς ἀπογυμνώσας αὐτὰ σχήματα, τοῖς γυ
Τοῖς ἐπιχειρεῖ· καὶ τῶν ἀριστερῶν ἐκκρουσθείς, προσβάλλει τοῖς δεξιοῖς· σφό-
δρα ποικίλος ὢν τὴν ἐπίνοιαν· καὶ πανοῦργος πρὸς τὴν ἐπίθεσιν· οἷον δή τι
πάντοθεν κακουργεῖ καὶ σοφίζεται· τὴν γὰρ ἑαυτοῦ τιμήν τε καὶ θεραπεί-
ας ἧς μετεῖχε τὸ πρότερον, ἀπελπίσας καθάπαξ· διὰ τὴν τοῦ καταλύσαν-
τος αὐτοῦ δύναμιν· ἑτέρως ἡμῖν ὁ ἀναιδὴς ἐπιτίθεται καὶ δι' ἀλλήλης προσ
βάλλει.

τὰς διαφορὰς ἐκ χρόνων περὶ τοῦ ἑνὸς ὑπολειφθεὶς ταύτας καὶ δόξας· κατασκεδάσας ἡ-
μῶν· καὶ τὴν μίαν καὶ ἁπλῆν φύσιν· πολυτρόπως πῇ καὶ ποικίλως κατασκεδασθ
φαντάζεσθαι· ὑπηγάγετο μικροῦ τὸ ἄτιμον αὖθις εἰς ἀθεΐαν· τὸ τοῦ δόγματος ἀνίσου
καὶ ἀνομοίου, σκανδαλίζων τοὺς πλείονας· καὶ πείθων καταγνῶναι ὡς κενῶς ἀσυστά-
του τῆς πίστεως· διὰ τὸ πρὸς αὐτὴν ὡς ἂν εἴποι τις, ἀσύμβατον καὶ ἀσύμφωνον.
πόσον ἐπὶ τούτοις ἡ τῆς ἀπορρήτου σοφίας οἰκονομία· καὶ ποταπὴν ἀρίς-
σιν βοήθειαν· οὕτω πάλιν οὐχ ἧττον ἢ πρότερον κινδυνευούσῃ τῇ ἀσεβείᾳ· τὰς με-
γάλας σάλπιγγας ταύτας τῆς ἀληθείας· ἢ τὰς ὁσίους βροντάς· ἵν᾽ οἰκειότερον εἴπω·
τοῖς κακοῖς ἐκείνοις τοῦ λόγου παράκταις καὶ ὑβρισταῖς τῆς θεότητος, ἐπαφίησι·
Διὸ μὲν ἐπάπαξ, ἡ ὑπὸ πόσον κατασείεται· καὶ καταβάλλεται μὲν αὖθις ὁ τῆς Χαλάνης
πύργος ἐκεῖνος μετὰ τῆς ἐναντίας θαυματουργίας· οὐ συγχύσει ὁμοίως γλωσσῶν,
ἀλλὰ συμφωνίαν ἀπεργαζόμενος· μᾶλλον δὲ τῶν ἀγνωμονεστέρων καὶ σύγχυσιν·
καθαιρεῖται δὲ τείχη πονηρὰ καὶ πολέμια· πρίσαν πιαθέντα σαθρῶς· ἃ σα-
θρῶς ὠκοδόμητο· ταπεινοῦται δὲ καλῶς ἅπαν ὕψωμα, κατὰ τῆς θεογνωσίας
κακῶς ἐπαιρόμενον· μετασκευάζεται δὲ καὶ μεταρρυθμίζεται τὸ πᾶν πρὸς
τὸ βέλτιον· καὶ τῷ ἀρίστῳ ὅτι ἦν καὶ τάξιν λαμβάνει ταῖς ἐκκλησίαις τὰ πρά-
γματα· τῶν σκολιῶν εἰς εὐθεῖαν μεταβληθέντων· καὶ τῶν τραχέων, εἰς λείας με-
τὰ ποιηθέντων ὁδούς· τί γὰρ ὁμαλώτερον ἢ εὐθύτερον τῆς τούτων θεολογίας· ἢ τοῖς
ὑψηλῆς θεωρίας ὄρεσι προβαίνουσα· τὸ μὲν ἀναπτῆς καὶ καταπτῆς· εἴπου τὰς προθέσεις
καὶ τὰς ὑφέσεις· ἐπεὶ δὲ τὰς κατατομὰς ἢ συγχύσεις· ἢ τὸ ἀντίστροφον ἴσον τῆς ἐκείνοις ἀ-
μισότητος, ἐπίσης ἐκκλίνει· μετὰ τῶν βλασφήμων ἐκείνων καὶ θεομάχων γλωσσῶν.
καὶ δι᾽ αὐτῶν ἀνιέμενα περὶ τὰ θηρία· στερρότατα τοῖς λόγοις λιθοβολοῦντα, ἀπωθεῖται
καὶ δι᾽ ὧν ἑκὰς μακρὰν ὡς ἀκάθαρτα· καὶ τοιαύτης ὁ πᾶσας ἀνάξια· αὐτὴ δὲ τὸ μέσον ἀπο-
Λαβοῦσα καὶ ὁμαλόν· ὡς δεῖ περὶ ἁπλῶς ἀσφαλές, ἐκεῖ τὴν κεφαλὴν ἀρίσκει· καὶ ταύτης
ἴσω χωρεῖ· καὶ θεὸν προσκαλεῖ· καὶ γνωστῶς αὐτὸν βλέπει, καὶ μυεῖται καθαρὰν τὴν ἀ-
λήθειαν· ἀποκαλύπτεται γὰρ αὐτῇ φανερῶς καὶ γνωρίζεται· θεὸς μὲν ἀγέννητος ὁ πατήρ·
θεὸς δὲ γεννητὸς ὁ υἱός· καὶ θεὸς ἐκπορευτός τὸ πνεῦμα τὸ ἅγιον· οἱ αὐτοὶ τρεῖς καὶ εἷς· τὸ πα

ξ51

δοξότατον· καὶ πᾶσι πλὴν τοῖς γνησίως λατρευταῖς τριῶν, ἀσαφὲς καὶ ἀπερινόητον.
τρεῖς μὲν χαρακτῆρες οὐχὶ θεοί· εἷς δὲ οὐχὶ πλὴν θεός. ὅτι μία θεότης· καὶ ἡ αὐτὴ τῶν τριῶν.
οὔτε τὰς ὑποστάσεις ἑνοῦσα τῷ ἑαυτῆς ἑνιαίῳ, οὔτε πάλιν ἐκείναις συμπληθυνομένη
διὰ τὸ πλῆθος· ἀλλ᾽ οἷον ἀκτῖνας ὁμοίας, ἀπορρήτως προβαλλομένη· ἐξ ἡλίου τε πρωΐ γ αι
ἑνός, καὶ τηροῦσα ἕνα τὸν ἥλιον· ἐπειδὴ τὸ ἀμφήκεστον καὶ οὕτως εἰκάσαι· τὸν πατέρα ἥλιος
εἰκασμὸν ἅμα τρέφαντα, οὐδὲν ἔχουσα διάφορον· πλὴν ἢ μόνον ἐκεῖσιν, τὴν ἰδιότητα· τα
οὐδὲν πλεῖστον ἢ ἔλλειπον· ἀλλὰ καὶ φύσει καὶ δόξῃ· καὶ δυνάμει καὶ ἀγαθότητι· λίαν
Ἀκριβὲς ἀποσῴζουσα τὸ ἴσον· μᾶλλον δὲ τὸ ταυτόν· καὶ ἀϊδίως ἀλλήλαις συνοῦσαι,
καὶ συνεσομέναις εἰς τὸ ἀπέραντον· αὕτη τοῦ παντὸς δημιουργὸς ἡ τριάς· οὗτος ὁ θεὸς
ἡμέτερος· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· οὐδ᾽ ἕτερος ἢ οὕτως περὶ αὐτοῦ πιστευθή-
σεται, τῶν φρονούντων ὀρθῶς· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· προφητικὴ φωνή· καὶ
δέδωκεν αὐτήν. πάλαι μὲν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ· μετὰ ταῦτα δὲ τοῖς πρὸς τούτοις λα-
τρευταῖς καὶ προσκυνηταῖς· ἔδει γὰρ πάντως τὴν δι᾽ ἧς πάντα γέγονεν ἀλλὰ τριάδα
ἰσαρίθμους ἑαυτῇ θεράποντας ὑποστῆσαι· καὶ μετὰ τῆς πρὸς ἑαυτὴν συμβουλῆς, ποιῆσαι
πάλιν ἄλλους κατὰ τὴν ἰδίαν εἰκόνα τε καὶ ὁμοίωσιν· πολὺ τῆς προτέρας ἀκριβεστέραν
καὶ σαφεστέραν· κατὰ τρία τοὺς τρεῖς· ὅτι τε τοσοῦτοι· καὶ ὅτι πάντα θεοειδεῖς· καὶ τρί-
τον κατὰ τὴν σύμπνοιαν· τὸ δὲ μεῖζον καὶ τέταρτον, καὶ τῆς ἐμφερείας μᾶλλον συνε-
κτικόν, κατὰ τὴν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας σπουδήν· ἧς οὐδὲν τῶν πάντων τοσοῦτον, ὅ-
σον θεῷ τε κἀκείνοις ἐμέλησε· τὰ μὲν οὖν ἄλλα τῶν ἐκείνοις καλῶν· καὶ τὸ τῶν ἀγαθῶν
ἔργων φῶς· ὃ τῶν ἀνθρώπων ἔμπροσθεν ἔλαμψαν, θαυμαζέτωσαν ἕτεροι· λέγω δέ, τῆς
Καθαρότητα σώματος· ἁγιασμόν· λαμπρότητα βίου· χρηστότητα τρόπων· ἀκοσμη-
ἠθῶν· τὴν ἀσαρκίαν· τὴν ἀϋλίαν· τὴν ἐν νεκρῷ σαρκὶ ζωήν· τὴν ἀπάθειαν· τοὺς ἐπὶ
τούτοις ἱδρῶτας· τοὺς ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἀγῶνας· τοὺς διωγμούς· τοὺς πολέ-
μους· τοὺς κινδύνους· τὸν θάνατον ὃν μετὰ Παύλου κἀκεῖνοι διὰ τὸ κήρυγμα, καθ᾽ ἡ-
μέραν ἀπέθνησκον· δεῦρο δή συμπανηγυρίσατέ μοι πάντες, ὁπόσοι τῶν καλῶν
ἐρασταί· ὄργανα γὰρ ὁ λόγος· τοῖς ἐκείνων ἐπαίνοις ἐγκαλλωπίσασθαι· καὶ γε μέσον
σε πάντως οὐδείς· ὅπου γε κἀκεῖνοι πολλάκις εἰς τὰς αὐτὰς ἐμπίπτοντες ὑποθέσεις,

παρ' ἐκείνου τῶν ἀμεταγνώστως τὰς ἐξηγήσεις διαφέρονται· δ' ἡμῶν τε ὥσπερ ἡμῖν· ὅπου περ ἂν ἔφθασε συγγράφων αὐτοί· ἀμήχανον ἑτέροις ῥηθῆναι· μεθ' ὑπερβολῆς ὥρας καὶ χάριτος· ἐπεὶ καὶ μόνοις ὡς ἔοικεν ἐκείνοις ἀμιμήτοις, οὐδ' ὑφ' ἑαυτῶν ἦν μιμεῖσθαι· διὰ τὸ πανταχοῦ τῆς ἀκρότητος, τὴν παρ' αὐτοῖς ἀκρίβειαν ἔχεσθαι· δεῦρο τοιγαροῦν ἡλικία πᾶσα καὶ φύσις· συνερανίσασθέ μοι τὰ πρὸς τὸν ἔπαινον· καὶ ἀγωνίσασθε πρὸς ἀλλήλους· ἄνδρες ὁμοῦ καὶ γυναῖκες· μειράκια καὶ παρθένοι· πρεσβῦται μετὰ νεωτέρων· ἱερεῖς καὶ λαός· οἱ μοναδικοὶ καὶ μιγάδες· οἱ τῆς ἁπλότητος καὶ τῆς ἀκριβείας· οἱ τῆς θεωρίας, οἵ τε τῆς πράξεως·

Ὁ μὲν οὖν ἐπαινείτω τὸ ἐν νηστείαις καὶ προσευχαῖς, οἷον ἀσώματον καὶ ἄϋλον· ὁ δὲ τὸ ἐν ἀγρυπνίαις καὶ ψαλμῳδίαις, ἄτονον καὶ ἄτρυτον· ἄλλος, τὸ ἐν προστασίαις τῶν δεομένων· ἄλλος, τὴν πρὸς τὸ ὑπερέχον ἀντιτυπίαν· ἢ πρὸς τὸ ταπεινὸν συγκατάβασιν· αἱ παρθένοι, τὸν νυμφαγωγόν· αἱ ὑπόζυγοι, τὸν σωφρονιστήν· οἱ τῆς ἐρημίας, τὸν πτερωτήν· οἱ τῆς ἐπιμιξίας, τὸν νομοθέτην· οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας, τὸν θεολόγον· οἱ ἐν εὐθυμίᾳ, τὸν χαλινόν· οἱ ἐν συμφορᾷ, τὴν παράκλησιν· τὴν βακτηρίαν, ἡ πολιά· τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ πενία, τὸν ποριστήν· ἡ εὐπορία, τὸν οἰκονόμον· δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι· καὶ ὀρφανοί, τὸν πατέρα· καὶ οἱ πτωχοί, τὸν φιλόπτωχον· καὶ τὸν φιλόξενον, οἱ ξένοι· καὶ τὸν φιλάδελφον, οἱ ἀδελφοί· οἱ νοσοῦντες, τὸν ἰατρόν· ἣν βούλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες, τὸν φύλακα τῆς ὑγείας· οἱ πάντες, τὸν τοῖς πᾶσι τὰ πάντα γινόμενον, ἵνα κερδάνῃ πάντας, ἢ πλείονας· κα

Ταῦτα μὲν ἅπερ εἶπον· αὐτοὶ δηλονότι καὶ οὐκ ἐγώ, διεξιέτωσαν ἕτεροι· ἐπὶ πᾶσι τοῖς ἄλλοις, καὶ τὸ παρ' ἑκάστου τούτων δοκοῦν πλεονεκτεῖν ἐν τοῖς λόγοις· καὶ πρὸς τοὺς λοιποὺς παραλλάττειν, λογικώτερον τινὲς ἐπισκέπτονται· τοῦ μὲν γὰρ πρὸ πάντων τὸ λαμπρὸν καὶ διάτορον τῆς γλώττης θαυμάζουσιν· ἢ τὸ περὶ πᾶν εἶδος λόγου, προσφυὲς καὶ κατάλληλον· θεολογεῖ τε γὰρ ὑψηλῶς· καὶ τὰς φύσεις τῶν ὄντων, ἐναργῶς παριστᾷ· ἐρρωμένος δὲ καὶ τοῖς ἐξηγητικοῖς ὅτι μάλιστα, οὐχ ἧττον ἀκμάζει τοῖς ἠθικοῖς· πανηγυριστής τε λαμπρότατος,

εἴ τις ἄλλος τῶν πάντων· καὶ οὐδὲ μόνον αὖθις πλεῖστον ὑπὲρ τὰς ἄλλας ἀπειθέστι καὶ ταπεινὰ καὶ ἐν σχήματι·
καὶ αὐτὸς ἐπὶ πᾶσι μετριάζειν εἰδὼς, ἀποπροσποιεῖται τὸ μέρος τοῦτο τῶν λόγων. ἅ-
περ οὕτω μάλα τρανῶς τῶν μεγάλων πάντα διασαφεῖται· καὶ ἵν᾽ ἐμφαντικώτερον εἴπω,
διαζωγραφεῖται καὶ δείκνυται· ὥστε δοκεῖν τὸν ἀκροατὴν, ὁρᾶν μᾶλλον ἢ ἀκούειν,
τὸ παρ᾽ ἐκείνου λεγόμενον· μόνος γὰρ τῶν ὑπὲρ βασιλέως τοῖς ἀψύχοις λόγοις ψυχὴν ἐ-
χαρίσατο· ὅπερ ἄλλοις αὐτὸς ἐπιμαρτυρεῖ· γρηγορίου δὲ τοῦ σοφοῦ, τοῦ τὸ δὴ σοφώτε-
ρ ρον οἴονται, τὸ καθεστηκὸς ἐν τῷ λόγῳ, καὶ βεβηκός· ἔπειτα δὲ τὸ τοῦ νοῦ μεγαλοπρε-
πὲς καὶ μετέωρον· καὶ τῷ ἐνὸς σχήματι βραχεῖ, πολλὴν κρύπτειν δύναμιν· ὡς ὁ σινά-
πεως κόκκος· ἢ ὁ τίμιος μαργαρίτης· τὰ τῆς βασιλείας ἀφομοιώματα· ὃν ὀρθῶς
πεποίηκας ἐμνήσθην· καὶ φαμὲν οὐκ ὀρθῶς αὐτὸς εἶχεν· ἐξ ὅτου προκύπτοντα φθέγγεσθαι·
οὗ, λόγου μὲν πάντως κρείττων, ὁ γλυκασμὸς ἐκεῖνος τοῦ λόγου· καὶ τὸ τοῦ κάλλους
ἀμήχανον· ὃ καὶ τέχνης ἐστὶν ὑψηλοτέρων μεθόδων καὶ πραγματείας· ὑπὲρ καὶ με-
γέθει λόγου τοσούτῳ, τηλικαύτην ἡδύτητα καὶ χάριν ἀναμεμῖχθαι· πέτρα δὲ
παντὸς θαύματος, ἡ πανταχοῦ συμμετρία· στοχαζομένη μὲν ἀποχώτατα, τοῦ σκο-
ποῦ τε καὶ τοῦ καιροῦ· ἐνδεξιουμένη καὶ σταθμῷ φράσιν ἅμα καὶ νόημα, τεθεῖσα
καὶ ταλαντεύουσα· ὥσπερ κέντρῳ καὶ διαστήματι, πρὸς κανόνα τινὰ καὶ διαβή-
τῃ ἐξακριβουμένη· τοῦ δὲ χρυσορρόου τὸ ῥεῦμα· ἢ τὴν ἀδιήγητον ἢ ἀνα-
ματον πρὸς τὸ λέγειν φορὰν, ὑπερφυῶς καταπλήττονται· τὰ τῶν ψυχῶν
μὲν ὡς τάξει τοῦ ζῆν, καὶ πρὸς ἐκεῖνα τὴν πάθεσιν ποιουμένη ὁρμήν· ὅπως ἐφῆκο-
μ ἐν ἠγνοημένως οὐχ ἥκιστα, καὶ τὴν θαυμαστὴν ἀλωπεκίαν· οὐ τεχνικὴν τε ἀναμφη-
λογ δηκοῦσαν, ἢ φυσικήν· οὐ δ᾽ ἀλλ᾽ ἢ μὴν μᾶλλον, ἢ θείαν· δι᾽ ἧς ἀμάχους δύναμις
ἐκείνη τοῦ λόγου· θεραπεύουσα πρότερον τὰς σωματικὰς ἀκοάς· οἷον ἔπυλω-
ρούς τινας λίχνους καὶ ἀναιδεῖς, οὕτω δι᾽ αὐτῶν εἰς τὰς ψυχὰς καταρρεῖ· ἡ προ-
σηνῶς καὶ ἠπίως· δίχα ψόφου καὶ ῥοίζου, τὸν ἐλαίου καὶ μέλιτος τρόπον εἰς-
χεομένη καὶ τὰ βάθη καθαίρουσα, ταῖν καρδίας· καὶ πρὸς ᾠδῖνας ἐγείρει
μὲν τῆς ἀκαρπίας· οἷς τε τὴν γραφὴν σαφηνίζει· μετά τινος χάριτος ἀρρήτου
καὶ θεοπρεπείας· καὶ οἷς ἑτέρως ὁ πάνσοφος, τὰς ἀμείνους γνώμας ἐπάγεται· τῶν

πριώμεθα αὖ ὁμοίως ἐξωνούμενοι καὶ ὑπεραίρουσι, τῆς καρδίας τὸ πλάτος· καὶ τῆς σοφίας τὸ χύ-
μα, καὶ τὸ πάντων μὲν ἄριστα τὰ πάντα νοῆσαι· πάντων δὲ κάλλιστα περὶ πάντων εἰπεῖν.

Ὅτι μὲν οὖν εἴρηται τὰ τοιαῦτα μέν, ὁ βουλόμενος σκοπείτω φιλοπονώτερον· ἐγὼ δὲ
τοῖς εἰρημένοις ἐπιπροσθεὶς ὃ πλέον τῶν ἄλλων παρ' ἐκείνοις ἔγωγε θαυμάζω, πειρα-
ρήσω τοῦ λέγειν. τοῖς ἀπαριθμήσασθαι καθ' ἕκαστα τὰ πάντα προθυμουμένοις, ὥστ' ἂν
μὴ τὸ παραλειπόμενον ἡμῖν ὑπ' ἐκείνων μεῖζον τοῦ λόγου διὰ τὴν καλὴν περὶ τὸ μέ-
τρον αὐτῶν ἀπληστίαν λυμήνασθαι· τί δὲ τὸ καθ' ὑπεροχὴν ἐμοὶ θαυμαζόμενον;
τὸ καθ' ὑπερβολὴν αὐτοῖς σπουδαζόμενον, ἡ τῶν ἀνθρωπίνων ψυχῶν κηδεμονία
καὶ πρόνοια· καθὸ καὶ μᾶλλον φαμὲν τὴν πρὸς τὸ θεῖον ὁμοίωσιν, τούτοις ἐξηκρι-
βῶσθαι. τὸ μὲν γὰρ ἕκαστον σώζειν τὴν ἰδίαν ψυχήν. καὶ τὸν βίον ἀσφαλῶς παρεν-
θεῖν, μετὰ τῶν ἀνθρώπων καὶ τῶν παγίδων ὧν ἐν μέσῳ στρεφόμεθα, οὔπω τι σε-
μνὸν οὐδὲ μέγα· ἀλλὰ πλείστοις μὲν κατορθούμενον, ἀνθρωπίνως δέ. πᾶσι χριστια-
νοῖς ὀφειλόμενον· τὸ δὲ καὶ τὸ τῶν ἄλλων ζητεῖν, καὶ σπουδάζειν κερδαίνειν τὴν τῶν πέ-
λας ὠφέλειαν, τοῦτο ἔργον ψυχῆς θεοειδοῦς καὶ μεγάλης· καὶ Χριστοῦ ὡς ἔφικτον μιμου-
μένης· τὸν λύτρον ἑαυτὸν καὶ ἀντάλλαγμα, ὑπὲρ τῆς τοῦ κόσμου παρασχόντα
ζωῆς· πῶς οὖν περὶ τοῦτο τὰ τῶν πρώην ἔχει καὶ διδασκάλων, σκοπήσωμεν.
σκοπῶμεν δέ, οὕτως ὑπ' ἐπιστηθῶ τὸ πᾶν τόδε. διὰ τὸν ἄνθρωπον τιμηθέντα θεοῦ. ἐσα-
φήνισθαι δὲ παρὰ τούτων, ἡ φύσις ἑκάστου τῶν παραχθέντων. ἐπὶ φωτισμῷ τῆς ἐκ-
μος, καὶ τῇ διὰ τῶν κτισμάτων ἐπιγνώσει τοῦ κτίσαντος. οὐρανοὶ μὲν γὰρ διηγοῦν-
ται δόξαν θεοῦ. μετὰ κάλλους τοσούτου καὶ μεγέθους ὁρώμενοι. οἱ δέ, καὶ τούτους
καὶ τὴν γῆν. καὶ τὸν ὁρώμενον κόσμον καὶ τὸν ἀόρατον, τρανῶς ἐξηγοῦνται. ὅ-
πως ἕκαστον ἔχει θέσεώς τε καὶ τάξεως, καὶ ὅπως δυνάμεως, περὶ τί τε χρήσι-
μα ἔτι τῇ τῶν ἀνθρώπων ζωῇ. καὶ τίς ὁ λόγος τῆς τούτων δημιουργίας. ὡς οὐχ ἧττον αὐτοῖς
ἢ ἐκείνοις, ἁρμόζειν τό, ψαλμικόν. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν,
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ὃ καὶ περὶ τῶν ἀποστόλων ὁ ἀπό-
στολος ἐξεδέξατο. διέθετο τοῖς δούλοις αὐτοῦ διαθήκας. παλαιάν τε καὶ νέαν,
ὁ τῶν ἀμφοτέρων θεός. ἵνα ζωὴ ἡμῖν γένηται. ἐὰν ἀκοῇ ἀκούσωμεν καὶ ἐν τοῖς

προστάγμασιν αὐτοῦ πορευθῶμεν· οἱ δὲ, τὰς θείας ἐντολὰς, ὡς ἄλλος ἀνθρώπων οὐδεὶς ὅσοις
ἐδέξαντο· καὶ τοῦτο μὲν, περὶ τὴν αὐτῶν ἐργασίαν φιλοπονήσαντες· ὡς ἄλλος οὐδεὶς
περὶ οὐδὲν ἕτερον· τοῦτο δὲ μελετήσαντες ἐπιμελῶς ἐν αὐταῖς ὑπὲρ ἀνθρωπίνην ἅπασαν
φύσιν· ἡμέρας τε καὶ νυκτός· πρῶτα μὲν μεσιτεύουσιν ἀμφοτέραις ταῖς διαθήκαις.
Καὶ συμβιβάζουσιν ἄριστα, τὸ γράμμα τῷ πνεύματι· καὶ πρὸς συμφωνίαν συνάγουσι τὴν
χάριν τῷ νόμῳ· τὸ μεσότοιχον τοῦ φραγμοῦ καθελόντες· καὶ τοῦ μὲν, περιελόντες
τὸ κάλυμμα· τῆς δὲ, τὴν λαμπρότητα, τὴν μονιμωτέραν περιλάμψαντες, καὶ
τε τοῖς τύποις τὴν ἀλήθειαν ἐφαρμόσαντες· καὶ οὕτως ἅμα πλήρωσιν δείξαντες
ταύτην ἐκείνης, ἀλλ' οὐ κατάλυσιν. εἶτα καὶ πρὸς τὴν κατ' αὐτὰς ζωήν τε καὶ πολιτείαν,
τὸν ἡμέτερον βίον ὁδηγοῦσι καὶ κατευθύνουσι· τά τε ἤθη κοσμοῦντες· καὶ παντοί
ἡμᾶς χειραγωγοῦντες· καὶ τοὺς τρόπους ῥυθμίζοντες, καὶ παντοίως ἡμᾶς χειρα
γωγοῦντες ἐπὶ τὰ κρείττονα· ἔτι· σαρκοῦται θεὸς δι' ἡμᾶς· οἱ δὲ, τὸ τῆς οἰκονομίας
μυστήριον, τίνα τε τρόπον· καὶ κατὰ τίνα λόγον ἐπραγματεύθη, γνωρίζουσι· τί
ὅτι τοῦτο κεφάλαιον τῆς μεγάλης ἐκείνης καὶ ἀπορρήτου κενώσεως· ἡ τοῦ σύμπαν
τος πλάσματος πρὸς τὸν πρῶτον ἀδὰμ, διὰ τοῦ δευτέρου ἐπάνοδος· ἀποστόλους ἐκ
πέμπει, συναποστέλλονται· προφήτας, συμπροφητεύουσιν· εὐαγγελιστάς, συν
ευαγγελίζονται· μᾶλλον δὲ, ἐχρῆν καὶ προσφιλοτιμήσασθαι· καὶ τὸ ἐκείνων
εὐαγγέλιον, αὐτοὶ σαφηνίζουσι. χαρίσματα διανέμει; μηδὲ γὰρ τοῦτο πλεῖον
Μεταξὺ κείμενον· καὶ τί τῶν χαρισμάτων ἐν τούτοις οὐκ ἐθαυμάστωσε· δοξάζει
διὰ θαυμάτων; καὶ ἐνταῦθα τούτοις μοῖρα οὐκ ἐλαχίστη· ὡς ἔστι γνῶναι σαφῶς
ἐκ πολλῶν ὅτι μάλιστα τῶν ταῦτα διηγουμένων· ἔτι γὰρ οὐδεὶς ὡς οὗτοι τῶν βρα
χύ τι λόγου μετειληφότων, ὅσου μάλιστα πάντων τὰ κατ' αὐτοὺς ἐξυμνεῖ· μαθη
τεύει δι' ἐκείνων πάντα τὰ ἔθνη; διὰ τούτων δέ τι· καὶ τίνα τοῖς λόγοις οὐκ ἀγ
χίνοι σοφώτατοι· οὐ γεωμετρικαῖς ἀνάγκαις τοσοῦτον· οὐδ' ἀποφάσεσιν, ὅσον φυσικαῖς
καταπείθοντες. μᾶλλον δὲ καὶ ἀμφότερα, μεθ' ὑπερβολῆς θαυμαστῆς· τῇ τε τῆς
τέχνης πειθοῖ τὸν ἀκροατὴν ἑκατέρωθεν ἐν ἀφύκτῳ χειρούμενοι. Τοῖς μὲν
γὰρ αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις ἐβεβαιοῦτο τὸν λόγον· γέννημα γλωσσῶν· ἑρμη

μετὰ γλωσσῶν· ἰάματα· χαρίσματα· διακρίσεις πνευμάτων· μετὰ τῶν ὁμοίων σημείων,
τῶν ἐπακολουθούντων αὐτοῖς. τοῖς δ' οὐ μὴ δεῖν ἐκείνοις πλέον ἀπολειφθεῖσι, τὸ πᾶν κρά-
τος ἦν περὶ τὴν χάριν τοῦ λόγου· καὶ τὴν τῆς διαλέξεως δύναμιν· ὅση τε πνευματικὴ καὶ θεό-
πνευστος· καὶ ὅση τῆς ἀσεβείας, καὶ τῆς περὶ τὴν φράσιν ἐμμότητος· ὡς αὐτὸς φαίην ἄν,
οὐκ ἐλλογώτατα οἶμαι, καὶ κομψότητος εἴποι τις· οὐ τῆς σοφιστικῆς καὶ φλυάρου· ἀλλὰ τῆς
ἀπερίττου καὶ γλαφυρᾶς· προσελήφθη γὰρ ἤδη καὶ τοῦτο παρὰ τῆς χάριτος· ἵνα τὸ λεῖ-
πεν ἐπιδοκοῦν, ἀναπληρωθῇ τῷ κηρύγματι· καὶ μὴ διὰ παντὸς ὀνειδίζοιτο παρὰ
τοῖς φρονοῦσιν ἐν γῆς, τὸ ἰδιωτικὸν καὶ ἀγράμματον· ἐπεὶ γὰρ ὁ κόσμος οὐκ ἔγνω
τὸν θεὸν διὰ τῆς σοφίας ὥς φησι Παῦλος, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγ-
ματος, σῶσαι τοὺς πιστεύοντας· ὅθεν ἡ πρώτη τῶν ἰδιωτῶν ἐκλογὴ καὶ ἀποστολή·
ἀλλ' αὐτίκα μοι βλέπε τὴν καλὴν παρὰ πόδας ἀντιστροφήν· ἐπεὶ γὰρ πάλιν ὁ
κόσμος οὐκ ἐπέγνω τὸν θεὸν διὰ τῆς μωρίας ὡς ἔδει, εὐδόκησεν ὁ θεὸς διὰ τῆς ἐν τού-
τοις σοφίας, σῶσαι τοὺς πιστεύοντας· καὶ μέντοι πολλούς· καὶ μικροῦ δέω πάντας εἰπεῖν·
τοὺς ἐξ ἐκείνου τοῦ χρόνου· ἤδη τε σέσωκε, καὶ ἔτι σώζων οὐκ ἐπιλείπει· τοῖς σο-
φοῖς αὐτῶν δόγμασι καὶ διδάγμασι· τοῖς μὲν, τῇ φυσικῇ καὶ γνώσει τῶν νοημάτων ὥ-
ρᾳ προσαγομένοις· τοῖς δὲ, τῷ ποικίλῳ τε καὶ περικάλλει τῶν ῥημάτων ἀγλαΐσματι· φέρει βα
γάρ που καὶ ταῦτα κόσμον τινὰ τοῖς ὑποκειμένοις καρποῖς, ἢ ὅτι μὴ οὐκ ἄωρον· ὥσπερ
μηδὲν ἐνταῦθα τούτων ἐκείνων, καθάπερ φύλλα τοῖς κλάδοις ἐπισειόμενα· εἶτα περὶ
σοὶ τὸ φύσημα ὦ σοφὲ καὶ τὰ σαρκικά· ὁ τὰς λογικὰς ἡμῖν τέχνας καὶ τὰς ἐπιστήμας
ἀνελών, μετὰ τῆς ὀφρύος καὶ τοῦ φυσήματος· ὁ τὴν ποιητῶν μεγαληγορίαν ἐπι-
Κομπάζων ἡμῖν, μετὰ τῶν αἰσχίστων θεῶν καὶ τῶν ἀκοῆς σωφρονούσης, ἀναξί-
ων διηγημάτων· ὁ τὴν ἐν λόγοις δεινότητα μονονοὺ προσκυνῶν· καὶ τὴν περὶ τὴν
ταύτην θαυμάσια καὶ τερατεία· ἧς τὸ τέλος, ἀπάτη· τὴν ἀκοὴν γοητεύουσα·
καὶ τῶν κεχρωσμένων τῆς λέξεως· τὸ δ' ἴσως δέ τι καὶ ἄτοπον ἐπικοσμοῦσα τῶν
λεγομένων· ὁρᾷς ἐμμελῆ καὶ παναρμόνιον σύγκρασιν· τοῦ τε νοῦ πρὸς τὸν λό-
γον, καὶ τῶν ῥημάτων αὖ πρὸς τὰ πράγματα; ὁρᾷς ἀκολουθίαν ἀρίστην· καὶ κάλ-
λος καλλεῖ σῶν τρέχον, καὶ ἀντιστίλβον ὁμαλά; τῶν κρυπτομένων τε τὸ φαινό-

2557

μένον· καὶ τῶν ὁσουμένων τὸ ἀπηχούμενον; ὁρᾷς τοὺς ἐμοὺς φιλοσόφους ἅμα δὴ ῥήτορας,
εἰ δὲ βούλει καὶ ποιητάς; χωρὶς τῶν ᾀσμάτων καὶ τῶν πλασμάτων· ὁπόσον ἤδη τῶν σῶν
πείθομαι(?) διαφέρουσι; καὶ ὡς κορυφαῖοι εἰσὶ πάντες τοῖς μαθήμασι πᾶσιν, ἀπηκριβω-
μένοι καὶ ἅπαντες; ἐπιτίμιοι μὲν ἐπὶ κοινῇ πάσης· ὥστ' ἐπιδιάζομεν πόσου πλεονε-
κτήματι· ἰδοὺ γὰρ ὧν μόνων μέγα ἐφρόνεις· κατὰ τῶν ἁλιέων ἡμῶν καὶ σκυτέων
καὶ ἀμαθῶν, οὐκέτι σόν· ἀλλ' ἡμέτερον· καὶ τό γε νεανικώτερον· οὐκ ἐν τοῖς ἄλλοις μόνον
ἡμῖν ἐπινήξεται κύκλιος, ὅπλον ἀσφαλὲς καὶ σωτήριον· ἀλλὰ καὶ καθ' ὑμῶν αὐτῶν ἤδη.
Τῶν παλαιῶν δι' αὐτῆς ἡμῖν πολεμούντων ἀλόγως, δεξιὸν ἀμυντήριον· δηλονότι τῶν ῥη-
μάτων τοῦ θεοῦ νομοθετεῖσθαι· ὁ τομώτερον οἶδεν ὁ λόγος· ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.
ὅθεν γοῦν ὁ πολέμιος ὑμῶν, ὑπὸ τούτων ἄρδην συστρεφομένων· ὁ θεόφονος, διὰ τοῦ
δὲ τοῦ ξίφους οὐδ' ἑτέρου, διὰ τοῦ δέ φημι· τοῦ χθὲς ἐπίπου καὶ πρίν, ὑμετέρου· ὁ
πάλαι μὲν δᾳδοῦχος ἐμός· μετὰ ταῦτα δὲ πιστῶν σῶν, νεανιδόσαθαι λέγονται· τοὺς πο-
λεμίους ἐκ πάτρος, τοῖς ἐκείνων ὅπλοις ἀνηρηκώς· τοιγαροῦν ὥσπερ τε· παῖδες ἀθῆτε π-
τες οἱ τοὺς μύθους θαυμάζοντες. ἐπεὶ πρὸ ὑμῶν ἐπλάσαμεν· ὅπως μὲν ἄνδρες ἀγχέ-
μοί τε καὶ μάχιμοι· ὅπως δὲ παῖδες ἀγεννεῖς καὶ ἀνάλκιδες, μεταχρίζονται πολέ-
μια· καὶ τινὰ μὲν λεόντων ὁρμήματα· τινὰ δὲ πιθήκων κινήματα· τὰ γὰρ τῶν
ἐμῶν πάλιν φθέγξομαι· πρός γε σοὶ οὖν ἔδοξε τοῖς ἐμοῖς προμάχοις καὶ ἀριστεῦ-
σιν, οἳ ἐμοὶ πρὸ τοῦ πολεμίων· καὶ δρομοῖ δύστηνε σὺ καὶ κακόδαιμον· ἵνα προσεί-
πω σε κατάστ· παρ' ἐμοὶ ἴσασι· καὶ ἰδὲ ἔργον βάλλοντας ὡς ὁρᾷς, ἐγχέδωκας· ἔδοξεν,
ἀλλ' ὁμολόγει τὴν ἧτταν· καὶ ὑποχώρει τοῖς κρείττοσι· πρὶν τι κακὸν παθεῖν, καὶ τοῖς
Λοιποῖς ἑλληνισταῖς ὅμοιον· ὅσοι τούτοις προσέβαλον, ἐπὶ κακῷ τῷ σφετέρῳ· δεινὸν
γὰρ δεινὸν εἰς συμπλοκὴν ἐριδος, τηλικούτοις ἥρωσιν ἀντιφέρεσθαι· ἀλλ' οἱ
μὲν τὴν φερώνυμον γνῶσιν μεγαλαυχοῦντες ἡμῖν, ἐμποδών· σὺ τοῦτο δρά-
σεις μόνον· μᾶλλον δὲ παθόντες σοφόν, παρὰ τῆς ὄντως σοφίας· ἧς κατόρθωμα
μέγιστον, ἡ τῆς ἐκείνων πλάνης κατάλυσις· τοῖς δὲ τοσοῦτον ἡ χάρις διὰ πάντων
κοσμήσασθαι, πάλιν γὰρ ὁ λόγος εἰς τούτους ἐπανῆλθεν, ἑαυτὸν αὐτοῖς ἡδέως ἐπανα-
παύσει· καὶ τὴν γνῶσιν τῶν θείων καὶ ἀνθρωπίνων μυήσασθαι· ἐν τούτοις παντοίως

αὐτοῖς χαριτώσασα· καὶ λαμπρύνασα, οὕτως δὲ τὴν τοῦ κοινοῦ προστασίαν· ἣν τῶν
ἁγίων ἐκκλησιῶν οἱ κορυφαῖοι προβάλλεται· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, πᾶν γόνυ
κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ὁμοίως· ἕλ-
λην τις ἢ καὶ βάρβαρος ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς, εἰς δόξαν θεοῦ πατρός· ὑπὸ διδασκάλοις
οὕτω θείοις· καὶ πανταχόθεν τὸ πλῆρες καὶ τὸ ἄρτιον ἔχουσι, πρὸς ἀπαρτισμὸν
ἀγομένη καὶ τελειότητα· κἂν πού ποθεν τὸ ταχέως διεσπασμένον σῶμα Χριστοῦ, τὴν ἀρ-
πότητα λάβῃ· καὶ γένηται μία ποίμνη εἷς ποιμήν· γινώσκων τὰ ἴδια, ἢ γινωσκό-
μενος ὑπὸ τῶν ἰδίων· καὶ καλῶν τούτων ἕκαστον προσφόρως κατ' ὄνομα· ὡς οὐδε-
μιᾶς ἔτι ξένης συμμιγομένης φωνῆς· ἀλλὰ πάσης ἤδη συνήθους τῷ παντὶ ποιμνίῳ
γεγενημένης· ὅπερ οὖν καὶ κατορθοῦται, διά τε τὴν τοῦ κοινοῦ καὶ πρώτου ποιμέ-
νος φιλανθρωπίαν· καὶ τὴν τῶν ἐκείνου πρὸς δύναμιν ζηλωτῶν προθυμίαν· ὃς ἡμῶν
οὐδὲν ἧττον τοῖς ἀξίοις τῆς κλήσεως, πρὸς τὴν ἄνω μάνδραν καλεῖ· ταῖς κοιναῖς
τούτων φωναῖς, οἷα σύριγξι χρώμενος· καὶ τὴν ἐν τόπῳ χλόης τρυφὴν· καὶ τὸ
ζῶν τῆς ἀναπαύσεως ὕδωρ, ὑπισχνεῖται καὶ δίδωσιν· ἐκπληρῶν ἀκριβῶς τὸ
ἑαυτοῦ θεῖον θέλημα· διὰ τῆς δεξιᾶς ὑπουργίας καὶ συνεργίας, τῶν γνησίων τῶν δὲ
θεραπευτῶν· ἣν δὲ τὴν ἡμῶν σωτηρίαν συνεργοῦντες αὐτῷ, καὶ συμπληροῦντες ἔτι
διατελοῦσι· καὶ οὐ πρὶν ὡς οἶδα τοῦτο πράττοντες λήξουσι, πρὶν ἐκλέξαι τὸ
πᾶν· τοιούτοις ἡμῖν τοῖς ἁγίοις τούτοις, ὁ τῶν ὅλων θεὸς ἐχαρίσατο· ὁ ἐνδοξαζόμενος
οὕτως ἐν τοῖς ἁγίοις αὐτοῦ· τοῦτο τὸ ἔργον· τοῦτο τὸ κέρδος, τὴν δὲ τὴν παροῦσαν
ζωήν, τῶν μεγάλων ἐπιδημίας· οὕτως ὁ βίος ἀπώνατο τῆς αὐτῶν παρουσίας·
οὕτως πρὸς τὸν ἄνω κόσμον αὐτοὺς, καὶ τὴν ἐκεῖ χαρὰν τῶν δικαίων παρέπεμ-
ψε· τοσούτων ἀρετῶν δορυφορουμένους φαιδρότητι, τηλικαύταις χάρισι λάμ-
ποντας· τούτους ἔχομεν ἅγιοι· μετὰ τὸν σωτῆρα, σωτῆρας· μετὰ τὸν πλάστην, δημιουρ-
γούς· μετὰ θεόν, εὐεργέτας καὶ φύλακας τῶν ἡμετέρων ψυχῶν· οὗτοι τῆς ἡμῶν πί-
στεως, οἱ συνεκτικώτατοι στῦλοι καὶ τὰ μεγάλα ἐρείσματα· ἐν οἷς ἡ σοφία τὸν
ἑαυτῆς οἶκον ᾠκοδόμησε· καὶ πύλας ᾅδου μηδέ ποτε κατισχύσειν αὐτῆς ἀπεφή-
νατο· οὗτοι μετὰ τοὺς ἱεροὺς πατέρας ἡμῶν, οἱ ὑπὲρ πάντας ἐκείνους· φιλη-

οὐ χεῖρον καὶ μοι, ἢ ἐκείνῳ σύνηθες· μετὰ τοὺς σεπτοὺς ἀποστόλους· οἳ τῆς οἰκουμένης διδάσκαλοι· τούτοις ἡμεῖς πανηγυρίζομεν σήμερον· καὶ μέντοι πανηγυρίζομεν· οὐχ ὡς τούτοις δοκεῖ· δοκεῖ δὲ ἢ λέγοντάς τι τῶν δεόντων, ἢ πράττοντας· οὕτω γὰρ αὐτοὶ μάλιστα, τὸ πνευματικῶς ἑορτάζειν ὁρίζονται. τὸ μὲν οὖν δέον ἐν λόγοις ἐφ' ὅσον ἐνῆν, τοῖς ἄλλοις παρ' ἡμῶν ἀφωσίωται· ἀπέχουσι γὰρ ἤδη τὴν εὐφημίαν· εἰ δὲ καὶ μὴ τοσοῦτον ἐνδεᾶ τῆς ἀξίας, καὶ οὕτως ἀγαπητόν· ἐπεὶ καὶ ἐκείνους· ὧν οἶδα

Φιλοκάλως πρός τε καὶ θεὸν καὶ τοὺς ἐκείνους, τὸ κατὰ δύναμιν· διὰ δὴ τῆς ἐν τῶν ἔργων ἐπιτιμῆ[ς], ἵνα μὴ χαλκὸς αὐτοῖς μάτην ἠχῶν, λογισθῆναι βουλόμεθα· λόγος γὰρ καὶ οὗτος ἐκείνων, ὡς οὐδεὶς αὐτοῖς λόγος τῶν παρ' ἡμῶν ἐπαίνων καὶ κρότων· ἀλλὰ τῆς τῶν ἡμετέρων ψυχῶν ὠφελείας καὶ διορθώσεως· ὥστε μέγα μὲν ὁ λόγος αὐτοῖς καὶ προφόρημα, καὶ τί γὰρ ἄλλο τοιοῦτον· ἀλλὰ σὺν λόγῳ λεγόμενος· σὺν λόγῳ δ' ἂν λέγοιτο, ἡ τὴν πρᾶξιν συναπαγόμενος· ταύτης δὲ μονωθείς, οὐχ ὅπως ἐκείνοις τοῖς ἀπροσίτοις τὴν ἀρετὴν καὶ ἀδεκάστοις κρίσιν τοῦ καλοῦ καὶ τοῦ χείρονος· ἀλλ' οὐδ' ὀλίγῳ γ' ἐπί τινι τῶν μετρίων καὶ ἧττον φιλαρέτων καὶ φιλοθέων, ἀλλ' ἀπόδεκτον δόξει τι χρῆμα καὶ περισπούδαστον· ἔτι τοίνυν ἐκείνοις χαρίσασθαι προθυμούμεθα, ἑαυτοὺς ὧν ποιήσωμεν· ποιήσομεν δέ, τοῖς ἐκείνων λόγοις ἑπόμενοι· ὁ γὰρ βίος σαφῶς, ὑψηλότερος ἢ κατὰ τὴν παρ' ἡμῶν μίμησιν· καὶ τούτοις ἐντρυφῶντες ἀεί· καὶ πᾶσαν πρᾶξιν ἢ λόγον· καὶ κίνημα ἢ γράμμα καὶ διανόημα, ὑπ' ἐκείνων καλῶς ῥυθμιζόμενοι καὶ τυπούμενοι· οὕτω προσηκόντως πανηγυρίσωμεν· οὕτω χαίρουσιν οὗτοι παρ' ἡμῶν δοξαζόμενοι· ἀλλ' ὦ τοῦ σύμπαντος κόσμου φωστῆρες ἀειλαμπεῖς τῶν τοῦ στερεώματος τούτων, κατὰ πολὺ τιμι-

ώτεροι· ὅσον οἱ μέν, τὰ σωματικὰ ἡμῶν ὄμματα, ὑμεῖς δὲ τὰς ψυχικὰς περιλάμπετε· ὦ μακαρία καὶ δευτέρα τριάς· τὸ τῆς πρώτης καὶ μεγάλης τριάδος, ἀπεικόνισμα καὶ ἀπαύγασμα· ἢ καὶ παρ' αὐτῆς δοξασθεῖσα, καὶ ταύτην ἀντιδοξάσασα· τρεῖς ὄντως ἅγιοι· μεγαλώνυμοί τε καὶ μεγαλόδοξοι· οἳ καὶ ἡμῖν τὴν καλλίστην ταύτην ἐπίνοιαν· ὡς κατὰ γνώμην ὑμῖν, ἐπινοοῦντες πρότερον, ἀγαγόντες· καὶ θαυμασταῖς ἐμφανείαις βεβαιώσαντες ὕστερον· οὐχ ἵν' αὐτοὶ

πεπλέον ἐν τῷ θεῷ ἑστηκότα ἅπτ' μέγα νοεῖσθε· πῶς γάρ· ὢ τὸ θαῦμα τῆς δόξης, τοῦ πε-
πλήρεις ἐν πᾶσιν ἔχει καὶ τὸ ἀκρότατον· ἀλλ' ἵνα καὶ ἐν τούτῳ μᾶλλον τιμήσητε. καὶ
τε μαθητείαν ὑμῶν· καὶ τὸν μαθητευθῆναι ταῦτα ἠξιωμένον· ὃς οὐδὲν οὔτε
μεῖζον οὔτε βέλτιον ταύτης, ἀπογράμμην τοῦ δὲ τοῦ βίου· ὦ ποιμένες ποιμέ-
νων, καὶ διδασκάλων διδάσκαλοι· μέμνησθε μέν μου τῶν ὑπὲρ τοῦ κυρίου
λιθασμῶν ὡς ἐπετάξας, ἡμεῖς τὰ πνευματικά· καὶ τῶν μεγίστων ὑπὲρ εὐσε-
βείας κινδύνων· καὶ σοῦ τῆς ἀδίκου· διὰ δικαιοσύνην ὑπερορίας· τοῦ και-
νοῦ μαρτυρίου, τῆς ἀναιμάκτου ἀθλήσεως· μεμνήσθω μετὰ τῶν ἄλλων κα-
μάτων καὶ πόνων· οὓς πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς ἐκκλησίας ἀνέτλη τε·
ἀνατολῇ καὶ δύσει μαχόμενοι· ὑμῶν γὰρ καὶ τοῦτο, ἵνα τὰ πέρατα ἐρημάσητε·
ἐχόμενοι καὶ τὰ πτύξια τὰ ἅγια· τὰς πλάκας τὰς θεογράφους· καὶ διαθήκην τὴν
τρίτην· ἣν ὑμῖν ὁ θεὸς διὰ τῶν ὑμετέρων ἐνθέων γλωσσῶν, ἐξεφώνησε· τὸν
τοῦ μου φωτισμόν· τὸν ἁγιασμὸν τῶν ψυχῶν· καὶ τῶν ὀμμάτων τρυφήν·
τὸ μέγα καὶ ἄμαχον τῶν ἀγνώμων ἀνθρώπων θέλγητρον· καὶ κοινὴν ἁπάσης αἰ-
σθήσεως ἡδονὴν καὶ ἀπόλαυσιν· ἔνθα κόρος τόπος οὐδείς· τὸν ἀδαίμονα
κλῆρον καὶ πολυτίμητον ὄλβον· ὃν ἡμεῖς ἐξ ὑμῶν τῶν ἡμετέρων πατέρων
διαδεξάμενοι σῴζομεν· καὶ οἷς τοῖς μεθ' ἡμᾶς, παραπέμψομεν· τοῦτο ἡμῖν μόνι-
μον αἰώνιον· μνημόσυνον γενεαῖς γενεῶν· ἀθάνατον φυλάττον καὶ ὑμετέ-
ραν δόξαν τῷ βίῳ· μέμνησθε δέ μοι καὶ αὐτοὶ τοῦ ποιμνίου· ὃ τοῖς ὑμετέροις λό-
γοις καὶ τρόποις καὶ πειρασμοῖς κατηρτίσασθε· ἐξ ἀφανοῦς καὶ φαύλης ἀγέ-
λης ὀνομαστὸν καὶ περίβλεπτον· ὡς ἡ προσαγόρευσις ὑμῶν, ἀποδείξαντες, καὶ
ταῖς ἐκκλησίαις χαίρειν καὶ εἰρήνην· ἣν αὐταῖς ἀπελθοῦσαν ἀνασωσάμενοι κα-
ταλίπατε, σωτηρῆτε μέχρι παντὸς ἀπηρέαστον καὶ ἀκύμαντον· ἡμῖν
δὲ βραβεύοιτε, καὶ τῶν ἐλπίδων ἐπιτυχίαν· ἐνταῦθα μὲν ταῖς χρησταῖς ὑποθή-
καις ἀπαρτίζοντες· αὐτόθεν δὲ, χεῖρα ταῖς πρεσβείαις ὀρέγοντες· καὶ πρὸς ἑαυ-
τοὺς ἀχερέστερον, πᾶσι μετιόντες τρόποις· ἵνα καὶ αὐτοὶ δι' ὑμᾶς τε καὶ σὺν
ὑμῖν ὡς ποθοῦμεν· ἀγαλλιαθῶμεν ἐγγύτεροι τῷ τρανοτέρῳ τῷ φωτὶ τῆς δόξης
καὶ παρουσίᾳ τῆς τριάδος· ὑπὲρ οὗ πᾶς λόγος ὑμῖν· καὶ ἅπαν ἔργον καὶ σπούδασμα·
ὅτι αὐτῷ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:

Βίος καὶ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν Κύρου καὶ Ἰωάννου: εὐλόγησον πάτερ:-

Κῦρος ὁ περιφανὴς τῶν μαρτύρων ἀστήρ· πόλεως μὲν καὶ αὐτῆς ἐτύγχανε περι-
φανεστάτης Ἀλεξανδρείας· τῆς πρὸς Αἰγύπτῳ κειμένης· ἣν οἰκιστὴς τοὔνομα κε-
δνῇ ἀνάλογος, καὶ ὀνόματος αὐτοῦ μεταδοῦναι· ἦν δὲ ὁ Κῦρος τὸ σέβας ἐν πρώτοις·
τὸν βίον ἐπαινετός· τὴν τέχνην ἰατρός· οὗ μέχρι καὶ νῦν τὸ ἐργαστήριον ἅπα-
σι γνώριμον· μεταβαλὸν μὲν τὴν ἐπωνυμίαν· καὶ ναὸς θεοῦ ἤδη καὶ ἱερὸν τῶν
ἁγίων τριῶν παίδων καλούμενον· συμμεταβαλὸν δέ πως καὶ τὴν ἐνέργειαν·
ἢ θειοτέραν μᾶλλον αὐτὴν ἐργασάμενον· καὶ ἀντὶ τῆς προτέρας ἐκείνης τῶν νό-
σων ἀπαλλαγῆς· ἣν ἰατρικὴ τέχνη καὶ πόνοι καὶ τὰ ἀπὸ τῆς τέχνης παρεῖχον
φάρμακα· παντοδαποῖς ἄρτι καὶ αὐτομάτοις βρύον τοῖς θαύμασι· ὅπως δὲ
καὶ τὴν μεταβολὴν ἐδέξατο ταύτην, ἄνωθεν ὁ λόγος δηλώσει· Ἀπολινάριος·
οὐχ ὁ σφοδρὸς ἐκεῖνος τῆς ἀληθείας καὶ τῶν ὀρθῶν δογμάτων ἐχθρός· ὁ καὶ τοῦ
τῶν Λαοδικέων θρόνου πολλὴν αἰσχύνην καταχεάμενος· ἀλλ᾽ ὁ τῆς ἀληθείας
μᾶλλον διάπυρος ἐραστής· καὶ τῶν ἀσεβῶν δογμάτων ἐκδικητής· καὶ
τοσοῦτον ἐκείνῳ δόξης καὶ τοῖς τρόποις διάφορος, ὅσον ὀνόματος ταὐτότητι κοι-
νωνός· ὃς ὑπὸ θεοῦ τὸν τῶν Ἀλεξανδρέων ἐγχειρισθεὶς θρόνον· ὡς ὁ πολύς τε
καὶ ἀληθὴς περὶ αὐτοῦ βούλεται λόγος· ὅπη κρίσει θειοτέρᾳ· καί τινος ἀνδρὸς
προρρήσει τὰ μέλλοντα βλέπειν ἱκανοῦ, τὸν ἱερατικὸν ἐπεστάθη θρόνον·

Οὗτος οὖν ὁ Ἀπολινάριος· ἤδη τῆς ἀρχιερωσύνης ἐπιλαβόμενος, ἔτρεφέ τινα
καὶ ἀδελφιδοῦν· ἔτρεφε δὲ λίαν ἐπιμελῶς τε καὶ φιλαρέτως· ὥσπερ αὐ-
τὸν ἔσχεν ἐγγίζοντα κατὰ γένος, οὕτω πολλῷ μᾶλλον καὶ τῷ βίῳ δεξιὸν συγγε-
νῶς ἔχοντα· ἐπεὶ δὲ καὶ ἀνδρὸς οὗτος ἐλάμβανεν ἡλικίαν· καὶ νεότητος ἀκ-
μῇ σφριγῶν ἦν· οὐ κατὰ τοὺς πολλοὺς τῶν νέων ἐνδοὺς ἑαυτὸν τῆς φύσεως ταῖς
ἐνῆκεν ὁρμαῖς· χαλινὰ πάντα χαλάσας· οὐδὲ κλέπτειν εἵλετο τὰς οὐ καλὰς
ἡδονὰς· λαθραίαις καὶ μυχαιτέραις ἐξόδοις· ἀλλὰ μηδὲ τοιοῦτον μᾶλλον ἐ-

θέλων παθεῖν.

θέλων παθεῖν· ἀγεννῶς καὶ ἐξ ἀθερίως τῷ θείῳ ἀρχιερεῖ προσελθών, ἐν μέσῳ
γυναικὸς ἢ τῆς συζυγίας· ὁ δὲ θεῖος οὗτος ἐκεῖνος ἀνὴρ οὐδὲ μέχρι τοῦ καὶ ὁ
τῶν ταύτην τὸν λόγον ἀνασχόμενος, πολλοῖς ἐκέχρητο πρὸς αὐτὸν λόγοις· τῶν
Τοῦ γάμου θορύβων ὑπομιμνήσκων· καὶ ἀπαγγέλλων αὐτὸν τῆς γνώμης περὶ ὧν
μενος· ἐπεὶ δὲ σφοδρῶς ἐγκείμενον ἑώρα· ἢ μηδὲ μικρὸν ὑποδιδόντα τῆς
ἐνστάσεως, σοφίζεται τὸ πρᾶγμα λίαν καλῶς· ἐπιθυμίαν ἔχειν με εἰπὼν ναὸν τοῖς τρισὶν
ἁγίοις παισὶν ἀνεγεῖραι· οὗ τινος σε χρὴ προστῆναι τῆς οἰκοδομίας τό γε νῦν ἔχον· ἐπεὶ τὰ
τοῦ ἔργου εἰς πέρας ἐλθόντος, καὶ σοὶ χωρήσει φησὶ κατὰ γνώμην τὸ σπουδαζόμενον· ἤ-
κουσεν ἐκεῖνος· καὶ ἡδέως λίαν ἀνεδέξατο τὸ ἐπίταγμα· θερμὴν ἐπιθυμίας ἢ
πίστει χρησταῖς ἅμα τυχὼν καὶ ἀνακτώμενος· ἦν δέ τις αὐτόθι τόπος· δορύξιμον οὕτω
καλούμενος· οὗ δὴ καὶ ἔδοξεν ἐγεῖραι τὸ ἱερόν, ἔργου καὶ πάσης σπουδῆς αὐτὸς
εἴχετο· καὶ τὸ μὲν εἰς γηροκομεῖον ἀνθεὶς· τὸ δὲ εἰς αὐλὴν ἀφορίζετο· ἡ αὐλὴ δὲ μεταξὺ
τὸ ᾀδόμενον τοῦτο περιελάμβανεν ἐργαστήριον· ὅπερ εἰς ναὸν μεταβαλόντες· τοῦ
ὀνόματος μόνον ὡς ἤδη φθάσαντες ἐφήμισαν· οὐκ ἔτι δὲ τοῦ πράγματος ἀπέστησαν· ὅπερ μὲν
καὶ μᾶλλον ἀνῆκε θέσει αὐτό· καὶ ἰατρεῖον πάθους παντὸς ἀνθρώποις εἰργάσαντο· ἀλλὰ τοῦτον
δὴ τοῦτον μετεποιήθη τὸν τρόπον· καὶ ναὸς ἐξ ἰατρείου καθίστη· ἀμαθὸν ἢ
θῶς ἰατρεῖον· ταχεῖα νόσων ἀπαλλαγή· θεραπεία, μέλλησιν ἔχουσα μηδεμίαν·
Ἀλλὰ καὶ τὰς αἰτήσεις πολλάκις τῶν πασχόντων φθάνουσα· ἡ μὲν οὖν δὲ καὶ τὰ ἑξῆς
προσθετέον· καὶ οὐ ζημιωτέον θαῦμα καινὸν ἅπασι διὰ τῶν ἐκ λόγων ἐποφθέν·
εἰ καὶ μετρία δόξει παρέκβασις τοῦ μετὰ χεῖρας σκοποῦ ἡ προσθήκη τοῦ διηγήμα-
τος· ὡς γὰρ ὁ μέγας ὅλῃ σπουδῇ περὶ τὰς οἰκοδομὰς ἀπησχόλητο· εἰς ναὸν μὲν ἐμβέβα-
χεῖ τὸ ἐργαστήριον μεταβέβλητο· καὶ νοσοκομεῖον δὲ καὶ γηροκομεῖον περὶ αὐτὸ
κατεσκεύαστο· καὶ πάντα ἤδη ἐν ὀλίγῳ χρόνῳ ἀπήρτιστο· εἶτα μεταστέλλεταί
τινα ὁ ἀπολινάριος ἄνδρα ποιμενικῆς προεστηκότα· καὶ τὴν ἀρετὴν ἐπίσημον·
ᾧ γράμματα δοὺς παρὰ τοὺς ὁσίους τρεῖς παῖδας εἰς βαβυλῶνα συμπέμπει· τὰ γράμ-
ματα δὲ ἱκετεία ἦν· ὥστε τινὰ τῶν ἱερῶν ἐκείνων λειψάνων, πρὸς τὸν ἐν Ἀλε-
ξανδρείᾳ περιφημότατον ναόν· ὃν αὐτὸς πολλοῖς μὲν ἀναλώμασι· πολλοῖς δὲ καὶ πό-

δ ςδι

μοις ἐδέχετο· τοιοῦτον γὰρ τὸ περὶ αὐτοῖς ἀπολιναρίου φίλτρον· μετὰ τῆς ἐμπύ-
ρου καὶ ζωτικῆς πίστεως· ὅτι καὶ τοσούτοις ἤδη πρότερον χρόνοις τελειωθέντας· ὡς-
περ ἔτι ζῶντας αἰσθάνεσθαι τῆς ἐπιστολῆς· καὶ μέλλων αὐτῶ μεταδοῦναι τῶν οἰ-
κείων ἐπίσταλμα· σπουδῇ τοιγαροῦν τοῦ μεγάλου ταύτην ἐκείνου καὶ μεγάλων
ὑπὸ τοῦ διακόνου τὴν ὁδὸν στειλαμένου· καὶ εἰς βαβυλῶνα φθάσαντος· εἶτα καὶ
Πρὸ τῶν ἱερῶν ἐκείνων στάντος λειψάνων· καὶ τῇ χειρὶ τὰ γράμματα ὑποδείξαντος·
πλεῖστά τε δεηθέντος ὥστε δέξασθαι τὴν ἐπιστολήν· καὶ ὧν ὁ ἀρχιερεὺς αἰτεῖ μετα-
δοῦναι· ὁ μέσος αὐτῶν ὥσπερ ἐξ ὕπνου διεγερθεὶς· ὢ θείας οἰκονομίας· ὢ φρικτοῦ
διηγήματος· τὴν χεῖρά τε ἠρέμα προτείνας· καὶ τὴν ἐπιστολὴν εἰληφὼς, αὖθις οὐ-
δὲν προσθεὶς κατεκλίνετο· ὁ γοῦν τῶν γραμμάτων διάκονος· θαυμάσας μὲν ἐπὶ τῷ
θεάματι· τῷ μὴ τυχεῖν δὲ μηδενὸς ὑπὲρ ὧν ἀφίκετο λίαν ἀνιαθεὶς· ἐπεὶ παρ' ὅλην
ἑβδομάδα τῷ ναῷ παραμείνας καὶ δεηθεὶς οὐδὲν εὕρισκε πλέον, ἀνέστρεφεν ἀθυ-
μῶν· καὶ ἀντὶ λειψάνων ἀπολιναρίῳ ἐπιμίξων δάκρυα· ὁ δὲ μηδὲ οὕτως ἀπα-
γορεῦσαι· μηδὲ τοῦ μετὰ χεῖρας ἀμελήσας σκοποῦ· τοιοῦτον γὰρ ὁ πόθος· οὐ πέ-
φυκε ῥᾳδίως ἀπογινώσκειν οὐ τῶν δυσχερῶν μόνον, ἀλλ' οὐδὲ τῶν παντά-
πασιν ἀδυνάτων· ἄπιθι φησὶ καὶ αὖθις ὦ βέλτιστε· καὶ θερμότερον πάλαι τοὺς
ἁγίους αἴτησαι παρ' ἐμοῦ· καὶ ἐάν περ αὐτοῖς οἶκτος ἐπέλθῃ· καὶ τὰς ἡμετέρας δυ-
σωπηθέντες δεήσεις, ἕν γε τῶν αὐτοῦ μελῶν παράσχωσιν· εἰ δ' οὖν, ἀλλὰ τὴν ἐπιστο-
λὴν ἀναλαβὼν ἐπανήξεις· καὶ ἔσται μοι ἀντὶ λειψάνων τὸ χρῆμα· ἐπεὶ μηδὲ ἀμοι-
ρος ἐκείνη ἁγιασμοῦ· ἅτε καλῶς προσληφθεῖσα· καὶ χρόνον ἤδη συχνὸν ἱ-
ερῶν τοιούτων μελῶν ψαύσασα. πείθεται καὶ πρὸς ταῦτα ὁ πολὺς τὴν ὑπακο-
Ἠν ἐκεῖνος ἀνήρ· ἔδει γὰρ οἶμαι πρὸς τοιοῦτον πόθον· ἀπαντῆσαι τοιαύτην ὑπη-
ρετῆσαι τύχης· καὶ εἰς βαβυλῶνα πάλιν γενόμενος· καὶ προσελθὼν τοῖς ἁγίοις,
ἐδεῖτο θερμῶς· ἱκετεύων μὴ παριδεῖν· δάκρυσι μᾶλλον ἢ ῥήμασι τὴν ἱκετείαν πλη-
ρῶν· μηδ' ἀτέρας ἀπομένειν τοῦ περιάρχοντας· μηδ' ἀπέρων αὐτοῦ πόνων τῶν
κατὰ τὴν ὁδοιπορίαν ὑπεριδεῖν· ἀλλὰ πρὸς τιμὴν ἐκεῖνος ἐδέχετο αὐτοῖς ἱερὸν,
τοῦτο οἰκείοις ἂν ποδοξάσαι μέλεσι· ταῦτα ἐδεῖτο μέν, ἤνυε δὲ πλέον οὐδέν· ὁ

θερμὰ ἀπὸ γάμους ταύτης τάφων, ἀλλὰ προσηκόντως ἐμμελῶς· ἀκούσατε γὰρ πρᾶγμα καὶ
μηδ' ἀκοῦσαί τε χαριέστατον· καὶ ψυχὴν ἐκπλῆξαι θαυμασιώτατον· τῶν γὰρ τάφων ὅσων
ἀπογαμοὺς ἐκεῖνος· καὶ γοῦν ἀναλαβεῖν αὐτὴν ἐσπούδαζε τὴν ἐπιστολήν· ὥσπερ εἰ
χεὶρ ἡ πρὸς αὐτὸν ἐντολή· λαβὼν χώραν τῶν θερμῶν τὴν πίστιν ἀποπληρώσουσαν·
ταύτῃ τοι καὶ χεῖρα χειρὶ ἐμβαλὼν τὴν ἑαυτοῦ τῇ τοῦ μάρτυρος· καὶ τῆς ἐπιστολῆς
λαβόμενος· τὴν μὲν εἷλκε πρὸς ἑαυτόν· ταύτῃ δὲ ἄρα καὶ ἡ κατὰ τοῦ μάρτυρος ἠ-
κολούθει χείρ· ἣν καὶ οὗτος ἰδὼν τοῦ ὅλου διαιρεθεῖσαν σώματος· καὶ ποθούντως
ἅμα χερσὶ καὶ φρικτούντως ἀγκαλισάμενος· θησαυρῷ τε τιμίῳ τὰ τιμιώτατα
καταθείς, ᾀσμένος τὴν Ἀλεξάνδρειαν κατέλιπε· ἐφ' ᾧ τίς ποτε ἂν ἢ τὴν ἡδο-
μ νὴν καὶ φαιδρότητα παραστήσειε τοῦ πατριάρχου· ἢ τὴν τοῦ πλήθους πάλιν ἑορτὴν
καὶ πανήγυριν· οἷα δὲ μετὰ τῆς θεοσοφίας καὶ τὴν πρὸς τὸν ἀδελφιδοῦν ὑπόσχε-
σιν ἀκούσαντες καλόν· τῆς γὰρ ἐπιούσης τὸν ὑπ' αὐτῷ πάντα κλῆρον ἀθροίσας,
χεῖρα μὲν ἐκείνην· καὶ σὺν αὐτῷ τὴν ἐπιστολὴν ὑπ' αὐτῆς ἐχομένην· ἱερῶς ὁμοῦ
καὶ λαμπρῶς κατατίθεται· τά τε ἄλλα τελέσας κατὰ τὸν ναὸν φιλοτίμως· καὶ
τοῦτον ὅσα χριστιανοῖς νόμοις καθιερώσας· ἔπειτα τὸν ἀδελφιδοῦν ἀναγαγὼν
ἐπὶ ἱερέα χειροτονήσας· ἂν τότε ἡ σὰ τῷ συζύγου τὴν ἐκκλησίαν μνηστεύεται.
ἱδρύσοι καὶ ἡ γνώμη πρὸς αὐτὸν εἶπον· ἀλλὰ κήδου ταύτης ὡς προσῆκόν ἐστι· τοῦ-
το λεχθέν· οὕτω τὸν νέον διέθηκε· καὶ οὕτως αὐτοῦ καθίκετο τῆς ψυχῆς· καὶ
μετέθηκε τὴν ἐπιθυμίαν, ὡς πλέω τὸ μετὰ ταῦτα περὶ θεωρίας ἔρωτα σχεῖν·
ἢ τῶν γάμων πρότερον· ἀλλὰ περὶ μὲν τούτων ἅλις· ἡμῖν δὲ Κύρου πάλιν
Κθ τῶν Κύρου μνημονευτέον· ὃν καὶ τοῦ παρόντος λόγου ὑπόθεσιν προεθέμεθα·
οὗτος τοίνυν ἰατρικὴν γεγονὼς τῶν ἄλλων διαφορώτατος, οὐδὲν ἧττον καὶ
τὸν βίον ἡμῖν ἅπασιν ὠφελιμώτατος· τῇ μὲν τέχνῃ τὰ σώματα· τῷ τρόπῳ δὲ τὰς
ψυχὰς θεραπεύων· μᾶλλον δὲ καὶ πρό που τὰ πολλὰ φροντίζων τῶν διὰ
τῆς τέχνης· καὶ διδάσκων νόσον ψυχῆς, πολλῷ τοῦ σώματος εἶναι χαλεπω-
τέραν· ὅθεν καὶ ταύτης αἰτίαν πολλάκις ἐκείνην γενέσθαι· τοῦ δὲ αὐτοῦ
πάντων καὶ ἰατροῦ διὰ νόσου σωματικῆς· ἱκετείαν ἡμᾶς ἀποθέσθαι ψυ-

χῆς σπουδάζοντος· ἣ καὶ νόσον ἐπὶ νόντως σφαλερωτάτην καὶ δυσθεράπευτον.
ἰατρῶν γὰρ εἰς τοὺς νοσοῦντας ὁ κῦρος· οὐ τῶν γαληνοῦ καὶ ἱπποκράτους καὶ τῶν
ὁμοίων πάντως ἐμέμνητο· ταῦτα γὰρ ἐκεῖνος δευτέρου λόγου· ἀλλὰ ἀπὸ τῆς ἄ-
μεταίρας λαμβάνων πηγῆς· καὶ πολλὰς ἐπάδων αὐτοῖς τῶν προφητικῶν τε καὶ
ἀποστολικῶν, ἀλλά γε καὶ τῶν δεσποτικῶν ῥήσεων· εἶτα καὶ τὰ τῆς χάριτος προστιθείς, ὑ-
γιαίνειν αὐτοῖς οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς παρεσκεύαζε· καὶ περὶ
μικρῶν δεομένοις, αὐτὰ παρεδίδου καὶ τὰ πολλῷ μείζονα τούτων· ἀντὶ ἀσεβείας ἐπί-
γνωσιν· κακίας κάθαρσιν· σωτηρίαν ψυχῆς, ἐχαρίζετο· πολλοὺς μὲν τῶν ἀσεβῶν
ἑδραιοτέρους ἔτι πρὸς τὴν ἀλήθειαν ἐργαζόμενος· πολλοὺς δὲ καὶ τῶν ἀπίστων
τῆς ἑλληνικῆς ἐξαιρούμενος πλάνης· πολλὴ δὲ αὕτη τότε καὶ πολλῶν· ἢ καὶ τῶν
πλειόνων ἐπειλημμένη· διοκλητιανοῦ γε τὸ σκῆπτρον ἔχοντος· ὃς οὐχ ἧττον ἀπὸ τοῦ
διαδήματος μᾶλλον· ἢ ἀπὸ τοῦ περὶ τὴν δεισιδαιμονίαν τὸ ἐπίσημον ἔσχεν·
ἐν τούτῳ μὲν γὰρ πολλοὺς εὑρήσεις οἷς ἂν αὐτὸν ὁμοιώσῃς· ἐν ἐκείνῳ δὲ πάντως
ὀλίγους· ἐπεὶ δὲ οὔτε λαθεῖν ταῦτα τὸν πονηρὸν ἦν· οὔτε μὴ λαθόντα ὑπενεγ-
κεῖν ῥᾴδιον· δυσκάτοχον γὰρ ἡ κακία καὶ ἴταμον, δῆλα καὶ τῷ τῆς πόλεως
ἄρχοντι δι' αὐτοῦ γίνεται· πολλῇ καὶ αὐτοῦ κατὰ χριστιανῶν κεχρημένῳ μανίᾳ·
ὃς καὶ συλληφθέντα τὸν κῦρον, ἀθεὶ ἀχθῆναι διακελεύεται· ὁ δὲ τὸ πρόσταγμα
γνούς, τῆς πόλεως ὑπαναίρει· καὶ τῇ πρὸς αἰγύπτῳ ἀραβίᾳ γίνεται· ἀλλὰ μὴ δειλίας
ἀσθένειαν· μηδὲ μικρότητα ψυχῆς τοῦ ἀνδρὸς καταγνώτω· οὐ γὰρ πρὸς τὴν
τοῦ ἄρχοντος ὠμότητα βλέψας· οὐδὲ τὰς διὰ χριστὸν βασάνους ὑποπτήξας· οὐδὲν
μαλακὸν οὐδὲν ὑποστάς, ἐξῆλθε τῆς πόλεως· ἀλλὰ τοῦτο μὲν παράγγελμα δε-
› σποτικὸν ἐκπληρῶν· ὅταν γάρ φησι διώκωσιν ὑμᾶς ἐν τῆς πόλεως ταύτης,
› φεύγετε εἰς ἑτέραν· τοῦτο δὲ καὶ κατὰ σχολὴν ἑαυτὸν ἐπισκέψασθαι βουληθείς·
καὶ στομῶσαι καρδίαν· καὶ τόλμαν ἐνθεῖναι πρότερον· εἶτα καὶ πρὸς τοὺς ὑπὲρ
χριστοῦ χωρῆσαι κινδύνους· τάχα δὲ καὶ θειοτέρας αὐτὸν προνοίας εἰς τὴν ἀραβί-
αν παρακαλούσης· δι' οὕς τε προσαγαγεῖν ἔμελλε τῶν ἀπίστων ἐκεῖ τῷ χριστῷ· καὶ
οὓς πάλιν τῶν πιστῶν, ἀσφαλεστέρους ἐργάσασθαι· οὕτως οὖν τὴν ἀραβί-

ἐκεῖνος καὶ ἐπὶ τούτοις καταλαβών, μεταβάλλει παραχρῆμα τὸ σχῆμα· τὸν βίον·
τὸ ἐπιτήδευμα· καὶ κείρας ἐν χρῷ τὴν κεφαλήν, τὰ τῶν μοναχῶν ἀμφιέννυ-
ται· καὶ πρὸς ἀγωγὴν ὑψηλοτέραν ἀνάγεται· εἶτα καὶ τὸν τρόπον ἀμείβει
τῆς θεραπείας· οὐκ ἔστι γὰρ ἰατρὸς ὁ Κῦρος ἐλέγετο ποιῶν· ὅ περ ἦν θαυματουρ-
γὸς μᾶλλον· οὐ φαρμάκων· οὐ βοτανῶν ὅλως χρώμενος βοηθήμασιν· ἀλλ' εὐχὴ
μόνη καὶ διδασκαλία· τῇ μὲν πρὸς ψυχὰς ἐχούσας κακῶς· τῇ δὲ, πρὸς σώματα.
τῆς οὖν περὶ αὐτοῦ φήμης τὴν Ἀράβων πᾶσαν περιλαβούσης· ἤδη δὲ καὶ Ἰωάν-
νην ἀνήκοον μὴ ἀπολιπούσης τῶν ἐκείνου καλῶν· Ἰωάννην ἐκεῖνον· ὃς
εὐπατρίδης μὲν Ἐδέσσης τὸ γένος εἷλκε· τὸν δὲ τρόπον ἦν ἀκριβῶς ὁμοῦ πολιτ.
στρατιωτικὴν δὲ διαπρέπων ἀξίαν· ταύτης γοῦν τῆς φήμης καὶ εἰς ἐκεῖνον
ἀφικομένης· ὅπως περ δὲ καὶ Διοκλητιανοῦ τὸν διωγμὸν ἐπιτείναντος· καὶ ὁ καλὸς οὗτος
στρατιώτης τὴν τάξιν ἀμείψας· καὶ στρατείαν τὴν ἀντὶ μὴν ἀπολιπών, τοῖς τοῦ Χριστοῦ στρα-
τιώταις ἀγεννῶς συνεγράφετο· καὶ ἀριστεύειν κατὰ τῶν αὐτοῦ μᾶλλον ἐχθρῶν, ἢ τῶν
πρὸς αὐτοὺς πολεμίων προείλετο· διὸ καὶ πάντα ῥίψας ἀθρόως· πλοῦτον· εὐημερίαν·
δόξαν· ἀξίωμα, εἰς Ἱεροσόλυμα παραγίνεται· εἶτα καὶ πρὸς Αἴγυπτον ἐπιδημεῖ·
τῶν ἐρώτων Κύρου ἀπομιμητοῦ τούτων ἐλθόντων· καὶ ὅλῳ ποδὶ πρὸς τὸν ὁμότροπον
ἐπιταχυνάντων· οὗ ἀκούσας φιλοσοφεῖν ἐκείνῳ καὶ συνασκεῖσθαι προῃρημένον,
ὃς καὶ παραβαλὼν αὐτῷ καὶ σύνοικος γενόμενος· θεατὴς περὶ τῶν καλῶν ἐκείνου ἀγώνων
καὶ θαυμάτων γενόμενος· ζηλωτὴς ἦν ἀκμῆς ἐπιτυχών· καὶ τὸ λοιπὸν εἰς αὐτὸν ἑώ-
ρα· καὶ τῶν αὐτοῦ τῆς ἀρετῆς ἰχνῶν ἐμμελῶς εἴχετο· οὐ κατὰ μάθησιν τῶν ἐλλειπῶν,
ἀλλὰ τοῦ ὁμοίου πρὸς ἀκρίβειαν στοχαζόμενος· τοῦ διωγμοῦ δὲ ὡς προέφημεν ἀ-
γριώτερον πνεύσαντος, συλλαμβάνονται μὲν τρεῖς τὸν ἀριθμὸν παρθένοι μετὰ
μητρός, τὰ Χριστιανῶν μετιοῦσαι· ἄγονται δὲ εἰς Κάνωβον πόλιν· καλοῦμεν τὴν
μαρὰν ἐνταῦθα τῶν οὐ θεῶν ἱερατείαν διέποντος· Συριανοῦ δὲ τὴν ἀρχὴν ἔχοντ-
ταῦτα δὲ οὐ ταῖς παρθένοις καὶ τῇ μητρὶ μόναις· ἀλλ' ἤδη καὶ αὐτῷ Κύρῳ καὶ Ἰωάννῃ
καθάπερ εἰ προοίμια καὶ ἀρχαὶ τοῦ μαρτυρίου ἐτύγχανον· καὶ διαπλέκεσθαι
τούτοις ἤδη ὁ στέφανος ἤρχετο· δείσας γὰρ ὁ Κῦρος μὴ τὸ νεαρὸν τῶν παρθένων ἀπο-

δειλιάσῃ πρὸς τὸ τραχὺ τῶν κολάσεων· ἐπεὶ καὶ κομιδῇ τὴν ἡλικίαν ἦσαν νεώτεραι θεοκτ
σημεῖον γὰρ ἡ καὶ πρεσβυτάτη τῶν τριῶν ἦν πεντεκαιδέκατον ἄγουσα ἔτος· τῇ δὲ μέσῃ αὐτῶν
θεοδότῃ τρισκαιδέκατος ἦν ὁ τοῦ χρόνου· ἀδοξία δὲ ἡ τούτων ἐσχάτη, ἐνδέκατον ἔτος ἦγε·
διὰ ταῦτα γοῦν ὁ Κῦρος δειλίᾳ ληφθεὶς ὑπὲρ τῶν παρθένων· ἐπεὶ καὶ τὸ τῆς ἡλικίας ταύτης
καὶ μᾶλλον ἐν γυναιξὶν· οὐ φόβῳ κολάσεων ἁπλῶς χειρωθῆναι πρόχειρον· ἀλλὰ καὶ κολα
Κείαις ὑποφθαρῆναι πάντα πᾶσιν εὐχερές, κατελθεῖν δὲ τὴν πόλιν ἀναγκαῖον ὑπέλαβε·
καὶ ταύτας ὡς οἷόν τε πρὸς τοὺς ἀγῶνας ἐπιθαρρῦναι· φόβου γὰρ ἔξω καὶ ὑποψίας, οὐ
δὲ τὴν μητέρα τούτων ἐποιεῖτο ἀθανασίαν· τοῦτο μὲν γυναῖκα οὖσαν εὐειδῶς· τοῦτο δὲ καὶ
μητέρα θυγατέρων οὕτω νεαρῶν· καὶ ἄγουσαν ἡλικίαν· ἣν καὶ μητέρες ἀφραίνειν ὀφθαλ
μοῖς οἶδε· καὶ ὑπὲρ τοῦ μὴ δὲ αὐτὰς παθεῖν χαλεπόν τι τῶν ἀβουλήτων μητρὶ μὴ θε
λητὸν γενέσθαι παρασκευάσαι· ταῦτα μέσον ἐποίει τὸν Κῦρον· ὑπονοοῦντα μὴ καὶ
ἡ μήτηρ ἐπικλασθῇ θυγατέρων νεότητι· μὴ πάθῃ τὰ σπλάγχνα· καὶ ἡττωμένη τῆς
φύσεως, φθέγξηταί τι πρὸς αὐτὰς, ἢ καὶ μάσῃ ἐλεεινὸν καὶ ἐνδόσιμον· ταῦτα γοῦν
ὡς προέφημεν ὑπονοοῦντα τὸν Κῦρον, εἰς τὴν πόλιν εἰσάγει· τοῦτο ἄρα καὶ ὁ καλὸς
εἶπε τοιῶ ἀμμης· καὶ γίνονται τῶν ἀγώνων αὐταῖς ἀλεῖπται· καὶ τοῦ μαρτυρίου
καλὸν ἀρχέτυπον· ὅπερ ἦν οὐκ ἐκείνας τῷ μαρτυρίῳ προσαγαγεῖν· ἀλλὰ τὴν ἑαυ
τῶν ὁμολογίαν φανερὰν καταστῆσαι· μᾶλλον δὲ δι' ἀλλήλων ἑκάτερα· ὅπως αὐτοί τε
διὰ τὰς παρθένους παρρησιάσωνται τὴν ἀσέβειαν· κἀκείνας θῦμα τῷ Χριστῷ δι' ἑ
αυτῶν προσενέγκωσιν· ὑπηρέτας οὖν καὶ αὖθις οὐκ ἀμελεῖς τῆς ἑαυτοῦ κακίας
Ὁ ἐχθρὸς ἀρπικῶς, οὕτω τῶν μαρτύρων αὐτοὺς ἀναπείθει πρὸς τὸν ἄρχοντα κατατειν·
ὡς ἄρα ξένοι τινὲς ἀγνῶτες· ὁ μὲν μοναχικόν· ὁ δὲ στρατιωτικὸν σχῆμα σώζοντες·
οἱ τὰς συλληφθείσας ἄρτι παρθένους παρασκευάζουσι· θεῶν μὲν τῶν ἡμετέρων
καταφρονεῖν· δυνάμει τε πάσῃ τὴν αὐτῶν ἀπόμοτον ποιεῖσθαι θρησκείαν· καὶ
τὰ Καίσαρος διατάγματα περιορᾶν· ἦν δέ τι μαμόνον ἐπιφημίζειν· καὶ τούτῳ προσα
νεχθέντος θεῶ· εἰς ἔνδειξίν τε τῆς πρὸς αὐτὸν ἀπονοίας, μικρὸν ἡγεῖσθαι τὸν θάνατον.
Συριανὸς τοίνυν οὐ πράως ταῦτα διενεγκών· ἀλλ' ὑπὸ χεῖρα ἀγαγὼν τοὺς γενναίους·
ὑμεῖς ἔφη δύστηνοι καὶ θεῶν τῶν μακαρίων ἐχθροί· ὑμεῖς· οἱ τὰς μὲν παρθέ

μουσάρια πείθειν πειρᾶσθε· καὶ τὰ χριστιανῶν αὔξειν σπουδάζετε· καὶ ὑβρίζειν
δὲ τὰ κοινὰ σεβάσματα μηχανᾶσθε πᾶσιν· πλὴν ἀλλὰ καὶ νῦν ἢ πρότερον, ἀλλὰ μεταγνόντες τῆς ματαίας
ὑμῶν ταύτης ἀποστάντες θρησκείας· ἀλλ' αἷς τε καὶ θυσίαις τοὺς μεγίστους θεοὺς ἱλεώ-
σασθε· τοῦτο γὰρ οὐ τιμωριῶν μόνον ἐλευθέρους ὑμᾶς· ἀλλὰ καὶ τιμῶν ἀξίους
ὀφθῆναι παρασκευάσει· εἰ δὲ μή, ἀλλ' εἴσεσθε μὲν ὅσον οὔπω Συριανόν· εἴσεσθε δὲ
βασιλέα Διοκλητιανόν· ἀλλὰ καὶ θεοὺς αὐτούς· καθ' ὧν ἀνοήτως τὰ τοιαῦτα τολ-
μᾶτε· οἷς ἐκεῖνοι τοὺς ὑβριστὰς ἀμείβονται καὶ ἀναμνήσωσι· πρὸς ταῦτα ὁ Κῦρος
καὶ Ἰωάννης· ἡμεῖς εἶπον ὦ ἄρχον· ὀλίγα περὶ πολλῶν λέγειν πεφύκαμεν· ἴσθι τοί-
γαροῦν ὡς οὔτε τιμὰς ἀτίμους παραδεξόμεθα· οὔτε τὸν χριστιανισμὸν ἐπὶ δὰν
ἡγεμόνι τῷ προκοψόμεθα· τούτων ἀκούσας Συριανός· καὶ σφοδρῶς τὴν καρδί-
αν κινηθείς· καὶ τὸν ὀδόντα δεινῶς ὑποθήξας· ἔδει μὲν ὑμᾶς ὦ οὗτοι φησί· τοῦ το-
γοῦν τῆς τοῦ δικάζοντος ἀπολαῦσαι φιλανθρωπίας· τὸ μετάνοια τῶν προεγνωσ-
μένων· εἰ προθύμως σώσεσθε ἦν, τὰ ἐπιτιμηθέντα διαφυγεῖν· ἐπεὶ δὲ τῦφος ὡς ὁρῶ τὸ
πᾶν καὶ ἀλαζονεία· καὶ κόμπος κενός, οὐ μακρῶν ἔτι δεηθησόμεθα λόγων·
ἀλλὰ πρὸς αὐτὴν ἤδη τὴν πεῖραν ἥξομεν· οὕτω γὰρ αὐτοί τε τῶν ποθουμένων
κρεῶν σὺ πάντως ἐπιτάξησθε· καὶ τὸ τοῦ βασιλέως πρόσταγμα καὶ ἄκοντες
δρᾶν πληρώσεσθε· ταῦτα εἰπών· καὶ τὰς παρθένους εἰς θέαν τῶν γινομένων πα-
ραστησάμενος, πᾶν εἶδος βασάνων ἐπῆγε τοῖς ἀθληταῖς· μάστιξιν ᾔκιζε·
ῥοπάλοις συνέτριβε· λαμπάσι δὲ καίων τὰ φλεγμαίνοντα μέλη, ὄξει καὶ ἅλατι δι-
αβρέξας· εἶτα καὶ τρυχίνοις ῥάκεσιν ἀνατρίβειν ἐπέταττε· πίσσῃ τε πα-
φλαζούσῃ τοὺς πόδας ἐπέχριεν· οὐδὲ ἡ ὑπομονὴ ἐποίει τῶν κολαζομένων σώματα δεινω-
μένων· ἀλλ' ἐκεῖνοι μὲν αὐτοὺς ἀμυνόμενος· τῆς ἐνστάσεως· ἅμα δὲ καὶ τῶν παρ-
θένων προκατασείειν τὸ φρόνημα μηχανώμενος· ἐπειδὴ τοὺς ὁρῶντας μᾶλ-
λον ἢ τοὺς μάρτυρας κολάζεσθαι ἐῴκει· οἱ μὲν γὰρ καὶ ἀπὸ μόνης ἔπασχον τῆς
θέας διὰ τὴν ὑπερβολὴν τῶν κολάσεων· τοῖς δὲ πάντα καθ' ἡδονὴν ἦν διὰ
τὴν ἐπίδα τῆς ἀντιδόσεως, αὐτοὺς μὲν ἀφίησι τῶν βασάνων· αἰκίζεσθαι
δὲ τὰς παρθένους ἐκέλευσεν ἀναμενεῖ· ὡς δὲ καὶ τούτων εἰς πεῖραν ἰὼν ἠ-
σχύνετο μᾶλλον·

οὐδὲ γυναικῶν ἁπλῶς κρατῆσαι δυνάμενος· ἐθεώρει τὸ γὰρ ἀπὸ τοῦ χεῖρας προσφέρειν τοῖς τοῦ Χριστοῦ μάρτυρας ἐάσαι διαφέρειν· τὰς δέ γε ψυχὰς οὐδὲν αὐτῶν ἧττον ἠρρενωμέναι· ἢ τὴν μίμησιν πάνυ τὴν πρὸς αὐτοὺς ἀκριβώσασαι· ἐπεὶ ταῦτα οὕτως ὁ ἀδικώτατος κριτής, θάνατον αὐτῶν κατακρίνει· καὶ τμηθῆναι τὰς κεφαλάς, τῶν ζωῆς ἀξίων ὥσπερ ἄρα καὶ γέγονεν, ἀποφαίνεται· τὰς μὲν οὖν παρθένους σὺν τῇ μητρὶ χεῖρες δημίων λαβοῦσαι, τῷ διὰ ξίφους θανάτῳ παρέπεμψαν· οὐδὲν γυναικεῖον ἢ ἄνανδρον πρὸς τὴν σφαγὴν ἐπιδειξαμένας· ἀλλ᾽ ὅπερ ἔλαβον ἀποδούσας, καὶ γενομένας τοῖς

Τοῖς ὑπόδειγμα γενναιότητος· οἷς αὐταὶ πρότερον καλὸν ἀρχέτυπον εἰς ἀνδρείαν εἰλήφασι· Κῦρον δὲ πάλιν ὁ δικάζων καὶ Ἰωάννην ἐκάλει πρὸς τὰ παλαίσματα· οὓς τὶ μὲν ἐπὶ τὸ δυσσεβὲς μεταπεῖσαι προῃρημένος· λόγοις [illegible] καὶ παρῄνει καὶ δέξασθαι προσποιούμενος· ἠπείλει τὰ χαλεπώτατα παθεῖν μὴ βουλομένοις· προτείνει δωρεάς· ὑπερβάλλει τιμωρίαις· ἀπειλὰς ἐπάγει μείζους· οὐ κολάσεις μόνον, ἀλλὰ καὶ ἀγαθῶν ἐπιδόσεις· ὡς περιφρονηθῆναι τὰς προλαβούσας ὑπολαβὼν διὰ πολλὴν ἀνδρείαν· ἢ ἐπιθυμίας μεγαλοπρέπειαν· ἐπεὶ δὲ πάντα ποιῶν οὐδὲν ἤνυε, τὴν ψῆφον ἐπάγει κατ᾽ αὐτῶν· Κῦρον μὲν πάντων τῶν Γαλιλαίων προστάτην· καὶ Ἰωάννην τὸν τοσοῦτο βας αὐτῷ παραπλήσιον· τοῖς αὐτοκρατόρων οὐχ ὑπείξαντας δόγμασι· καὶ θυσίας τοῖς μεγίστοις θεοῖς μὴ προσενεγκόντας, ἀποτμηθῆναι τὰς κεφαλὰς κατὰ τὸν κρατοῦντα νόμον ἀποφαινόμεθα· ταῦτα ψηφισαμένου Συριανοῦ, δέχονται παραχρῆμα καὶ οὗτοι [illegible] τὴν ἐκτομήν· ἀθανάτῳ δὲ τὸν ἐξ οὐρανοῦ

στέφανον· ἐπὶ τριακάδι καὶ πρώτῃ ἄγοντος τοῦ Ἰαννουαρίου μηνός· ὧν μέντοι λειψάνων οἱ φιλευσεβεῖς οὐδαμῶς ὠλιγώρισαν· τὴν τοῦ καιροῦ δυσκολίαν ὑποσταλέντες· ἀλλὰ χεῖρας εὐθὺς σπουδαιοτάτας εἰσενεγκόντες, εὐλαβῶς καὶ ὁσίως ἀνείλοντο ταῦτα· καὶ περιστείλαντες ἐν τῷ τοῦ ἀποστόλου Μάρκου ναῷ λαμπρῶς ἐκεῖσε κατατίθενται· πλὴν ὅσον αὐτοῖς αἱ θῆκαι διάφοροι· ἀλλ᾽ ἡ μὲν γὰρ τὰ τῶν παρθένων καὶ τῆς μητρὸς· ἑτέρα δὲ πάλιν τὰ Κύρου καὶ Ἰωάννου περιέχεται· χρόνῳ δὲ ὕστερον τοῖς ἕλλησι μὲν καταλυ

θεὸν ἐκ τῆς σταυραμίδος. Θεοδοσίου δὲ τὸ τῆς βασιλείας σκῆπτρον ἀνειληφότος.
ἀσεβῶς ἐπὶ τῶν τῆς ἀσεβείας φίλων χριστιανῶν ἡγουμένου, κινεῖται καὶ τοῦ-
τα καὶ μετατίθεται. τὸ δὲ ὅπως, ἐπεὶ μὲν οὖν καὶ παρὰ πᾶσι τοῖς φιλοθέοις διήγημα.
Θεοδοσίου τὴν βασιλείαν ὡς προέφημεν ἄρτι παραλαβόντος, μέγιστος ἐν

Τῶν πρὸς ἑσπέραν κινεῖται καὶ χαλεπὸς πόλεμος, πολλὰ γὰρ ἀθρόον ἔθνη ἐ-
πὶ τὸ αὐτὸ συνδραμόντα. συνθήκας τε πρὸς ἑαυτὰ θέμενα. ἐπικραγῆ ἐπεί-
λουν τῇ Ῥωμαίων ἀρχῇ τὴν ἔφοδον. δείσαντα οὖν τότε τὸν μέγαν ἐν βασιλεῦσι
τοῦτον Θεοδόσιον. μήτε πρὸς συλλογὴν ἀποβλέπεσθαι χρημάτων. μήτε τινὰ
χεῖρα συγγενῶν εἰς συμμαχίαν ἐπικαλέσασθαι. ἀλλ' οἷος ἐκεῖνος ἐπὶ πᾶσιν ἁρμόνης
τῆς ἄνωθεν ἠρτῆσθαι χειρός, οὕτω δὴ καὶ τότε ἠργυ καὶ ταῦτα ἐποίει. καὶ ποιῶν οὐχ ἥμαρ-
τανε. μαθὼν γὰρ ὡς κατὰ τὴν σκήτην. ἔρημος δὲ αὕτη πρὸς Αἴγυπτον μὲν κει-
μένη. οὕτως δὲ ὀνομαζομένη. φιλοσοφεῖ τις ἀνήρ. γένος μὲν καὶ αὐτὸς Αἰγύ-
πτιος. μέγιστος δὲ θαυμάτων δημιουργός, Θεοφίλῳ παραχρῆμα τῷ τῆς Ἀλε-
ξανδρείας ἐπισκόπῳ γράφει. κελεύων ὥστε τὸν θαυμάσιον ἐκεῖνον ἄνδρα,
παρασκευάζειν τὴν Κωνσταντίνου πρὸς τάχος καταλαβεῖν. προσέκειτο δὲ
καὶ ἡ τῆς παρουσίας χρεία τοῖς γράμμασιν. ὁ δὲ ταῦτα δεξάμενος, παρ' αὐτὸν
ὡς εἶχεν εὐθὺς ἀφικνεῖται. καὶ τὰ γράμματα δούς, τὴν τοῦ βασιλέως ἀξίωσιν
καὶ τὴν ἐπισπεύδουσαν χρείαν αὐτῷ παραγγέλλει. εἶτα καὶ τὰ παρ' ἑαυ-
τοῦ ποιεῖ. δεῖται καὶ αὐτὸς οἴκοθεν. λιπαρεῖ θερμῶς. ἱκετεύει μήτε τὰς τοῦ

Βασιλέως δεήσεις παριδεῖν, μήτε κόπους τοὺς αὐτοῦ ἀτιμάσαι. ἀλλὰ ἢ τῇ πόλει
ἐπιφοιτῆσαι. καὶ τὸν κατ' αὐτῆς πόλεμον ἀγχοῦ τῇ προσθεῖναι ἀποστρέψαι. ἢ γοῦν δι-
μου τε τηλικούτου καὶ φόβου ταύτην ἀπαλλάξαι. οἱ παρ' αὐτῷ τοῦ σωθῆναι
τὴν πόλιν ἢ ἀπολέσθαι κειμένου. ὁ μέντοι θαυμαστὸς ἐκεῖνος Σενούφιος.
τοῦτο γὰρ ὁ ἀνὴρ ἐκαλεῖτο. πρῶτα μὲν ὡς εἰκὸς ἀπηγόρευσε τὴν ἀξίωσιν. οὐ
πρὸς τὸ μέτρον ἧς εἶχε χάριτος. ἀλλὰ πρὸς τὸ ἄμετρον μᾶλλον ἧς ἐπλούτει
ταπεινώσεως ἀφορῶν. ἡ μὲν ἐμὴ ἄγνοια ἡ πρὸς τὴν πόλιν λέγων, πολλή.
καὶ τὸ θέλειν ἀσώζεσθαι ταύτην ἐσχάτως θερμόν. πλὴν μᾶλλον τῷ θελήματι

τίμου

ἡ τοῦ ἰσχύειν αὐτῆς πρὸς θεὸν παρρησίας ἀκολουθεῖ. καὶ αὐτὸν μὲν δὴ τὸν Ἀλεξανδρείας,
μὴ τοιαῦτα περὶ αὐτοῦ φρονεῖν· μηδὲ τούτων δὴ τῶν πολλῶν ἡγεῖσθαι διαφέρειν
ἠξίου· ἐπεὶ δὲ τὸ παράπαν αὐτὸς οὐ μεθίετο· μὴ ἔχων ὅτι πάθῃ λοιπὸν ὁ μέγας Σι-
νούθιος· τὴν μὲν ἀποδημίαν, ὡς ἀπρεπῶς ἂν ἀναβάλλεται· τὰ δὲ τῆς βοηθείας ἢ οὐ-
πω δίδωσι· καὶ ποιεῖ μᾶλλον αὐτὴν θαυμασιωτέραν· ἔστη περ γὰρ ἀθρόως πρὸς ἀνατολάς.
, καὶ τὴν ἐπωμίδα καὶ τὴν βακτηρίαν ἐς οὐρανοὺς ἀνασχών, δέσποτα ὁ θεὸς εἶπεν· ὁ θεὸς τῶν
, δυνάμεων· δὸς καὶ ταύτῃ μου τῇ ἐπωμίδι καὶ τῇ βακτηρίᾳ τοσοῦτον ἰσχῦσαι, ὅσον περ
, ἂν καὶ αὐτῷ ἐμοὶ εἴγε δὴ ἐκεῖ παρῆν. ταῦτα πρὸς θεὸν εἰπών· τὰς εὐχὰς ἐν αὐταῖς τὸν ἀρ-
Χιερεῖ δίδωσι· δέξαι ταῦτα λέγων· καὶ πέμψον τῷ βασιλεῖ κατὰ τάχος· κἀκεῖνος τὴν
μὲν ἐπωμίδα τῇ κεφαλῇ περιθέσθω· τὴν βακτηρίαν δὲ τῇ χειρὶ φερέτω· ἔνθα δ' ἂν ἐμ-
συμβάλλειν τοῖς πολεμίοις ἡ χρεία καλῇ. τῶν ἄλλων προεξίτω πάντων· ἡ θαρρῶν
χωρείτω κατὰ τῶν πολεμίων· εἴπερ ἀκουστὸς ἐγὼ παρὰ τῷ θεῷ. καὶ αὐτὸν οἶμαι φοβερ-
ὸν ἐκείνοις γενέσθαι καὶ ἀναιμωτὶ τὴν νίκην ἀκλεῶς ἄρασθαι. τούτων ἤδη ὡς τῷ
βασιλεῖ κομισθέντων, φρουρεῖται μὲν τὴν κεφαλὴν ἐκεῖνος τῇ ἐπωμίδι. παν-
τὸς κράνους οὐδ' ὅσον εἰπεῖν ἀσφαλέστερον· ὁπλίζεται δὲ τῇ βακτηρίᾳ τὴν δεξιάν.
πολλῷ δόρατος κραταιότερον· καὶ οὕτω φοβερὸς προσοφθῆναι τοῖς πολεμίοις βαρ-
βάρων· ἢ τὸν πάλαι φασὶν Ἡρακλέα τὸ πρότερον. προσιόντων δὲ ἤδη τῶν πολεμίων.
ὁρμᾷ πρῶτος αὐτὸς τοῦ παντὸς στρατεύματος ἐξηγούμενος· ἀλλ' ἡ δὲ τῇ πρὸς τὸν θεὸν
Σινουθίου μέλλειν οὐκ εἶχεν· ἀλλ' εὐθέως πέρας ἐλάμβανεν· ἅμα τε γὰρ εἶδον αὐτὸν
οἱ βάρβαροι· καὶ ὥσπερ ἐμμάτων ὀπισθίων καταπλαγέντες, ἐς φυγὴν ἀθρόως ἔβλεψαν.
καὶ ποδῶν ἀρετὴν ἐπῄνουν· ἔφυγον δ' οὐ σὺν κόσμῳ τινὶ καὶ τάξει ὡς μὴ πάντα πά-
σιν ἀλκῆς ἐπιλελησμένοι· ἀλλ' ὡς ἂν ἄφρονες καὶ κατάφοβοι. ἀλλ' ὡς ἀλλαχοῦ
διεσκεδασμένοι· νῶτα τοῖς βουλομένοις ῥᾴδια· θήραμα ἀκλεές· ἀσφαλὴς δίωξις.
· καὶ κινδύνου παντὸς ἐλευθέρα. καὶ αὐτοὶ μᾶλλον ὑπὸ τῆς ἀκόσμου φυγῆς. πλὴν
ἢ τραυμάτων ἀλλήλοις ἢ καὶ θανάτου πρόξενοι· ὥστε μὴ ἀναιμωτὶ τὸν βασιλέα
μόνον· ἀλλὰ καὶ ἀπονητὶ τὴν νίκην ταύτην ἐνέγκασθαι· ἑορτὴν ἐκεῖνος ὠ-
νόμασε τήνδε τὴν ἡμέραν· καὶ νῦν πάνδημος Ἀλεξανδρεῦσιν αὕτη καὶ πολυτε-

λῆς διὰ χρόνου· ἐκόμιον οὕτω παρ' αὐτοῖς ὀνομαζόμενον· πεποίηται γὰρ δή τις τοῦ βασιλέως
αὐτοῖς καὶ Κανώβῳ ὁ πλησιάζων τὸν τόπον πρόσωπον· καὶ τὴν μὲν κεφαλὴν τὴν ποταμίδα περίκει-
μένη· τὴν δεξιὰν δὲ τὴν βακτηρίαν προΐσχουσα· οὕτω δὲ τῶν Ἑλλήνων ἀπηνθηκότων.
ὅτι τῆς Ἀλεξανδρέων πρὸς τὰς ἐκκλησίας· ἑλληνικῶν μὲν πάντα καθηρέθη σεβάσματα·
Ναοῖς δὲ τὴν πόλιν ἐκόσμει· καὶ ἱεροῖς ἱδρύμασί τε καὶ ἀναθήμασι· καὶ τέμενος
ἐν Κανώβῳ τό, τε μέγεθος καὶ τὸ κάλλος ὑπερφυὲς τοῖς ἀποστόλοις ἐδείματο· οὗ μεῖ-
ον ἤδη καὶ δύο σταδίους τῆς πόλεως ἀπέχον· ἐπίσημος δὲ καὶ αὐτοῖς Ἕλλησιν ὁ τό-
πος· καὶ ὀνόματος οὐκ ἐλαχίστου ἠξιωμένος· τεκμαίρεσθαι δὲ ἔξεστι τῇ ὁδῷ τῇ
πρὸς αὐτὸν φερούσῃ ὅπως πλαξὶ κατέστρωται πάσῃ· ἢ λίθοις ἁρμοσμένοις· ἢ τῷ τῶν
προαστείων πλήθει καὶ βαλανείων κεκόσμηται· ἃ δὴ καὶ πιστὰ παράλογος πρὸς τοῖς ἐκεῖσε
εἶναι· καὶ ἐπὶ τῶν ἡμετέρων διαβῆναι χρόνων· πρὸς δὲ καὶ τῇ ἀγορᾷ καὶ τῇ τῶν ὠνί-
ων ἀφθονίᾳ περιττῶς ἔχει· τῆς γὰρ πόλεως ταύτης τοῦ Κανώβου φημί· κώμη τις ἦν δυ-
σὶ σταδίοις διεστηκυῖα· Μανουθὲς καλουμένη· καὶ ἡ κώμη ἤδη δαιμόνων ἦν κατοικη-
καὶ πονηρῶν πνευμάτων διατριβή· Θεόφιλος δὲ οὗτος ὁ τῆς Ἀλεξανδρείας ὡς προέφημεν
πρόεδρος· καθαρὸν δαιμόνων ἀποδεῖξαι βουληθεὶς τὸ χωρίον· καὶ χαρακτῆρ-
σιν αὐτὸ καὶ τύποις τῶν τοῦ Χριστοῦ εὐαγγελιστῶν τε καὶ ἀποστόλων· οἷά τισι φυλακτη-
ρίοις διαλαβεῖν, οὐκ ἔφθασε τὴν γνώμην εἰς ἔργον προαγαγεῖν· μεταξὺ γὰρ
ἡ τελευτὴ ἐπιστᾶσα τὸ ἀπαραίτητον ἀνθρώποις χρέος, τῆς παρούσης αὐτὸν ἀπῆγε
ζωῆς· ἐπέταξε μέντοι καὶ Κυρίλλῳ τὸν θρόνον· ὧν ἐπηρείας ἀπαλλάξαι τὸν τόπον.
Πολλὰ δὲ περὶ τούτου πολλάκις τοῦ θεοῦ δεηθέντι, ἄγγελος αὐτῷ κατ' ὄψιν ἐπιφανείς,
ἐπισκήπτει τὰ Κύρου φημὶ τοῦ μεγάλου· καὶ Μάρκου δή που τοῦ εὐαγγελιστοῦ φη-
μὶ λείψανα, τῇ κώμῃ τῇδε θησαυρισθῆναι· οὕτω γὰρ ἂν τῆς τῶν δαιμόνων βλάβης
ἐλευθερωθῆναι· διατί δὲ μὴ καὶ τὰ Ἰωάννου εἴρηκε; Κυρίλλῳ μὲν ἴσως ἀπε-
δείχθη· δῆλον δὲ πᾶσιν ἁπλῶς ὅτι τῷ Κύρῳ πάντως ὄνομά τι, καὶ τὸ Ἰωάννου
συνυποφαίνεται· καθάπερ γὰρ κοινὸς αὐτοῖς καὶ ὁ τρόπος, ἢ ἡ διὰ Χριστὸν ὁμολογία
ἢ ἡ τελείωσις, οὕτω δὴ καὶ ἡ κλῆσις ἁπλῆ πάντως καὶ ἀδιάφορος· ἐνταῦθα μὲν εἰς
Μανουθὲς τὰ μαρτυρικὰ λείψανα τούτων· ὀψὲ δὴ καὶ ὁ καὶ Δίδυμος Ἰουμίους χαμ-

πρῶτα ἅμα καὶ ἱερῶς κατατίθεται· φυλακὴ τῇ κώμῃ· δαιμόνων φυγή· νοσημάτων ἀπαλλαγή· καὶ ἣν ὥσπερ τόπος ἀνειμένος ἐστὶ θεῷ μάρτυσί τε τοῖς ἐκείνου καὶ ὑπουργοῖς. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις. νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν:· Τέλος μηνὸς ἰαννουαρίου:·

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννου ἀρχιεπισκόπου κωνσταντινουπόλεως τοῦ χρυσοστόμου· ἐγκώμιον εἰς τὸν μελέτιον ἀρχιεπίσκοπον ἀντιοχείας· καὶ εἰς τὴν σπουδὴν τῶν συνελθόντων:- [illegible]

Πανταχοῦ τῆς ποίμνης τῆς ἱερᾶς ταύτης τὰς ἀγέλας περιφέρων τοὺς ὀφθαλμούς· καὶ τὴν πόλιν ἅπασαν παροῦσαν ἐνταῦθα βλέπων, οὐκ ἔχω τίνα μακαρίσω πρότερον τὸν ἅγιον μελέτιον· ὅτι τοσαύτης καὶ μετὰ θάνατον ἀπολαύει τιμῆς, ἢ τὴν ὑμετέραν ἀγάπην· ὅτι τοιαύτην καὶ μετὰ τὴν τελευτὴν περὶ τοὺς ποιμένας τοὺς ὑμετέρους εὔνοιαν ἐπιδείκνυσθε· μακάριος μὲν γὰρ ἐκεῖνος· ὅτι τοιοῦτον ἴσχυσεν ἀφεῖναι φίλτρον, πᾶσιν ὑμῖν· μακάριοι δὲ καὶ ὑμεῖς ὅτι τῆς ἀγάπης δεξάμενοι τὴν παρακαταθήκην, ἀκέραιον αὐτὴν τῷ παρακαταθεμένῳ, μέχρι νῦν φυλάττοντες, διεμείνατε· καὶ γὰρ πέμπτον ἔτος ἤδη παρέδραμεν· ἐξ οὗ πρὸς τὸν ποθούμενον ἀπεδήμησεν ἰησοῦν ἐκεῖνος· καὶ καθάπερ χθὲς καὶ πρώην αὐτὸν ~~φίλτρον~~ ἑωρακότες, οὕτω μετὰ ζέοντος τοῦ φίλτρου, πρὸς αὐτὸν ἀπηντήκατε τήμερον· διὰ ταῦτα ζηλωτὸς ἐκεῖνος· ὅτι τοιούτους ἐγέννησεν υἱούς· ζηλωτοὶ δὲ καὶ ὑμεῖς, ὅτι τοιοῦτον ἔχετε πατέρα.

Γενναία ἡ ῥίζα καὶ θαυμασία· ἀλλὰ καὶ οἱ καρποὶ τῆς ῥίζης ἄξιοι· καὶ γὰρ καθάπερ ῥίζα ~~καὶ~~ τις θαυμαστὴ τοῖς κόλποις κρυπτομένη τῆς γῆς, αὐτὴ μὲν οὐ φαίνεται· διὰ δὲ τῶν καρπῶν τῆς οἰκείας ἀρετῆς τὴν ἰσχὺν ἐπιδείκνυται, οὕτω δὴ καὶ ὁ μακάριος μελέτιος· ἐν τῇ λάρνακι ταύτῃ κρυπτόμενος, αὐτὸς μὲν ἡμῖν τοῖς τοῦ σώματος ὀφθαλμοῖς, οὐκ ἔστι καταφανής· διὰ δὲ ὑμῶν τῶν καρπῶν, τῆς οἰκείας χάριτος τὴν ἰσχὺν ἐπιδείκνυται· καὶ ἡμεῖς μὲν σιγήσωμεν· ἀρκεῖ γὰρ μόνη ἡ ἑορτή· καὶ τῆς ὑμετέρας σπουδῆς ἡ θερμότης· σάλπιγγος λαμπρο-

πρὸς ἀναβοῶσι, τοῦ ἁγίου Μελετίου τὸ φίλτρον· οὕτω γὰρ ὑμῶν τὴν διάνοιαν ἐξέκαυσε πρὸς τὸν ἔρωτα τὸν αὐτοῦ· ὥστε καὶ πρὸς ψιλὸν τὸ ὄνομα διαθερμαίνεσθαι, καὶ πρὸς αὐτὴν διανίστασθαι τὴν προσηγορίαν· διὰ τοῦτο καὶ ἐγὼ νῦν, οὐχ ἁπλῶς, ἀλλ' ἐπιτηδὲς καὶ ἀπὸ σπουδῆς· συνεχῶς αὐτὸ τοῖς ἐμαυτοῦ λόγοις ἐνείρω· καὶ καθάπερ τις στέφανον πλέκων χρυσοῦν· εἶτα μαργαρίτας ἐντιθεὶς τῇ πυκνότητι τῶν λίθων· λαμπρότερον ἐργάζεται τὸ διάδημα, οὕτω δὴ καὶ ἐγώ· τὸν τῶν ἐγκωμίων

Στέφανον τῇ μακαρίᾳ αὐτοῦ πλέκων κεφαλῇ τήμερον· ὥσπερ τινὰς μαργαρίτας, πυκνότητα τῆς προσηγορίας αὐτοῦ, τὴν συνεχῆ ἐνυφαίνω τῷ λόγῳ· ποθεινότερον ταύτῃ καὶ λαμπρότερον, κατασκευάζειν αὐτὸν προσδοκῶν· οὕτω γὰρ φιλούντων ὁ νόμος· καὶ ψιλὰ τὰ ὀνόματα περιπτύσσεσθαι τῶν ἐρωμένων· καὶ πρὸς αὐτὰς διαθερμαίνεσθαι τὰς προσηγορίας· ὃ δὴ καὶ ὑμεῖς πεπόνθατε ἐπὶ τοῦ μακαρίου τούτου· παρὰ γὰρ τὴν ἀρχὴν αὐτὸν εἰς τὴν πόλιν εἰσελθόντα δεξάμενοι· τὸ παιδίον ἕκαστος τὸ ἑαυτοῦ ἀπὸ τῆς προσηγορίας εἰς τὴν οἰκίαν ἕκαστος τὴν ἑαυτοῦ τὸν ἅγιον ἐκεῖνον ἐνόμιζον εἰσάγειν· καὶ πατέρες· καὶ πάπποι· καὶ πρόγονοι· παρατρέχουσαι μητέρες· τὸ ὄνομα τοῦ μακαρίου Μελετίου, τοῖς τεχθεῖσιν ἐπετίθεσαν· ἐνίκα γὰρ τὴν φύσιν ὁ τῆς εὐλαβείας πόθος· καὶ τὰ τικτόμενα λοιπόν· οὐκ ἀπὸ τῆς κατὰ φύσιν φιλοστοργίας μόνον· ἀλλὰ καὶ ἀπὸ τῆς πρὸς τὴν προσηγορίαν ἐκείνην διαθέσεως· ποθεινὰ τοῖς φυτεύσασιν ἦν· τὸ γὰρ ὄνομα αὐτοῦ καὶ συγγενείας κόσμον καὶ οἰκίας ἀσφάλειαν· καὶ τοῖς προσκαλουμένοις σωτηρίαν· καὶ τοῦ πόθου παραμυθίαν εἶναι ἐνόμιζον· καὶ καθάπερ ἐν σκότῳ καθήμενοί τινες· μιᾶς λαμπάδος ἀφθείσης· πολλοὺς ἀνάψαντες λύχνους εἰς τὴν οἰκίαν ἕκαστος εἰσάγει τὴν ἑαυτοῦ, οὕτω δὴ καὶ τῆς προσηγορίας ἐκείνης· ὥσπερ φωτὸς

Εἰς τὴν πόλιν ἐμπεσούσης· ἕκαστος ὥσπερ λύχνον ἀνάπτων, εἰς τὴν οἰκίαν εἰσῆγε τὴν ἑαυτοῦ, τὸ τοῦ μακαρίου ποτὲ ἐκείνου ὄνομα· ὥσπερ τινὰ μυρίων ἀγαθῶν θησαυρόν· διὰ τῆς ἐπωνυμίας εἰσφέρων· καὶ ἦν πολλῆς ἀγάπης καὶ εὐλαβείας διδασκαλία τὸ γινόμενον· συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι· καὶ τὸν ἅγιον ἐκεῖνον εἶχον ἐπὶ ψυχῆς· παντὸς

γὰρ ἀλόγου πάθους ἢ λογισμοῦ φυσαδωτήριον· εἶχον τὸ ὄνομα καὶ οὕτω πολὺ γέγονε τοῦτο,
ὡς πανταχοῦ καὶ ἐν ἀμφόδοις, ἢ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τοῦτο πανταχόθεν περιηχεῖσθαι τὸ
ὄνομα· οὐ πρὸς τὸ ὄνομα δὲ τοσοῦτον ἐπάθετε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος
τὸν τύπον. ὅπερ γὰρ ἐν ὀνόματι ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξα-
τε τῆς ἐκείνου· καὶ γὰρ ἐν δακτυλίων σφενδόναις· καὶ ἐν ἐκτυπώμασι· καὶ ἐν φιά-
λαις· καὶ ἐν θαλάμων τοίχοις· καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην ἐνεχάραξαν
πολλοί· ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης· ἀλλὰ καὶ ὁρᾶν αὐτοῦ παν-
ταχοῦ τοῦ σώματος τὸν τύπον· καὶ διπλῆν τῆς ἀποδημίας ἔχειν παραμυθίαν·
καὶ γὰρ εὐθέως εἰσελθὼν τῆς πόλεως ἐξεβάλλετο· τῶν τῆς ἀληθείας ἐχθρῶν, ἀπελαυ-
νόντων αὐτόν· ὁ δὲ θεὸς οὕτω συνεχώρησεν, ὁμοῦ καὶ τὴν ἀρετὴν ἐκείνου· καὶ τὴν ἀνδρεί-
αν τὴν ὑμετέραν δεῖξαι βουλόμενος· ἐπειδὴ γὰρ εἰσελθὼν καθάπερ Μωσῆς εἰς Αἴγυπτον·
αἱρετικῆς τὴν πόλιν ἀπήλλαξε πλάνης· καὶ τὰ σεσηπότα μέλη καὶ ἀνίατα ἔχοντα τοῦ
λοιποῦ σώματος ἀποκόψας· ἀκέραιον τὴν ὑγείαν, ἐπανήγαγε τῷ πλήθει τῆς ἐκκλησίας·
οἱ τῆς ἀληθείας ἐχθροὶ τὴν διόρθωσιν οὐκ ἐνεγκόντες· τὸν τε βασιλέα ἀναπείσαντες,
τῆς πόλεως αὐτὸν ἐξέβαλον ταύτης· προσδοκῶντες περιέσεσθαι τῆς ἀληθείας· καὶ
τὴν τῶν γεγενημένων ἀναιρήσειν διόρθωσιν· ἐγένετο δέ, τοὐναντίον ἢ προ-
σεδόκησαν· καὶ ἐκείνου διέλαμπεν ἡ τῆς διδασκαλικῆς ἐπιστήμης ἀπόδειξις·
ἐκείνου μὲν, ὅτι ἐν τριάκοντα ἡμέραις οὐδὲ ὅλαις· οὕτως ἴσχυσεν, ὡς μυρίων
μετὰ ταῦτα προσβαλόντων πειρασμῶν, ἀσάλευτον μεῖναι τὴν διδασκαλίαν ἐκεί-
νην· ὑμῶν δὲ ἡ θερμότης ἐδείκνυτο· ὅτι ἐν τριάκοντα οὐδὲ ὅλαις ἡμέραις· οὕτω μετὰ
ἀκριβείας τὰ παρ᾽ ἐκείνου καταβληθέντα ἐδέξασθε σπέρματα, ὡς πρὸς τὸ βάθος
τῆς διανοίας παραπέμψαι τὰς ῥίζας· καὶ μηδενὶ τῶν προσενεχθέντων ἐνδοῦναι
λοιπὸν πειρασμῶν· ἄξιον δέ, μηδὲ ἐκεῖνο παραδραμεῖν· ὅπερ ἐπὶ τῷ διώξειν αὐτὸν
ς συνέβαινεν· ἐπειδὴ γὰρ ὁ τῆς πόλεως ἄρχων· τὸ ὄχημα ἐλαύνων διὰ μέσης ἐξῄει τῆς
ἀγορᾶς· πλησίον δὲ αὐτοῦ τὸν ἅγιον καθίσας ἐκεῖνον· ῥιπάδας λίθων πανταχόθεν
ἔφερον τὸ, ἐπὶ τὴν τοῦ ἄρχοντος κεφαλήν· οὐ φέρουσι τῆς πόλεως τὸν χωρισ-
μόν· ἀναιρουμένης καὶ τῆς παρούσης ἐπιστείρξωσης, ἢ τὸν ἅγιον ἐκεῖνον ἀ-

[illegible]μην ἰδεῖν· πῶς ὁ μακάριος ἐκεῖνος τότε ἐποίησεν· ἰδὼν ταῖς τῶν λίθων βο-
λαῖς τοῖς ἱματίοις τοῖς ἑαυτοῦ περιβαλὼν· ἀπέκρυψε τοῦ ἄρχοντος τὴν κεφαλήν· ὁμοῦ περὶ τοὺς ἐχ-
θρούς· τὴν ἐκείνου ἐπιείκειαν ἐντρέπων ὑπερβολῇ· καὶ τοὺς αὐτοῦ μαθητὰς παιδεύων· ὅσην πε-
ρὶ τοὺς ἀδικοῦντας ἀνεξικακίαν ἐπιδείκνυσθαι χρή· καὶ ὡς οὐ μόνον οὐδὲν αὐτοὺς ἐργά-
ζεσθαι δεινὸν προσῆκεν· ἀλλὰ καὶ παρ' ἑτέρων αὐτοῖς ἐπιόντα κίνδυνον, καὶ τοῦτον μετὰ
πάσης ἀποκρούεσθαι τῆς σπουδῆς· τίς οὐκ ἔφριξε τότε· καὶ τῆς πόλεως τὸν μα-
νικὸν ὁρῶν ἔρωτα· καὶ τοῦ διδασκάλου τὴν ἄκραν φιλοσοφίαν· καὶ τὴν ἐπιείκειαν
καὶ τὴν πραότητα καταπληττόμενος· καὶ γὰρ ἦν παράδοξα τὰ τότε συμβάντα· ὁ ποι-
μὴν ἀπηλαύνετο· καὶ τὰ πρόβατα οὐκ ἐσκορπίζοντο· ὁ κυβερνήτης ἐξεβάλλετο, καὶ
τὸ σκάφος οὐκ ἐβαπτίζετο· ὁ γεωργὸς ἐδιώκετο, καὶ ἡ ἄμπελος ἐκαρποφόρει πλείον·
ἐπειδὴ γὰρ τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς ἀλλήλους ἦτε συνδεδεμένοι· οὐ πειρασμῶν
ἐπαγωγαί· οὐ κινδύνων ἐπαναστάσεις· οὐχ ὁδοῦ μῆκος· οὐ χρόνου πλῆθος· οὐ-
κ ἄλλο οὐδὲν ἴσχυσεν ὑμᾶς διαστῆσαι τῆς συνουσίας τοῦ μακαρίου ποιμένος Με-
λετίου· ἀλλ' ἐξέβαλλε τὸ μὲν, ὡς τῇ μακρᾷ γενέσθαι τῶν τιμωρῶν· συνέβαινε δὲ,
τοὐναντίον· μᾶλλον γὰρ ὑμῖν συνεσφίγγετο τοῖς τῆς ἀγάπης δεσμοῖς· καὶ πᾶσαν
τὴν πόλιν μεθ' ἑαυτοῦ λαβὼν, εἰς Ἀρμενίαν ἀπήει· καὶ τὸ μὲν σῶμα, ἐπὶ τῆς πατρί-
δος ἵδρυτο· ὁ λογισμὸς δὲ καὶ ὁ νοῦς· ὥσπερ ὑπό τινων πτερῶν κουφιζόμενος ὑπὸ τῆς
τοῦ πνεύματος χάριτος· καὶ διὰ παντὸς ὑμῖν ἐπιχωριάζων· ἅπαντα τοῦτον τὸν δῆμον,
ἐν τοῖς ἐκείνου περιέφερε σπλάγχνοις· ὃ δὴ καὶ ὑμεῖς ἐπάσχετε· καθήμενοι γὰρ ἐν-
ταῦθα· καὶ τῇ πόλει περιγραφόμενοι τῷ πτερῷ τῆς ἀγάπης· εἰς Ἀρμενίαν καθ' ἑκά-
στην ἱπτάμενοι τὴν ἡμέραν· καὶ τὴν ἁγίαν ὄψιν ὁρῶντες· καὶ τῆς μακαρίας φωνῆς
ἀκούοντες· οὕτως ἐπανῆκε πάλιν· καὶ διὰ ταῦτα συνεχώρησεν ὁ θεὸς τὴν αἰτίαν· δι'
Θέως αὐτὸν ἀπελαθῆναι τῆς πόλεως· ἵνα καὶ ὑμῶν ὥσπερ ἔφην ἐν πᾶσι τὸ στερρὸν
τῆς πίστεως ἐπιδείξῃ τοῖς ὑμᾶς πολεμοῦσιν ἐχθροῖς· κἀκείνου τὸ περὶ τὴν διδασκα-
λίαν ἔμπυρον· καὶ δῆλον ἐκεῖθεν· μετὰ γὰρ τὴν πρώτην δίωξιν ἐπανελθὼν, οὐχὶ
τριάκοντα ἡμέρας μόνον· ἀλλὰ καὶ μῆνας· καὶ ἐνιαυτόν· καὶ ἴσως δ' ὅλον καὶ πλεῖ-
ἐνταῦθα διέτριψεν· ἐπειδὴ γὰρ ἱκανὴν ἐδώκατε τῆς περὶ τὸν ποιμένα στοργῆς
ἀπόδειξιν·

δςςς 75

ἔδωκεν ὑμῖν μετὰ ἀδείας ἐντρυφῆσαι τῷ περὶ πάλιν· ἡ γὰρ μεγίστη τρυφή, ...

ἀρκέσαι ὥσπερ τέως ἀπολαύειν ἐκείνης· οὐ γὰρ διδάσκων μόνον· οὐδὲ φθεγγόμενος· ἀλλὰ

καὶ ὁρώμενος ἁπλῶς, ἱκανὸς ἦν· ἅπασαν ἀρετῆς διδασκαλίαν εἰς τὴν τῶν ὁρώντων

τῶν ψυχὴν εἰσαγαγεῖν· ὅτε γὰρ πρὸς ἡμᾶς εἰσέπλευσεν· καὶ πᾶσα ἡ πόλις πρὸς τὸν

Ὁ δῆμος μεθωρμίζετο· οἱ μὲν, πλησίον ἤρχοντο· καὶ ποδῶν ἥπτοντο· καὶ χεῖρα κατεφίλουν·

καὶ φωνῆς ἤκουον· οἱ δὲ ὑπὸ τοῦ πλήθους κωλυόμενοι· πόρρωθεν αὐτὸν ὁρῶντες

μόνον· ὡς ἱκανὴν ἀπὸ τῆς ὄψεως δεξάμενοι τὴν εὐλογίαν· καὶ οὐδὲν ἔλαττον τῶν

ἐγγὺς γενομένων ἐσχηκότες, οὕτω μετὰ πληροφορίας ἅπαντες ἀπήεσαν· καὶ ὅ

περ ἐπὶ τῶν ἀποστόλων ἐγένετο, τοῦτο καὶ ἐπὶ τούτου συνέβαινεν· καθάπερ γὰρ

ἐπ' ἐκείνων· ὅσοι προσελθεῖν καὶ ἐγγὺς γενέσθαι οὐκ ἴσχυον, τῆς σκιᾶς αὐτῶν ἐκ

τεινομένης· καὶ τῶν πόρρωθεν ἁπτομένης, τὴν αὐτῶν ἐπεσπῶντο χάριν·

καὶ ὁμοίως ὑγιαίνοντες ἀπῄεσαν· οὕτω δὴ καὶ νῦν· ὅσοι προσελθεῖν οὐκ ἴσχυον·

ὥσπερ τινὸς δόξης πνευματικῆς ἀπὸ τῆς ἁγίας ἐκείνης κεφαλῆς ἐκπεμπομένης ἁγια

ζόμενοι, οὕτω καὶ αὐτοὶ· πάσης εὐλογίας ἀπὸ τῆς θεωρίας μόνης πληρούμενοι.

πάντες ἀπήεσαν· ἐπειδὴ δὲ ἔδοξε τῷ κοινῷ τῶν ὅλων θεῷ καλέσαι λοιπὸν αὐτὸν ἐκ

τῆς παρούσης ζωῆς· καὶ εἰς τὸν τῶν ἀγγέλων καταλέξαι χορὸν, οὐδὲ τοῦτο ἁ

πλῶς ἐγένετο· ἀλλὰ καλεῖ μὲν αὐτὸν, βασιλέως γράμματα· τοῦ θεοῦ τὸν βασιλέα

κινήσαντος· καὶ εἶδεν αὐτὸν, οὐκ ἐγγύ που· οὐδὲ πλησίον· ἀλλ' εἰς τὴν θράκην

αὐτήν· διατί· ἵνα καὶ γαλάται, καὶ βιθυνοί. καὶ κίλικες· καὶ καππαδόκαι.

καὶ οἱ τὴν θράκην προσοικοῦντες ἅπαντες, τὰ ἡμέτερα μάθωσιν ἀγαθά·

ἵνα οἱ πανταχοῦ τῆς γῆς ἐπίσκοποι· ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα· τὴν ἀφο(?)

σίωσιν ἰδόντες τὴν ἐκείνου· καὶ παράδειγμα σαφὲς τῆς κατὰ τὴν ἀρχὴν

Ταύτην διακονίας ἐξ ἐκείνου λαβόντες, καὶ ὥσπερ κανόνα τινὰ καθ' ὃν δεῖ τὰς ἐκκλησίας

οἰκονομεῖν τε καὶ κυβερνᾶν, ἂν ἔχωσι τὰ ἀσφαλῆ καὶ σαφέστατον· καὶ γὰρ διὰ τὸ

τῆς πόλεως μέγεθος καὶ διὰ τὴν τοῦ βασιλέως προσεδρείαν· πολλοὶ πολλα

χόθεν τῆς οἰκουμένης ἐκεῖσε ἐρρέοντο(?)· οἱ δὲ τῶν ἐκκλησιῶν ἐπίσκο

ποι· διὰ τὸ τὰς ἐκκλησίας ἐκ μακροῦ πολέμου καὶ χειμῶνος ἀνενεγκοῦ(?)·

ἀρχὴν ἱερωσύνης καὶ ἐγχειρισθεὶς ἐπιλαμβάνων, βασιλικοῖς ἐκεῖ γράμμασιν ἐκαλοῦντο πάντες. Τό-
τε τοίνυν καὶ οὗτος ὁ ἅγιος. ἐκεῖ παραγίνεται· καὶ καθάπερ ποτὲ τῶν τριῶν παίδων ἡνίκα ἀ-
νακηρύττεσθαι ἔμελλον καὶ στεφανοῦσθαι· σβέσαντες τὴν τοῦ πυρὸς δύναμιν· καὶ κατα-πα-
τήσαντες τοῦ τυράννου τὸν τῦφον· ἅπαν ἀσεβείας εἶδος ἐλέγξαντες, ἐν τῆς οἰκουμένης
αὐτῆς, τὸ θέατρον ἐκάθητο πάσης· οἱ γὰρ πανταχοῦ γῆς σατράπαι· οἱ ὕπατοι· οἱ τοπάρχαι, ἐ-
καλοῦντο μὲν δι' ἑτέραν αἰτίαν· ἐγίνοντο δὲ θεαταὶ τῶν ἀθλητῶν ἐκείνων, οὕτω δὴ καὶ τότε συ-
νέβη καὶ νῦν· ἐπειδὴ γὰρ κληθέντες αἰτίᾳ· οἱ τὰς πανταχοῦ γῆς οἰκονομοῦντες ἐκκλησίας
Ἐπίσκοποι· παρεγένοντο καὶ τὸν ἅγιον ἐθεώρουν ἐκεῖνον· ὥστε γενέσθαι λαμπρὸν τῷ μα-
καρίῳ τὸ θέατρον· καὶ ἐπειδὴ ἐθεάσαντο καὶ κατέμαθον αὐτοῦ ἀκριβῶς τὴν εὐλάβειαν·
τὴν σοφίαν· τὸν ζῆλον τῆς πίστεως· πᾶσαν ἀπηρτισμένην ἔχων ἐν αὐτῷ τὴν ἱερεῖ πρέπου-
σαν ἀρετήν· τότε καὶ αὐτὸν πρὸς ἑαυτὸν ἐκάλεσεν ὁ θεός· ἐγένετο δὲ τοῦτο καὶ διὰ φειδὼ τῆς πόλεως
τῆς ὑμετέρας· εἰ γὰρ ἐνταῦθα τὴν ψυχὴν ἀφῆκεν· ἀφόρητος ἔμελλεν ὁ τῆς συμφορᾶς ὄγ-
κος ἔσεσθαι· τίς γὰρ ἂν ἠνέσχετο τὸν μακάριον ἐκεῖνον ἰδεῖν, τὰς ἐσχάτας ἀναπνέον-
τα ἀναπνοάς· τίς ἂν ἠνέσχετο ἰδεῖν τὰ βλέφαρα ἐκεῖνα τῶν ὀφθαλμῶν καθαιρούμενα·
καὶ τὸ στόμα συγκλειόμενον· καὶ ἔσχατα ῥήματα ἐπισκήπτων· τίς βλέπων ταῦτα,
οὐκ ἂν ἐξέστη τῷ μεγέθει τῆς συμφορᾶς· ἵνα οὖν μὴ τοῦτο γένηται, ᾠκονόμησεν ὁ θεὸς ἐ-
πὶ ἀλλοτρίας αὐτὸν γῆς, ἀφεῖναι τὴν ψυχήν· ἵνα ἐν τῷ μεταξὺ χρόνῳ προμελετήσαν-
τες τὴν μεγίστην ταύτην συμφοράν· ὅταν ἴδωμεν εἰσελθόντα τὸν νεκρόν, μὴ καταπλα-
γῶμεν τὴν ψυχήν· ἐκβιασθέντες τῷ θρήνῳ τῆς διανοίας· ὃ δὴ καὶ ἐγένετο· ἐπειδὴ γὰρ
τὸ τίμιον καὶ ἅγιον ἐκεῖνο σῶμα ἡ πόλις ἐδέξατο, ἐπένθησε μὲν καὶ οὕτως καὶ ἀπωλό-
λυξε μέγα· ἀλλὰ ταχέως κατέλυσε τὸ πένθος· ἀπό τε τῆς εἰρημένης αἰτίας· καὶ τῆς μελ-
Λούσης ῥηθήσεσθαι· ὁ γὰρ φιλάνθρωπος θεὸς ἐλεήσας ἡμᾶς τῆς ὀδύνης· ταχέως ~~[illegible]~~ ἡμῖν, ἕ-
τερον ποιμένα ἀνέδειξεν· μετὰ πολλῆς ἀκριβείας τοὺς ἐκείνου διατηροῦντα χαρακτῆ-
ρας· καὶ τὴν εἰκόνα τῆς ἀρετῆς διασώζοντα πάσης· ὃς ἐπὶ τὸν θρόνον ἀναβὰς· εὐθέως
τὴν ταπεινὴν καὶ πενθήρη στολήν, ἡμᾶς ἀπέδυσεν· καὶ τὴν ὀδύνην ἔσβεσεν· τὴν δὲ
τοῦ μακαρίου Μελετίου μνήμην, ἀνενέωσε μᾶλλον· καὶ τὸ μὲν ἄλγος ἐμαραίνετο· ὁ
δὲ ἔρως, σφοδρότερον ἀνήπτετο· καὶ ἡ ἀθυμία τέλεον ἀνῃρεῖτο· καίτοι γε ἐν ταῖς

ἀποβολαῖς τῶν φιλτάτων. οὐχ οὕτως συμβαίνειν εἴωθεν· ἀλλ' ὅταν μέν τις υἱὸν ποθεινὸν ἢ καὶ
ἄνδρα αἰδέσιμον ἀποβάλλῃ γυνή· ἕως μὲν ἂν αὐτοῦ διατηρεῖ τὴν μνήμην ζέουσαν, καὶ τὸ πά-
θος σφοδρότερον ἐντρέφεται τῇ ψυχῇ· ὅταν δὲ χρόνος ἐπελθὼν καταμαλάξῃ τὸ πένθος,
συναποσβέννυται τῇ σφοδρότητι τῆς ὀδύνης· καὶ τὸ τῆς μνήμης ἀκμάζον· ἐπὶ δὲ τοῦ μα-
καρίου τούτου μελετίου, τοὐναντίον ἐγένετο· ἡ μὲν γὰρ ἀθυμία, πάντως ἐξεβλήθη·
ἡ δὲ μνήμη μένουσα ἀπηλλαγμένη λύπης· ἀλλὰ σφοδρότερον ηὔξηται· καὶ μάρτυρες ὑμεῖς·
οἱ μετὰ τοσοῦτον χρόνον· καθάπερ μέλισσαι κηρία, περιΐπτασθαι τῷ σώματι τοῦ μακα-
ρίου μελετίου· τὸ δὲ αἴτιον, οὐ φύσεως ἦν· τὸ πρὸς ἐκεῖνον φίλτρον· ἀλλὰ διακρίσεως
ὀρθῆς λογισμός· διὰ τοῦτο οὐκ ἐσβέσθη θανάτῳ ἡ μνήμη τοῦ ἁγίου μελετίου· οὐκ ἠμαυ-
ρώθη χρόνῳ, ἀλλ' αὔξεται· καὶ πρὸς τὸ μεῖζον ἐπιδίδωσιν· οὐχὶ τῶν ἑωρακότων μόνον ὑ-
μῶν αὐτῶν· ἀλλὰ καὶ τῶν οὐκ εἰδότων· τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν· ὅτι καὶ οἱ
νεώτεροι τῆς ἐκείνου ζωῆς γεγόνασιν· καὶ οὗτοι αὐτοὶ πρὸς τὸν αὐτὸν ἐκκαίονται πόθον·
ὑμεῖς μὲν οὖν οἱ πρεσβῦται· πλεονεκτεῖτε τῶν οὐχ ἑωρακότων αὐτόν· αὐτὸ δὴ τοῦτο
τὸ συγγενέσθαι, καὶ ἁγίας ἀπολαῦσαι συνουσίας· οἱ δὲ οὐχ ἑωρακότες, πλέον ἐν τοῦ-
τῳ ὑμῶν· ὅτι μὴ τεθεαμένοι τὸν ἄνδρα· ὑμῶν τῶν ἑωρακότων· οὐκ ἐλάττονα περὶ
αὐτὸν ἐπιδείκνυνται πόθον· ἀξιώμεθα δὴ κοινῇ πάντες· ἄρχοντες καὶ ἀρχόμενοι· γυ-
ναῖκες καὶ ἄνδρες· πρεσβῦται καὶ νέοι· δοῦλοι καὶ ἐλεύθεροι· αὐτὸν τὸν μακάριον με-
λέτιον κοινωνὸν τῆς εὐχῆς ταύτης λαβόντες· καὶ γὰρ πλείονα ἔχει παρρησίαν νῦν·
καὶ θερμότερον πρὸς ὑμᾶς τὸ φίλτρον, αὐξηθῆναι πάντας ἡμᾶς· καθάπερ ἐνταῦθα
πλησίον τῆς λάρνακος ταύτης ἐσμέν, οὕτω κἀκεῖ δυνηθῆναι γενέσθαι πλησίον [illegible]
τῆς μακαρίας καὶ αἰωνίας αὐτοῦ ζωῆς καὶ σκηνῆς· καὶ τῶν ἀποκειμένων αὐτῷ τυ-
χεῖν αἰωνίων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ
κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι· νῦν καὶ ἀεί· καὶ εἰς τοὺς αἰ-
ῶνας τῶν αἰώνων ἀμήν:

Rehinged, resewn and rebound
in new poplar boards covered
with English oasis by
Mary Brune, June - July, 1963
at the Walters Art Gallery

Innaccurate order of
gatherings corrected

